ἂν δ' ἔστην, ὅτ' ἐμῆς βασιλεὺς ἀνθέξεται ἀλκῆς.
οὔ ποτε μυριάδας λαῶν πεφοβημένος εἴην, 7
οἵ κέ με κυκλώοντες ἐπιβρίσωσιν ὁμαρτῇ.
ἔγρεο καί με σάω, πανυπέρτατε σῶτερ ἐμεῖο, 8
ὅττι σύ μεν σύμπαντας ἕλες κενεαυχέας ἐχθρούς,
αὐτὰρ ἁμαρτινόων ὀλοοὺς ξυνέαξας ὀδόντας.
σεῖο φάος, βασιλεῦ, σέο τ' εὐλογίην πόρε λαῷ. 9

## δ′ (4)

Τέτρατος ἐκ μελέων Δαυίδου ψαλμὸς ἐτύχθη. 1

Εὐδικίης ἐμέθεν θεὸς ἔκλυεν εὐξαμένοιο, 2

4 βασιλεῦ σὺ *Ω*, cum γρ′ *M* im.; -λεῦς σὺ *O*; -λεῦσι *C*, it. *M*. — προμαχίζοις *Ω*; -ζεις Lch l. l. — 5 γεγαὼς *Ω*, cum γρ′ *P* ss; γεγονὼς *OQRv*, it. *P*. — κεφαλὴν (om. θ') *PRv*. — ὑπεραυχέα Lch l. l. (coll. 12); ὑπὲρ αὐχένα *PRv*; ὑπὸ αὐ- *Ω*; ὑπ' αὐ- *O*. — τεύχων *Ω*, pc. $L^2$; om. *O*; τεῦχον $DEL^1S$. — 6 κυκλήσκω *LQ*; κικλήσκων *OS*. — βοάων *Q* ac. — ὄρους $O^1$, cr. $O^3$. — ἔκλυσεν *DELS*. — 7 δέσχε *CS*. — νέςδυμος *S*. — 8 ἔστην *O*; ἔστιν *Qm*. — ὅτ' pc. $O^3$; ὁτ' *C*. — 9 λαῶν pc *L*; μῶν *S*. — 10 οἵ κέ με *O*; αἴ κέ (s. κε) με *Ω*; ἄλκιμε *CM* (οι im. *M*). — κυκλώοντες *Ω*, pc. *CQ* (v. Lobeck[7] 214); -ώωντες *Q* ac.; -όωντες *ODEM*. — ὁμαρτῇ *MQm*; -τῆ *Ω*, it. *O*; -τεῖν ss. *O*; om. *P*. — 11 ἄγρεο $O^1$, cr. $O^3$. — σάω *Ω* (v. Lobeck[5] 488); σάῳ *M*; σάωσον *OQ*. — πανυπέρτατε *O*; ὑπέρτατε *Q*. — ἐμεῖο *L*; ὑμεῖο *S*; ἐμοῖο *Ω*. — 12 μεν *Ω*; με εὐ *S*. — πάντας *M*. — κενεαυχέας $OL^2Q$, pc. *P*; -αύχεας $L^1$; -αυχένας *R*, ac. *P*; -αύχενας *v*; κενέαυχας *S*; κενεόφρονας *CDEM*. — ἐχρθούς sic *O* ir. — 13 αυτὰρ *O*, quod rubricator in εὐτὰρ cr. — συνέαξας *Ω*: sed cf. 57, 12. 59, 4. al. — 14 σοῖο φ. *M*. — σέον τε *S*. — εὐλογίην (αν ss.) *Q*.

Υ 4 τέταρτος $L^1M$ (cr. $L^2$). — ψαλμὸς ὅδ' ἐτ. *R*. — Ψ 4, 1 εὐδικίης *LQcv** (υδ- *S*); εὐθυδικίης *O*; εὐδοκίης *Ωv*. — θεὸς om. *S*. — εὐξαμένω *O*.

στεινομένῳ δ' εὔρυνε, θοῶς δ' ἀπάλαλκεν ἀνίην.
ἵλαθι καί μευ, ἄναξ, ἐπικέκλυθι εὐχωλάων.
ἀνέρες, εἰς τί τόσον τρέφετε βαρυπήμονα θυμόν; 3
εἰς τί φίλην ματίην καὶ ψεύδεα πάντα τίθεσθε;
ὡς δ' ὅσιον φράζεσθε, ἄναξ ὃν ἔφηνεν ἀγητόν· 4
αὐτὸς ἐπουράνιός μευ ἄναξ βοόωντος ἀκούσοι.
μῆνις ἀτασθαλίης προφερεστέρη ὔμμι τετύχθω· 5
φράζεσθ' ἐν λεχέεσσι φίλου μελεδήματα θυμοῦ.
ἐλπὶς ὁμοῦ καὶ θῦμα δίκης βασιλῆα γεραίροι. 6
πολλοί φασι· „τίς ἄμμι φερέσβιον ὄλβον ὀρέξει;" 7
ἄμμι τεῆς τέκμαρ χρύσεόν σεο φέγγος ὀπωπῆς.
εὐφροσύνην κραδίῃ δωρήσαο πᾶσαν ἐμεῖο· 8
ἐκ σίτου γλυκεροῖο καὶ ἐκ λαθικηδέος οἴνου
ἔκ τε φερεζώοιο βίης ἔπλησθεν ἐλαίου.

---

**2** κτεινομένῳ (κ minio pictum) *O*; στεινω- *DE*; στεινόμενον Ritter 28. — εὔρυνε Lch$^4$ 3 (coll. 17, 80. 117, 10 et *Σ*), etiam de ἐπάκουσε monens; ἐπέκλυε *Ω* (ex 1 vel 3 ?); ἐπέλυσε Ritter l. l. (ἐπλάτυνε Koechly ib.). — ἀπάλαλκ' *OQ*. — **3** ἐπικέκλυθι εὐχωλάων *Rv* (cf. Ritter 15); ἐπίκλυθι εὐ- *O*$L^1$*Ω*; εὐχωλάων (-αίων *Q*) ἐπίκλυθι $L^2$*Q*. — **4** ἐς τί *Ω*; ἐστὶ *S*: item 5. — τρέφετε βαρυπ. *Ω* (cf. 104, 7. 90, 2. Ritter 29. Rzach$^3$ 328); τρεφέεσθ' ἀριπ. *PR* (v. Lch$^5$ 300). — **5** τίθεσθαι *OD* ac., *S*. — **6** ὡς $L^2$*Q*; πῶς $L^1$*Ω*. — φράζεσθαι *Q*. — ὃν ἔφηνεν *Rv*; ἐνέφηνεν *L*; ἀπέφηνεν *Q*; ἔφηνεν vel -ηνεν *Ω*. — **7** ἐπουράνιός *O*; ἐπ' οὐ- *L*. — βοόωντος *OPQRv*, im. $L^2$; ἐνέφηνεν $L^1$ (ex 6); ἔφηνεν *S*; φωνῆς *CDEM*. — ἀκούσοι *Ω*; -σει *O* (cf. 10); ἐπακούσοι *CDEM*. — **8** προφερεστέρα *P*. — ὔμμι vel ὕ- *Ω*, ir. $L^2$; ὕθλη *CDEM*. — **9** φράζεσθε ἐν *O*. — **10** βασιλῆ *S*. — γεραίρει *OP*. — **12** τεῆς τέκμαρ *L*; τε (s. τὲ) τέκμαρ *CDEMPQS*; τε τέκμαρτο *O*; τε (s. τὲ) τέκμαρ τὸ *Rv* (v. Hilberg 111); τεκμαίροιτο Ritter 11. 23; δὲ τέκμαρτον Scheindler$^2$ 437. — χρύσειον *PQ*. — **13** κραδίην *DEMS*; καρδίη *Q*. — δωρήσαο *OPQRv*; -σω *Ω* (-σῳ *M*). — πάντα (ss. γρ' πᾶσαν) *P*. — ἐμοῖο *O*, ac. *Q*. — **15** φερώοιο *S*, cum signo corruptelae *CM*; om. in lacuna *DE*. — ἔπλησθεν *OS*, ss. *Q* (Mommsen 270); -θαι *Q* it.; ἔπλησεν *Ω*; ἔμπλησεν (εν ex ας cr. ?) *L*.

*αἰὲν ἐν εἰρήνῃ καταλέξομαι ὕπνον ἀμέλγων,* 9
*οὕνεκεν ἐλπωρῇ με, μάκαρ, καὶ μοῦνον ἐρείδεις.*

### ε' (5)

*Τῆς κληρονομούσης πέμπτον εἰς τέλος μέλος* 1
*Δαυῖδος ἠλάλαξεν εὐφήμῳ βοῇ.*

*Μύθων ἡμετέρων, πανυπέρτατε, κέκλυθι, ποιμήν,* 2
*αὐδῆς μευ ξύνες ὦκα, ἀρὴν δ' ἐπιδέρκεο φωνῆς,* 3
*αὐτὸς ἄναξ, θεὸς αὐτός· ἐγὼ δέ σε λίσσομαι αἰεί.*
*ἡμετέρης ἠῶθεν, ἄναξ, ἐσακούσεαι αὐδῆς·* 4
*ἐξ ἠοῦς ἀναφανδὰ παρεσσομένῳ προφανείης,*
*οὕνεκεν ἀμπλακίην ἐθέλων θεὸς οὔ ποτ' ἐτύχθης* 5
*οὐδέ τις ἐνναέτης παρὰ σοὶ κακομήχανος ἔσται*
*οὐδὲ τεῆς ἀθέμιστος ὁμέστιος ἔσσετ' ὀπωπῆς.* 6
*ἐργατίνας ἔστυξας ἀλιτροσύνης ἅμα πάντας,*
*γλώσσης ψευδαλέης ὀλετὴρ ἐν πᾶσιν ἐτύχθης·* 7
*ἐχθαίρει δολόεντα καὶ ἀνδροφόνον θεὸς ἄνδρα.*
*αὐτὰρ ἐγώ σεο δῶμα τεῷ μετελεύσομαι οἴκτῳ,* 8
*δειμαλέος δέ σεθεν καθαρὸν προσπτύξομαι ἱρόν.*

---

**16** *αἰὲν* ci. Lch l. l. (coll. 18, 19 cum *Σ*); *εἰς ἓν Ω*, im. $L^2$ (defend. Mommsen l. l.); ***καὶ εἰς ἓν*** *Q*; ***εἰς ὃν*** $L^1$; ***οἷς*** *O*. — ***ἐν*** om. *CDEM*. — **17** ***οὕνεκεν*** *S*; ***οὕνεκ'*** *OCDE*; ***οὕνεκ'*** (α supra) *Q* (*οὔ-* *M*); ***οὕνεκα*** *L*; ***οὕνεκ' ἐπ'*** *PRv*. — ***ἐρείδει*** *CM*.

*Τ* 5, **1** ***τῆς κληρονομούσης*** $L^1$*Ω*; ***τῆς κληρονομοσύνης*** *O*; ***κληρονομούσης*** $L^2$*Q*; ***κλῆρον λαβούσης*** *Rv*. — ***πέκμπτον*** (cr. im.) *Q*; ***πέπτον*** *C*. — ***μέλος*** om. it., eras. im. *S*. — **2** ***βοᾷ*** *R*. — *Ψ* 5, **1** ***ποιμέν*** *abc*; ***ποιμήν· ποιμάν*** *b*c**. — **2** ***ξύνες ὦκα Ω***, im. *M*; ***ξύνες ὦ*** *CDE*, it. *M*; ***ξύν' ὦ*** $L^1$*S* (***κα*** add. $L^2$). — ***δὲ*** *O*; om. *S*. — ***ἐπικέρδεο*** *LS*. — **3** ***ἄναξ αὐτὸς θεὸς ἐ.*** $L^1$ (cr. $L^2$); ***θεὸς αὐτὸς ἄναξ ἐ.*** *S*. — **4** om. it., add. im. *O*. — ***ἐσακούσεαι*** *L*; ***εἰσ-*** *CDEM*; ***ἐσάκούσεται*** *O*; ***ἐσα-*** *PQR*; ***ἐπα-*** *v*; ***εἰσακούσηται*** *S*. — **6** ***οὕνεκ'*** $O^1$, ***-κα*** cr. $O^3$. — **7** ***ἐνναετὴς*** *Q*; ***-έτϊς*** *S* ac. — **8** ***ἀθέμϊτος*** ex ***-μητος*** cr. *O*. — ***ὁ μέγιστος*** *Q*. — ***ὄσσετ'*** *M*, pc. *C*. — **10** ***ὁμολετὴρ*** *S*. — **11** ***ἐχθαίροι*** *abm*. — ***ἀνδρὸν*** (ex ***-ῶν*** cr.) ***φόνον*** *D*. — **12** ***οἴκῳ*** pc. *O*, ac. *Q*. — **13** ***δειμαλέως*** *CDELMS*. — ***καθαρῶν*** *M*, pc. *C*. — ***προσπτίξομαι*** *LS*; ***προπτύ-*** *PRa*. — ***ἱρῶν*** *CM*.

ἡγήσαιό με σεῖο δικαιοσύνῃ χάριν ἐχθρῶν, 9
ἡμετέρην δ' ἴθυνον ἐπ' ὄμμασι σοῖσιν ἀταρπόν·
οὐ γὰρ ἀληθείην ποτ' ἐπὶ στόματος φορέουσι· 10
τῶνδε βαρύζηλοι κραδίαι γεγάασι μάταιαι,
λαυκανίη δ' οἰχθέντι τάφῳ πανομοιιός ἐστι
καὶ γλῶσσαι δολεροῖσιν ἀεὶ μεμελήατο μύθοις.
κρῖνον, ἄναξ· βουλέων δὲ κακῶν ἄπο πάγχυ πέσοιεν 11
ἠδὲ κατὰ πληθὺν σφετέρων χάριν ἀμπλακιάων
κτήσιος ἐξελάοιντο τεὴν ἐρέθοντες ἐρωήν.
σοὶ μὲν ἐπευχόμενοι, βασιλεῦ, κεχαροίατο πάντες· 12
κεῖνοι μὲν κεχάροιντο, σὺ δ' οἰκήσειας ἐν αὐτοῖς.
σοὶ δ' ἀγαπαζόμενοι τεὸν οὔνομα καυχήσονται,
ὅττι δικαιοσύνης ὑποφήτορα φῶτα γεραίρεις. 13
ἡμέας ἐστεφάνωσας ἅτ' εὐδοκίης κλυτῷ ὅπλῳ.

**14** *ἡγήσαιό με σεῖο* Lch[4] 4; *σεῖο με* (ex *μαι* cr. *E*) *ἡγήσαιο* *Ω*; *σείομαι ἡγήσαιο* *S*; *σεῖό* (s. -ο) *με* (ex *μὲν* cr. *Q*) *ἡγήσαιτο* *PQRv*; *σεῖο δέ μ' ἡγήσαιτο* Volkmann 34 (Scheindler[1] 907). — *δικαιοσύνῃ* Lch l. l.; *-νη Ω*; *-νην O*. — **15** *ἡμετέρην* (ex *-ον* cr. *L*[2]) *Ω*, cum *γρ΄ M* im.; *ἡμέτερον CDES*, it. *M*. — *δ' LQ*; om. *Ω*. — *ὄμμασι σοῖσιν*] v. Mommsen 727. — **16** *ποτὲ O*. — *φέρουσι* *S*. — **17** *τῶνδε LOPQRv*; *τῶν δὲ Ω*. — *βαρύζηλαι CDELMS*. — *γεγάασι* scripsi (coll. 1, 10. 11, 13. al.); *γεγόνασι* (*-ασσι PR*) *Ω*. — *μάταιοι Q*. — **18** *λαυκανίη O*[1]*Ω* (*λευ- O*[2]); *-νίῃ L*[2]; *-νίης* *CDEL*[1]*MS*. — *οἰχῶντι Q*. — *πανομοίιος O*; *παρομοιιός* (s. -ος) *Ω*; *παρόμοιος S*. — **19** *γλῶσσαι L*[1]*Ω*, it. *M*; *γλῶσσαις O*; *γλώσσαις PQR*, ss. *L*[2], im. *M*. — *δολερῇσιν OR*; *-ροὶ P*. — *αἰὲν* *P*. — *μεμελήατο*] v. Nauck[4] 163. — *μύθοις OQv*, ss. *L*[2]; *μόχθοις L*[1]*Ω*; *μόχθμοις* sic (im. *γρ΄ μῦθος*) *M*; *μῦθοι PR*. — **20** *ἀπὸ Ω* (*ἄπο Q*). — *πεσοίησαν O*. — **21** *ἠδὲ CDEM*; *εὖ* (*εὐ* *S*) *δὲ LS*; *ἐν δὲ OQ*; *καί κε PRv*. — *σφετέρην Q*. — *ἀμπλακία* *S*. — **22** *ἐξελάοιντο L*[1]*Ω* (*ἐ* om. *S*); *ἐξαλέοιντο OQ*, ss. *L*[2] — *τεὸν S*. — *ἐρέθοντο O*. — *ἐρώ·* sic *S*. — **23** *κεχάριοςατο* sic *S*. — *πάντα L*[1], cr. *L*[2]. — **24** *'κοῖνοι L*. — *χάροιντο R* ac. — **25** *σοὶ* (*σοι*) ss. *L*[2]*Q*; *οἱ Ω*. — *ἀπαγαζ. Q* ac. — **26** *γεγαίρεις* *Ω*; *-ροις Rv*. — **27** *ἅτε CDEMS*. — *εὐδοκίης Ov*, cum *γρ΄ M* im.; *-οκίην Q*; *-ικίης Ω*. — *κλυτῷ ὅπλῳ* pc. *L*[2]*Q*; *κλυτὸν ὅπλον* (*ὅτα S*) *Ω*, ac. *L*[1]*Q*.

## ϛʹ (6)

*Ἕκτον ἄναξ μελέεσσι φίλοις Δαυῖδος ἄεισε* 1
*μείλιχον ὀγδοάτης ἀμφὶ μέλος λιγυρόν.*

*Μή με τεὸς βαρύμηνις, ἀκήρατε, θυμὸς ἐλέγξῃ* 2
*μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή,*
*ἀλλ' ὀλιγηπελίην, βασιλεῦ, ἐλέησον ἐμεῖο.* 3
*ἔσσό μοι ἰητήρ, ταράχου δέ μευ ὀστέα παῦσον*
*καὶ ψυχήν, ἣ πολλὸν ἀτυζομένη δεδόνηται.* 4
*καὶ σύ, μάκαρ, κοτέων εἵως πότε μῆνιν ἀέξεις;*
*λῦσον ἐμόν, μεταθεὶς πρότερον κότον, ἦτορ ἀνάγκης·* 5
*ῥύεο, παμβασιλεῦ, μ' ἐλεητύος εἵνεκα σεῖο·*
*τίς γὰρ ἐπιμνήσαιτο σέθεν θανάτοιο πεδηθείς;* 6
*τίς δέ τοι εἰν Ἀίδαο βοὴν εὔφημον ἀύσαι;*
*ἔμπά γε μὴν ἐμόγησα περὶ στοναχῇσιν ἐμῇσιν,* 7
*αἰεί μευ κατὰ νύκτα σαόφρονα λέκτρα λοέσσω,*
*δάκρυσιν ἡμετέροισιν ἐνηέα δέμνια τέγξω.*
*μῆνις ἐπιβρίσασα ἐμὴν κλονέεσκεν ὀπωπήν,* 8
*γηραλέος γενόμην μετὰ δυσμενέεσσιν ἐμοῖσιν.*
*ἐργατίναι, χάζεσθε, ἀτασθαλίης ἀλεγεινῆς,* 9

---

*Υ* 6, **1** *φίλοισι Ra.* — *δαυίδου CDEL*$^{1}$*M* (cr. $L^{2}$). — **2** *μειλίχιον O.* — *μέλος Ω*; *μέσον O.* — *Ψ* 6, **1** *με Ω*; *τε Q.* — *ἀκήρατε P*, im. *v*; *-ατος P* it., *Ω.* — **2** *μηδέ PS*; *μὴ δέ Ω*; *μήτε O.* — *με* om *O.* — *τε*]*ὴ* pc. $L^{2}$. — **3** *ὀλιγιπελίηω*(ν ss.) *Q* — **4** *μ*]*οι* ir. $L^{2}$. — *ἠτὴρ DE*; *ἠκτὴρ Q.* — *πᾶσιν Q* — **5** *ἢ* pro *ἣ DE.* — *δεδόνηται Ω*, im. $L^{2}$; *πεφόρηται DEL*$^{1}$*MS.* — **6** *ἕως O.* — *ἄξεις Q.* — **7** *κόπον* (om. *ἦτορ*) *O.* — **8** *ῥύεο* $L^{2}$ im, *Q* ss.; *ῥύσεο* (s. *-σεό*) $L^{1}$*Q* it., *Ω*: cf. 21, 41. 30, 36. 68, 30. al. Lobeck$^{5}$ 488. — *παμβασιλεῦ OL*$^{2}$*QRv*; *βασιλεῦ L*$^{1}$*S*; *μευ βασιλεῦ DEMP.* — *μ' LS*; om. *Ω*: v. Ritter 13. — **9** *τίς γὰρ L*$^{1}$*Ω*; *τίς ὃς O*, cum *γρ'* ss. *P*; *τίς γ' ὃς Q*, im. $L^{2}$. — *θανάτοιο Ω* (cf. Hom. *δ* 380); *-του S*; *-τω DEM* (*ἴσως λείπει γε M* im.). — **10** *ἀΰσαι DELMS*; *ἀείσαι PQRv*; *ἀείσει O.* — **11** *στοναχῇ σῇ S.* — *ἐμῇσι DEM*; *ἐμοῖσιν S.* — **12** *σαόφρο Q.* — *λοέσσω OQ*, pc. *S* (*λω-* ac.); *λόεσω L*; *λοεύσω Ω.* — **14** *ὀλέεσκεν Q* (cr. im.).

*οὕνεκά μευ κλαυθμοῖο βοῆς ἐμὸς ἔκλυεν ἐσσήν·*
*αὐδῆς ἡμετέρων θεὸς ἔκλυεν εὐχωλάων,* 10
*νωιτέρην ὑπέδεκτο θεὸς πανυπέρτατος εὐχήν.*
*αἶσχος δυσμενέεσσιν ἐμοῖς τάραχός τε τετύχθω,* 11
*ὦκα μάλ' αἰσχύνοιντο μεταστρεφθέντες ὀπίσσω.*

## ζ' (7)

*Χουσὶ πάρος Δαυῖδου ἐφύβρισεν, αὐτὰρ ὁ μεμφθεὶς* 1
*ποιμένι τιμήεντι φίλους παρακάτθετο μύθους.*
*ἔμπά γε μὴν βασιλῆος ὅδ' ἦν πάρος ἕβδομος ὕμνος.*

*Θάρσυνος ἐλπωρῇ, βασιλεῦ, σέο πάντοτ' ἐτύχθην·* 2
*ἐκ πάντων, λίτομαί σε, διωκόντων με σαώσοις,*
*μή ποτ' ἀφαρπάξειε λέων ἐμὸν οἷά τις ἦτορ,* 3
*πάμπαν κηδεμονῆος ἀμύντορος οὐ παρεόντος.*
*ἀλλ' εἰ τοῖον ἔρεξα, τό περ σέο μῆνιν ἐγείρει,* 4
*ἔργμασιν εἰ στυγεροῖσι φέρω κατὰ χεῖρας ἀθέσμους*
*ἤ τι κακῶν ῥεκτῆρα κακῶς ἔπρηξα καὶ αὐτός,* 5
*δυσμενέων ἄπρηκτος ἐμῶν ἄπο πάγχυ πέσοιμι*

---

**17** *ἐμὸς* om. *ODEM.* — *ἔκλυ]εν* ir. $L^2$; *ἐκλύας S.* — **18** *ἡμετέρων* $L^1 \Omega$, pc. *D*; *-ρης* $OEL^2M$, ac. *D.* — *θεὸς* om. *DE.* — *ἔκλυεν* usque ad *θεὸς* 19 om. *Q.* — **20** *ἐμοῖσι Q.* — *τάραχος* (om. *τε*) *OQ.* — **21** *μεταστραφέντες Q.*

*Υ* 7, **1** *δαυίδην* $DE(L^1)S$ (*δαβ- P*); *-δου M.* — *ἐφυβρίσατο P* (ac. *R*?). — **2** *παρακάτθεο Q*; *παρεκάτθετο R* pc.; *παρακατέθετο* $L^1S$ (cr. $L^2$). — **3** *ὅδ' ἦν πάρος* $OL^2Q$; *ὃ* (s. *ὅ*) *δ' ἦν DEMPS*; *ὅδ' αὖ* $L^1$; *ὅδ' ἔπλετο R* ir., *v.* — *Ψ* 7, **1** *πάντοτε τύχθην Q.* — **2** *σαώσεις DEM.* — **3** *ἀφαρπάξειε m**; *ἐφ- OPRv*; *ἀφαρπάσειε* $DEL^1MS$; *-πάξειας* $L^2$; *-πάξεις Q* — *ἐμὸν οἷά τις PQRv*; *ἐμὸν οἷα τίς O*; *οἷά τις ἐμὸν DELS*; *οἷα τὶς ἐ. M.* — **4** *κηδεμονῆος* (*κηδι- c**) *ἀμύντορος Q*, im. $L^2$, *v**; *κηδεμονῆος καὶ ἀμύντορος OR*; *ἀλάλκοντος καὶ ἀμύντορος* $L^1 \Omega$. — *παρέοντα S.* — **5** *ἔλεξα DEMS.* — *ἀγείρει O.* — **6** *ἔρμασιν R*, ac. *O.* — *στυγερῇσι O*; *-ῇσι* $L^1$ (cr. $L^2$); *-ῇσα S.* — *κατὰ* $L^2 \Omega$; *κάτα m*; *μετὰ* $DEL^1MPS$. — **7** *ἤ τι S*; *ἢ τι DE*; *ἢ τὶ M*; *ἤ τοι LOQ* (*τϊ* ss. *Q*); *εἴ γε PRv.* — *ἔπρηξα OPRv*; *-ξας* (om. *καὶ*) *Q*; *ἔρεξα L*; *ῥέξα DEM*; *ἔρξα S*, im. *DE.* — **8** *ἄπο LQRv*; *ἀπο DES*; *ἀπὸ OMP*; *ὕπο m**.

*καί μευ ἕλοι ψυχὴν ἐλόων καταδήιος ἀνὴρ* 6
*καὶ βίοτον κατὰ πάμπαν ἐμὸν ζωήν τε πατήσοι*
*καὶ κλέος ἀμφιβόητον ἐμὸν κονίῃσι μιήνοι.*
*ἀλλὰ κοτεσσάμενος βριαρῶν ἀνεγείρεο θώκων* 7
*καί μευ [ἐν] οὐλομένων ἐπαείρεο πείρασιν ἐχθρῶν·*
*σῇσιν ἐφημοσύνῃσιν ἀνέγρεο κάρτος ὀπάζων,*
*πᾶσα δὲ κυκλώσειεν ὁμήγυρις ἀμφὶ σὲ λαῶν,* 8
*ἧς, μάκαρ, ἡγήσαιο μετήορος ὑψόσ' ἀερθείς.*
*αὐτὸς ἄναξ λαοῖσι δικασπόλος ἔσσεται αἰεί·* 9
*εὐδικίης κατὰ θεσμὸν ἐμῆς, βασιλεῦ, με δικάζοις*
*καὶ φρενὸς ἡμετέρης ἀγαθῆς ἐπιείκελα τεύχοις.*
*ἀμπλακίης τέλος ἔσται, ἐπιθύνοις δὲ δίκαιον·* 10
*νεφροὺς καὶ κρύφια κραδίης μυχὰ μοῦνος ἐλέγχοις.*
*ὡς ὁσίῳ μοι ἄναξ ἐπαρηγόνα χεῖρα φυλάσσοι* 11
*πάντοτε ῥυόμενος μερόπων ἰθύφρονα φῦλα.*
*αἰὲν ἄναξ ὅσιός τε θεμιστοπόλος τε περίφρων* 12
*καὶ σθένεϊ κρατερός, καὶ ἀνεξίκακον λάχε θυμὸν*

---

**9** *ἕλῃ O.* — *καταδήϊος OΩ*; *κατὰ δ- PRac*; *μετὰ δ- b*; *μέτα δ- m.* — **10** *κατὰ πάμπαν Q* (cf. 21, 1); *καταπάμπαν O.* — *καί μευ ἐπιστείβοι* (sic *v*, *-βει DELMRS*, *-ψαι P* ir.) *βίοτον* (*βιότου L*, *βιότων S*) *χθονὶ ποσσὶν* (hoc ir. *P*, *-σὶ DE*) *ἑοῖσι* (*-σιν DEMS*, *ἑοῖσσιν R*) substituunt *Ω.* — **11** *μιήνοι* $L^2$ ir., *Q* ss., *R*; *μιῄνοι v*; *μιήνη O*, it. *Q*; *μη·νη··* sic *S*; *μιήναι P*; *μιγείη DEM.* — **12** *ἀνάγειρε O*; *ἀνεγείραιο* ac. *Q*; *-γείνεο S.* — **13** *μευ ἐν* Ritter 16; *μευ Ω* (defend. Scheindler[1] 905 coll. *v* 72, 3). — *οἰχομένων* $L^1$ (cr. $L^2$). — *ἐπαείρεο* $L^2Q$; *-ραο* $L^1Ω$. — **16** *ἧς* om. $L^1$, add. $L^2$. — *ὑψώσε S.* — **17** *δικασπόλο O.* — *ἔσσεται* $OL^2P$; *-εαι* $L^1Ω$. — *αἰεί Ω*, pc. *Q*; *ἀεί O*; *ᾀεὶ L.* — **18** *θεσμὸν* $L^2Ω$; *θυμὸν* $DEL^1MS$. — **19** *φρενὶ ἡμετέρῃ ἀγαθῇ P.* — *ἡμετέροις ἀγαθοῖς L*; *-ροις ἀγαθῆς S.* — *ἐπιείκελα* $L^2Ω$ (*ἐπϊεί- O*); *ἐπιείκεσι DEMS*; *-εικέσι* $L^1$. — *τεύχ]οις* pc. *Q*; *γρ' τεύξας P* ss. — **20** *ἀμπλακίης* $L^2Ω$; *-κίη* $DEL^1MS$; *-κίας P.* — *ἐπιθύνοις OΩ* (*-υνοῖς P*); *-νης LS*; *-νεις DEM.* — **21** *ἐλέγχεις Q*; *ἐλέχεις O.* — **22** *ὁσίω O* pc.; *-ίων* $L^2Q$, ac. $O^1$; *-ίην Ω.* — *φυλάσσοι* $OL^2$, ss. *Q*; *-σσῃ* it. *Q*; *-σσει* $L^1Ω$; *-σσῃς Rv.* — **23** *ἰθυόφρονα O.* — **25** *σθένει Lm.* — *καρτερὸς O.* — *ἀνεξίκακον Mv*;

οὐ δεδαὼς τρηχεῖαν ἑκάστοτε μῆνιν ἐγείρειν.
παύσασθε, πρὶν ἄορ ταναὸν θήγοιτο φαεινὸν 13
καὶ τόξον τανύσειεν· ἑτοιμότατον γὰρ ἐτύχθη·
ὅπλα γὰρ οὐλομένου θανάτου τέκτηνεν ἐν αὐτῷ, 14
τοῖσι δὲ καρφομένοις εἰργάσσατο πικρὰ βέλεμνα.
δέρκεο νῦν ὠδῖνος ἑῆς ἀθεμίστιον ἔργον· 15
κύσσατο μὲν μόχθον, τέκε δ' ἀμπλακίην ἀλεγεινήν·
χάσμα μέγ' ἐξώρυξε, κακῇ δ' ἔσκαψε μενοινῇ, 16
ἀλλ' εἰς ὅν περ ἔτευξε πέσοι κακοεργέα βόθρον,
κὰκ κεφαλῆς οἱ ἄλγος ἐπιστρέψειεν ἑτοῖμον 17
καί οἱ ὑπὲρ κορυφῆς ἐπιβήσεται ὕβρις ἀεικής.
εὐδικίης βασιλῆος ἐπάξιον αἶνον ἀείσω, 18
οὔνομα δ' ὑψίστου λιγυρῇ φόρμιγγι βοήσω.

## η′ (8)

Δαυίδου ληναῖος ὅδ' ὄγδοος ὕμνος ἐτύχθη. 1

Ἄφθιτε νωιτέρης βιοτῆς οἴηκα φυλάσσων, 2

ἀλεξίκακον Ω; -κος O. — 26 οὐδὲ δαὴς T. — τρηχείην Q. — ἑκάστοτε τραχεῖαν M; ἐκκάστοτε τρηχεῖαν DE (α supra η scr. D) — 27 ταναὸν usque ad τα 28 om. T. — φαεινὸν MPRv; φαεῖνον L; φαείνων OQ; φαῖνον DES. — 28 ἑτοιμότατον Ω; ἐτυμ- DET, ac. L; ἑτυμ- MS, pc. L. — 29 γὰρ Ω (καρφομένοις add., tum expunxit E); δὲ PR. — ἐλομένου $L^1T$ (cr. $L^2$). — τέκτηνέν T; τέκτηνεν v. — ἐν αὐτῷ OPQ; ἐπ' αὐτῷ v; ἐπ' αὐτόν Ω. — 30 τοῖσι δὲ $L^2PQRv$; ἡ δὲ O; εἰο (εἰο M) γὰρ $DEL^1MST$. — καρποφομένοις T. — εἰργάσατο Ω. — πικρὰ βέλεμον (β pc.) T. — 31 ἑῆς M, ac. L; ἡ ἧς T. — 32 κύσσατο DELPS (μ pro κ rubr. O); κΐ- Q; κύσατο Ω; -αστο T. — τέκε δ' Ω; τέκεν ST. — ἀπλακίην ἀλλεγεινὴν T. — 33 μέγ' ex μὲν cr. S; μὲ T. — ἐξόρυξε DM, pc. S (-ξεν ac.); ἐξορυξένε T. — δ' ἔσκαψε Ω; δέαις σκάψε S(T). — 34 ἔταξε O. — κακουργέα O. — βόθρον Ω; μόχθον DEM. — 35 κἀκεφαλῆς Q. — κὰκ κ. ἄλγος οἱ (aut κὰκ κ. ἕοι ἄλγος, 'quod vero parum placet') Volkmann 36; ἐκ κ. δέ οἱ ἄ. Scheindler[1] 905. — ἐπιστρέψοιεν LS; ἐπιτρέψειεν Q ac. (ἑτοῖμον ir.). — 36 ἐπιβήσεται Ω; ὑπερβ- DEMS. — 37 εὐδικίης $L^2$Ω; εὐδο- $DEL^1M$. — 38 ὕψιστον OQ.

T 8 δαυίδος $L^1S$ (cr. $L^2$); δαυῖδος DEM. — ὁ δ' Ec. — Ψ 8,1 νοητέρης S.

ὡς ἄρα τοι θηητὸν ἐπὶ χθονὸς οὔνομ᾽ ἐτύχθη·
καί τοι ἀριπρεπὲς εὖχος ὑπέρδραμεν οὐρανὸν αὐτὸν
ἐκ στόματος βρεφέων, ὅθεν ἤνυσας αἶνον ἑτοῖμον 3
πευκεδανῶν, ἄχραντε πάτερ, σέθεν εἵνεκεν ἐχθρῶν,
ὄφρα κεν ἐχθρὸν ὁμοῦ καθέλοις καὶ ἀμύντορα λύσσης.
ὄψομαι οὐρανὸν εὐρύν, ὃν ἥδρασε δάκτυλα σεῖο, 4
ἄστρα τε καὶ μήνην, οἷς πυθμένα θήκαο χειρί.
τίς γὰρ ἔην ἄνθρωπος, ἐπεὶ μιμνήσκεαι αὐτοῦ, 5
ἢ πάις ἀνθρώπου, ὅτι οἱ καὶ ἐπίσκοπός ἐσσι;
μείονά μιν ποίησας ἐπουρανίων στρατιάων 6
ἀμφιπεριστέψας καὶ κύδεϊ καὶ γεράεσσιν,
ἔργα τεῶν ἔστησας ἐπιθύνειν παλαμάων· 7
πάντα δέ οἱ θαλεροῖσιν, ἄναξ, ὑπεθήκαο ποσσίν,
ἀγρονόμους τε βόας [τε] καὶ εἰροπόκων γένος οἰῶν 8
ὅσσά τε καρποτόκον πεδίον καταβόσκεται ἄλλα,
αἴθριά τ᾽ οὖν πετεηνὰ καὶ ἰχθυόεντα γένεθλα, 9
ὁππόσα ποντοπόρους παρεπιστείβουσι κελεύθους.
ἄφθιτε νωιτέρης βιοτῆς οἴηκα φυλάσσων, 10
ὡς ἄρα τοι θηητὸν ἐπὶ χθονὸς οὔνομ᾽ ἐτύχθη.

---

**2** *οὔνομα E* ac. (item 20). — **3** *ὑπέρδραμεν* Lch[4] 7; *ὑπ-έδραμεν L¹Ω*, ac. *Q*; *ἐπ-* pc. *L²Q*. — **5** *σέθεν πάτερ O*. — **6** *ἀμύντορ᾽ ὀλέσσοις b*c**; *-σσῃ m*. — **7** *ἥδρασε OΩ* (cf. 148, 12); *ἥ- DES*; *ἕ- LP* (*γρ᾽ ἕδρασε* ss. *P*). — **8** *ἧς* (ss. *οἷς*) *Q*. — **9** *μιμνήσκε]αι* pc. *L²*. — **11** *ποιήσας RS*, ac. *L*; *-ήσαο O*. — **12** *ἀμφιπεριστρέψας DEL*. — **15** *βόας τε* Volkmann 36 (Scheindler[1] 905); *βόας Ω*: cf. 70, 40. 81, 5. — *οἴων* ac. *L*; *οἷον S*. — **16** *καρποτόκου πεδίου Q*. — *ἄλλας S* ac. — **17** *αἴθρια* (paenultima pc.) *τ᾽ οὖν πετεηνὰ Q*; *αἰθέριά* (*ερ* ir. *M*, *αἴθριά OP*) *τε πετεινὰ* (*πετεηνὰ O*, *-ηρά S*, *πετεεινὰ DE*) *Ω*: cf. Ritter 29. Rzach[3] 339. — **18** *ὁππότα DE*; *-τε* (im. *γρ᾽ ὁππόσα*) *M*. — **19** *νοητέρης Q*; *νωΐη- S*. — *βιοτῆς Ω* (cf. 1); *γενεῆς OQRv*. — **20** *θυητὸν L*; *θνητὸν S*.

## ϑ' (9)

*Δαυίδου κρυφίων χάριν υἱέος εἴνατος ὕμνος.* 1

*Ἀλλήκτῳ κραδίῃ, βασιλεῦ, τεὸν αἶνον ἀείσω,* 2
*ἔργά σεθεν θηητὰ περιφραδέως ἀγορεύσω.*
*ἐν σοὶ ἐυφροσύνην ἐρατὴν καὶ χάρμα τελέσσω,* 3
*οὔνομα δ' ὕψιστον κιθάρῃ σέθεν ὑμνοπολεύσω.*
*δυσμενέος κακότητι μεταστρεφθέντος ὀπίσσω* 4
*ἄντα καταφθίνοιντο τεῶν κεκμηότες ὄσσων,*
*οὕνεκά μευ κατὰ θεσμὸν ἐτίσαο λωβητῆρας,* 5
*ἀρχὲ δικαιοσύνης, βριαρῶν ὑπερέξεο θώκων.*
*ἔθνεσιν ἠπείλησας, ἄφαρ δ' ἐξέφθιτ' ἀλείτης·* 6
*οὔνομα δ' αὐτοῦ πᾶσι διαμπερὲς ἠμάλδυνας.*
*ἔφθιτο δυσμενέος τεύχεα, πόλιάς τ' ἀλάπαξας·* 7
*σὺν πολλῷ δ' ὁμάδῳ μνημήιον ὤλετο πάντῃ,*
*αὐτὰρ ἐπουράνιος βασιλεὺς μάλα πάντοτε μίμνει·* 8
*εὐνομίῃ στήριξεν ἑὴν πανυπέρτατον ἕδρην,*
*ὄφρα διακρίνειε δίκῃ κλυτὰ πείρατα γαίης,* 9

---

*Υ* 9 *εἴνατος* (*εἴ-* $L^2$) *PQ*; *ἄφθιτος* $L^1Ω$. — *Ψ* 9, 1 *καρδίῃ, ἄλληκτον* Hom. *B* 452. — *βασιλεῖ O*. — *τὸν Q*. — 2 *ἔργα*] *τε* add. *DE*, ir. *M*. — *θύητὰ L*; *θνητὰ S*; *ποθηητὰ Q*. — 3 *ἐϋφροσύνην c* (Scheindler[1] 905); *εὐ- Ω*. — *ἐρα*]*τὴν* ir. *P*. — 4 *ὑμνοπολεύσω*] v. Lobeck[7] 201. — 5 *δυσμενέοις L* (*D* ?) ac. — *κακότητα O*. — *μετατρεφθέντος S*. — 6 *καταφθίνοιντο OPQ*; *-φθείνοιντο* $L^2$; *-φθείροιντο* $L^1Ω$, cum *γρ'* ss. *P*. — *κεκμηκότες OQ*. — 7 *λοβητῆρας OE*; *λωβωτ- Q*. — 9 *ἔθνεσιν δ* sic *O*. — 10 *αὐτοῦ πᾶσι* $L^2Q$; *ἐν πᾶσι ODEM*, pc. *S* (*-σιν* $L^1$, ac. *S*); *ἐν πάντεσσι PRv*. — *ἠμάλδηνας D*; *-δην··* sic *S*. — 11 *ἄφθιτο* (*α* rubr.) *O*. — *τεύχεα πόλιάς τ' QRv*, ir. $L^2$; *τείχεα π. τ' O*; *τεύχη π. τ' P*; *ξίφϊα πόκρας τ'* sic *S*; *ξίφη* (cum lac. *DE*) *πόλεις τ' DEM*. — *ἀλαπάξας* $L^1$ (cr. $L^2$) *P*; *ἀπαλά- R*. — 12 *συμ S*, ac. *L*; *ἐν DEM*. — *πολλ*]*ῷ* pc. $L^2$. — *ὁμαδῶ OQ*; *-άδων* $L^1S$ (cr. $L^2$). — *ὤλετο Ω*, pc. $L^2Q$; *-εσε* ac. $L^1Q$. — *πάντῃ* $L^1Ω$ (*-τῃ P*); *-τα Q*; *-τας* $L^2$. — 13 *μίμνει OmΩ*; *-νοι abc*. — 14 *εὐνομίην OL*. — *στηρίξας O*. — 15 *διακρίνει* $L^1$ (cr. $L^2$); *-ινεῖε O*. — *δίκῃ* usque ad *λαοῖσι* 16 ir. $L^2$; om. *DE*($L^1$?)*MS*.

*καὶ σφετέροις λαοῖσι δίκην ἰϑεῖαν ὀρέξει.*
*ἀϑάνατος ϑεός ἐστι δύης ἀνάπαυμα πενιχρῷ,* 10
*ἐν δὲ βαρυφροσύναις ἐπιτάρροϑος ἅρμενος ἔστη.*
*ἐλπὶς ἕοις πάντεσσιν, ὅσοι μάϑον οὔνομα σεῖο,* 11
*οὕνεκεν οὐ προλέλοιπας ἐελδομένους σέο, ποιμήν.*
*ἐνναέτην Σιῶνος ἀεὶ φορμίζετ᾽ ἄνακτα,* 12
*πρήξιας ἀϑανάτου πυκινοῖς ἀγγείλατε δήμοις,*
*ὥς σφεων ἐμνήσϑη φϑιμένων διζήμενος αἷμα* 13
*οὐδὲ βοῆς δειλῶν ἐπελήσατο πάγχυ πενιχρῶν.*
*ἀδρανίην ἐλέησον ἐμὴν δηίους ἀπερύκων,* 14
*αὐτὸς ἀνυψώων με καὶ ἐκ ϑανάτοιο πυλάων,*
*πάντα πύλαις Σιῶνος ὅπως τεὸν αἶνον ἀείσω.* 15
*γηϑήσω μάλα σῇσιν ἀλεξικάκοισιν ἀρωγαῖς.*
*ἔϑνεα δυσφροσύνῃσιν ἐπετρώϑησαν ἑῇσιν·* 16
*ᾗ δὲ πάγῃ κρύπτεσκον, ἑῇ ξυνεέργετο πέζα.*
*τεύχων ἰϑυδίκην βασιλεὺς ἀρίδηλος ἐτύχϑη·* 17
*ἀμφ᾽ ἔργοις παλάμης σφετέρης πεπέδηται ἀλιτρός.*
*εἰς Ἀίδην παλίνορσοι ἀποστρέψειαν ἀλεῖται,* 18

---

**16—19** ir. $L^2$. — *ὀρέξει ΟΩ*; *-ξη LQ*; *-ξοι v*. — **17** *ἄμπαυμα LQ*. — *πενιχρῶν O*. — **18** *ἔσῃ OP*. — **19** *ἕοις* scripsi; *ἑοῖς Q*; *ἑοῖς ODES*; *ἔφυς Ω*. — *σοῖο LQ*. — **20** et **21** im. $L^2$. — *σοῖο LQ*. — *ποιμέν abc*. — **21** om. *DE*($L^1$)*MS*. — **22** *κρήξιας* (*κ* rubr.) *O*. — *ἀϑανάτου PRv*; *-τους ΟΩ*. — *πυκινοῖσιν O*. — *ἀνγγείλατε* sic *PR* (*ίλα* ir. *P*); *ἀναγγ- Q*; *ἀνείλαό τε O*. — **23** *διζήμαγος O*. — **24** *ἐπελήσατο Oa*b*cΩ*; *-σετο QRabm*. — *πάγχυ* $L^1$*Ω*; *πάντη O*$L^2$*Q*. — **25** *ἀνδρανίην a*. — *ἐμὴν Ω*; *ἐμοὶ OS*. — **26** *ἀνυψόων DE*$L^1$ (cr. $L^2$); *-ψώον S*: v. Lobeck[7] 214. — *με* om. *OQ*. — **27** *πάντα* $L^1$*Ω*, it. *Q*; *ἄντα* ss. *Q*; *ἀντά* $L^2$ im. — *πύλαις v*; *-ῃς P*; *-ης ODELQ*; *-ας MR*; *πόλης S*. — *τεὸν Ov*, ir. *P*; *τε τὸν DEMQ*; *τὲ τὸν LRS*. — **28** *ἀλεξικάκοισιν* pc. *QS*; *-κῃσιν O*; *-κησιν S* ac. — **30** *ᾗ Ω*; *ἥ O*; *ἡ S*; *ἐν DEM*. — *πάγ᾽ ἣν DEM*. — *ἑῆ M*. — *ξυνέργετο S*. — **31** *ἰϑυδίκην* scripsi; *εὐϑυδίκην* $L^2$; *-ίκας P*; *-ίκης Ω*; *-ικῆς O*; *εὐδικίκης* $L^1$; *εὐϑιδίκης* (ss. *ην*) *Q*. — **32** *ἀμφ᾽* (*ἄφ᾽ S, ἀπ᾽* $L^1$) *ἔργοις* $L^2$*Ω*; *ἐκ δ᾽ ἔργων DEM*. — *παλάμοις S*. — *σφετέροις O*$L^1$ (cr. $L^2$). — **33** *ἀποστρέψειαν Om*Ω*, im. *DE*; *ἀποτρ- bm*; *ἀπο-*

ἔϑνεα πάντα ϑεοῖο λελασμένα αἰὲν ἐόντος·
οὐ γὰρ ἄναξ πτωχοῖο διηνεκέως λελάϑοιτο, 19
οὐδέ ποτ' ἀδρανέων σταϑερὴ παραμείβεται ἐλπίς.
ἔγρεο, μὴ δὲ βίῃ κρατέων ἄνϑρωπος ἀνάσσοι· 20
φῦλα διακρίνοιντο τεῶν κατεναντίον ὄσσων.
στῆσον, ἄναξ, ἀγαϑὸν ϑεσμογράφον ἄλλον ἐπ' αὐτούς· 21
ἔϑνεά μιν γενεῆς βροτέης ἴστωσαν ἐόντα.
τίπτ' ἐπιδευομένων, πανυπέρτατε, τηλόϑεν ἔστης, 22
τειρομένων ἐπίκουρον ἀπῃώρησας ὀπωπήν;
πτωχὸς ὑπερβασίῃ φλέγεται κακοεργέος ἀνδρός· 23
βουλῇσιν φϑινύϑουσιν ἑαῖς ἀλιτήμονες ἄνδρες.
ἵμερον εὖ μάλα πάντες ἐπευφήμησαν ἀλιτροῦ 24
καὶ μύϑοις ἀϑέμιστον ἀρειοτέροις ἐνέπουσι.
ϑυμὸν ἀειζώοντος ἀτάσϑαλος ὤρορ' ἄνακτος· 25
ἄπλετα λυσσώων οὐ δίζεται οὐδ' ἐρεείνει
οὐδὲ ϑεὸν βλεφάροισιν ὑπερφιάλοισι δοκεύει.
πάντοτε δ' ἀτραπιτοῖσιν ἐλεγχίστῃσιν ὁδεύει· 26
ὀφϑαλμοῖς σφετέροισι τεοὺς ἠρνήσατο ϑεσμούς·

---

στραφεῖεν *LM*, it. *DE*; -στρέφοιαν *S*. — **34** πάντα om. *O*. — ϑεοῖο om. *DEM*. — λελασμένα *OQ*; λελησ- *Ω*. — ἐόντα *S* ac. — **35** οὐ *Ω*; αὐ (α rubr.) *O*. — **36** παραμείβετ' *O*. — **37** ἄγρεο (ἄ rubr.) *O*. — ἀνάποσσοι $L^1$ (cr. $L^2$); ἀνάποι *S*. — **38** διακρίνοιντο *OPQR*; -νοιτο *Ω*. — κατεναντίον *ODLMPQR*; κατ' ἐν- *Ω*; κατ' ἐναντίων *S*. — **39** δεσμογράφον *OLS*. — **40** μιν $OL^2Q$; μην $(L^1)S$; τοι *Ω*; om. in lac. *DE*. — ἱστῶσαν $(L^1)S$; ἴσϑω- *ODEM*. — **41** τηλόϑι *OQ*. — ἔστας *O*. — **42** μειρομένων (μ prius rubr.) *O*; an τειρομένων δ'? — **43** ὑπερβασίαις *Q*. — **44** βουλῇσιν *LRa* (Hilberg 42); -σι *Ω*. — **45** πάντ]ες pc. *Q*. — ἐπεφήμησαν *Q*. — ἀλιτρῶν *L* ac.; -ροῖς *O*. — **46** μύϑους *EM*. — ἀρειο]τέροις ir. *L*. — ἐνέπον *O*. — **47** ϑυμὸς *R*. — ὄρωρ' *ODEM*. — **48** ἄπλατα *O* ac. — λυσσώων Sternbach 67 (cf. 54, 7); λυσσάων $L^2Q\Omega$ (v. Lobeck[7] 211); λυπόων *DEMS* (ό in ώ cr. $L^1$). — **49** ϑεῶν *S*. — **50** ἐλεγχίστῃσιν scripsi (coll. 139, 12); -ίστοισι(ν) *Ω* (ir. $L^2$); -ίστισι *Q*; ἐλοχίστοισι *O*. — ὁδεύει *Ω*; δοκεύει (ex 49) *OLPQ*. — **51** om. $L^1$, add. $L^2$ im. — ἠρνήσαντο *Q*.

ἄρξει δυσμενέων γεγαὼς κακοεργὸς ἁπάντων·
σκέψατο γὰρ πραπίδεσσι μένειν κακότητι πεποιθώς. 27
ῥιγίστοιο πόνου καὶ ἀρῆς στόμα τοῖο βέβυσται, 28
γλῶσσαν ἀεὶ δολόεσσαν ἔχει περίφορτον ἀνίης.
ἕζεται ὁρμαίνων ἀμφ' ἀφνειοῖο θοώκοις, 29
βουλαῖς κρυπταδίῃσιν ἀναίτιον ἐξεναρίζων·
αἰεὶ δ' ὀφθαλμοῖς περιδέρκεται ἄνδρα πενιχρόν.
ὡς δ' ὀλοὸς ξυλόχοισι λέων κακὰ μήδεα πέμπει, 30
θᾶσσον ὅπως ἐλεεινὸν ἀφαρπάξειε προΐκτην,
βουλῆς ἁρπαλέης ἵνα μιν μέλπηθρα τελέσσῃ.
ἐν δὲ λίνῳ δολόεντι κακὸν καὶ ἀνήνορα τεύξει, 31
ἀλλὰ πέσοι κεκυφώς, πρὶν ἄναξ κλήζοιτο πενιχρῶν.
εἶπε γὰρ ἀρχαίων ἀμνήμονα μῆτιν ἄνακτος, 32
καί οἱ ἀπεστράφθαι πανδερκέα πάμπαν ὀπωπήν.
ἔγρεό μοι, βασιλεῦ, παλάμην δ' ὕψιστον ἄειρον 33
μηδὲ βοῆς μογερῶν ἐπιλήθεο πάγχυ πενιχρῶν.
τίπτε κακορρέκτης ἐρέθει θεὸν αἰὲν ἐόντα; 34
εἶπε γὰρ ἐν στήθεσσιν, ὅτ' οὐκέτι δίζεται ἐσσήν.
εἰσοράᾳς, ὅτι μόχθον ὁμοῦ καὶ θυμὸν ἀέξεις 35

---

**53** πραπίδεσι *L*; -ήδεσι *S*. — **54** ἀιγίστοιο (ἀ rubr.) *O*. — πόνου *ODELMQS*; δόλου *PRv*. — ἀρετῆς *Q*. — στόμα τοῖο *OQv*; στομάτοιο *DE*($L^1$)*MS*; στόμά οἱ *PR*. — βέβυσται *Ω*, cum γρ΄ *P* ss.; πέπλησται *PR*. — **55** om. it., add. im. *R*. — **56** ἕζε]-ται $L^2$ (-το $L^1$); ἕξεται *Q*. — ὁρμαίνων λόχον ἕζεται *PR*. — ἀμφ' ἀφνειοῖο θοώκοις $L^1$ (ἀμφ' om. *Ω*, sed cf. 39, 41); λόχον ἀ- ϑ- *v* (cf. supra *PR*); μετ' ἀφνειῶν ἐν θώκοισιν $L^2Q$; ἀφνειοῖο θώκοιο *O*. — **57** an ἐξεναρίζειν? -ίξων? — **59** πέμπει *Ω*; πέσσει *m**. — **60** θάσσει *M*. — ἐλεεινὸν $L^2$*Ω*; -εινὰ $L^1$; -εὶν *S*. — ἀφαρπάξειε scripsi; -πάσειε *Om*Ω*; -πάσοιε *Q*; ἐφαρπάσειε *MRv*. — ἀνδρὶ προΐκτῃ Hom. ρ 352. — **61** μην *S* ac. — **62** ἀνήνορα anon. Regim.; ἀγήνορα *Ω*. — τεύξει *O*$L^1$*Ω*; -ξῃ s. -ξη $L^2$*PRv*. — **63** om. $L^1$, add. $L^2$ im. — κλήζοιτο *PRv*; κληΐ- *O*$L^2$*Q*; κλή- *EMS*. — **64** μνήμονα $L^1$ (cr. $L^2$). — **65** ἐπεστράφθαι *Q*. — **66** ἄγρεό (ἄ rubr.) *O*. — παλάμη *O*. — δ' om. *S*. — **67** μογερῶν *OΩ*, im. *D*; πενιχρῶν *DEM*. — **68** κακορρεκτῶς *S*. — αἰὲν ir. *P*. — **70** ἀέξει *O*.

*ἰσχανόων παλάμῃσιν ἑλεῖν ἀέκοντας ἀνάγκῃ·*
*μὴ γάρ σοι προλέλοιπεν ἄναξ ἀχρήμονα φῶτα*
*ἢ πάρος ὀρφανικῷ ἐπιτάρροθος αὐτὸς ἐτύχθης;*
*φωτός, ἄναξ, κρυεροῖο βραχίονα λεπτὰ κεάσσοις,* 36
*οὐδὲ τέλος κακίης σφετέρης διζήμενος εὕροι.*
*ἀλλὰ θεὸς μετὰ πᾶσι διηνεκέως βασιλεύοι·* 37
*φῦλα κακοφροσύνης σφετέρης ἀπολοίατο γαίης.*
*ἀδρανέων θεὸς αὐτὸς ἐπεκρήηνεν ἐέλδωρ,* 38
*τῶνδε δ' ἑτοιμότατον κραδίης πόθον οὔασιν ἔγνω,*
*ὄφρά κεν ὀρφανικοῖσι καὶ ἀκλειέσσι δικάζοι,* 39
*ἀνθρώπων ἵνα μή τις ἔχῃ μεγαλαυχέα γῆρυν.*

## ι' (10)

*Δαυίδου δέκατος πολυάρητος πέλει αἶνος.* 1

*Πῶς ἐρέει τις ἐμεῖο θεῷ περιθαρσέα θυμὸν*
*στρουθὸν ὀρεσσιβότοισιν ὅπως θρῴσκοντα νομῆσι;*
*τόξα κακοὶ τανύουσι, βέλεμνα δ' ἔθεντο φαρέτρῃ,* 2
*ἰθυνόους ὀρφνῆθεν ὀιστεῦσαι μεμαῶτες,*
*ἀφραδίῃ καθελόντες, ἅ περ τεκτήναο, ποιμήν.* 3
*ἀλλὰ τί τοῖον ἔρεξε θεῷ μεμελημένος ἀνήρ;*

---

**71** *ὀλεῖν* *OQ*. — **73** *αὐτὸς* *Ω*; *ἀντ'* *O*. — **74** *κρυερῆς* *S* ac. — *κεάσσοις* (*-αις* *m*) *OPRv*; *κεάποις* $L^1S$; *-ξοις* *DEM*; *κεδάσσοις* $L^2Q$. — **75** *σφετέρης* *L*; *τεῆς* *Ω*; *γε ἑῆς* *Q*; *τε τεῆς* *PR*; *γε τεῆς* *v*. — *εὕρῃ* *O*. — **76** om. *R*. — *διηνεκῶς* *O*. — *βασιλεύ*]*οι* pc. *Q*. — **77** *κοφροσύνης* *Q*. — *γαίης* om. *O*. — **78** *αὐτὸν* *M*. — *ἐπεκρήηνεν* *LPS*; *-ῃνεν* *Rv*; *-ῃνες* *c*; *-νηνεν* *DE*; *-νηεν* *M*; *-ῃνον* *O*; *ἐπϊκρήηνεν* *Q*. — **79** *τῶνδε δ'* scripsi; *τῶνδ'* *ODEMS*; *τῶνδε* *LQ*; *τῶν δέ γ'* *PRv*. — *ἔγνων* *OS* (*L* ac.?); *-ως* *c*. — **80** *δικάζοι* *LPQ*, pc. *DS*; *-ζει* *O*, ac. *S*; *-ζοις* *D* ac., *Ω*. — **81** *ἔχῃ* (*-η*) *O* pc., *Ω*; *ἔχει* (οι supra) *S*; *ἔχοι* *DELM*; *ἔχει* *Q*.

*Υ* 10 *πέλει ὕμνος* *P*. — *Ψ* 10, **1** *ἐμοῖο* *OQ*. — *θεῷ* om. *OQ*. — *θυμὸν*] *ἄνακτι* add. *Q*. — **2** *ὀρεσσιβότῃσιν* *O*. — *θρώσκονται* *O* ac. — *νομῆσι* *Ω* (*-σιν* *O*); *-ήσειν* $L^2Q$; *-ήσας* $DEL^1MS$. — **3** *δ' ἔθεντο* *O*; *δὲ θέντο* (ex *-ται* cr. *S*) *Ω*. — **5** *τεκτήνατο* *Q*; *-ῄνω* *O*. — **6** *τοῖον* $L^2Ω$; *τόσσον* $L^1$.

*νηῷ παμβασιλεὺς πολυκυδήεντι ἀνάσσων,* 4
*οὐρανὸν ἀστερόεντα λαχὼν ὑψαύχενα θῶκον,*
*φῶτα μετ' ἀκτέανον πανεπίσκοπον ὄμμα τιταίνων*
*καὶ βλεφάροις βροτέης γενεῆς διζήμενος ἔργα.*
*αὐτὸς ἄναξ ἀγαθόν τε καὶ οὐλοὸν ἄνδρα δικάζοι·* 5
*ὃς δ' ἄδικον φιλέει, ψυχῆς ἔθεν ἐχθρὸς ἐτύχθη.*
*οὐρανόθεν χαλεποῖσι λίνα φθισίμβροτα πέμψει·* 6
*πῦρ καὶ θεῖον ὁμοῦ καὶ ἀμειδέος ἄσθμα θυέλλης*
*σφωιτέρου πέλεται πολυπήμονος αἶσα κυπέλλου,*
*ὅττι δίκαιος ἄναξ μάλα τ' εὐδικίην ἀγαπάζει* 7
*καί οἱ ἀεὶ ἰθεῖαν ὁδὸν θηήσατ' ὀπωπή.*

## ια΄ (11)

*Ἑνδέκατον Δαυῖδος ἐς ὀγδοάτην ἔφατ' ἠῶ.* 1

*Μοῦνε, σάω μ'· ὅσιον γὰρ ἄδην ἐξέφθιτο φῦλον,* 2
*ἔργα δ' ἀληθείης μεροπηίδος ὤλετο ῥίζης.*
*μύθοις μαψιδίοις ἕταρον προσέειπεν ἕκαστος,* 3
*χείλεσιν ἐφθέγξαντο δόλους φρεσὶ μητιόωντες.*

---

7 *πολυκυδήεντι* $\Omega$; *-κηδήεντι* $OQ$; *-κυδήεντα* $g$. — 9 *μέτ' ἀκτέανον* $m$; *μετ' ἀκτέανα* $LS$; *μετακτ-* $O$. — *ὄμματα τίνων* $L^1$ (cr. $L^2$); *ὄμμα τιτΐνων* $S$. — 10 *βροτέοις* $L^1$ (cr. $L^2$). — *γενεῆς* om. $L^1$, add. $L^2$. — 11 *δικάζοι* $O\Omega$; *-ζει* $Pv$. — 'post vs. 11 integer alius desideratur' Hoeschel. ap. $c$, vix recte. — 12 *ἄδικαι* $M$ ac. — 13 *χαλεποῖσι λίνα* (*λῖ-* $OLQ$) $\Omega$ (Hilberg 95); *-ποῖς λῖνα* $Rv$. — *πέμψει* $L$; *πέμπει* $\Omega$. — 14 *πῦρ καὶ θεῖον* $DELMQS$ (Volkmann 34, Ritter 20, Scheindler[1] 907); *καὶ πῦρ καὶ θύον* $O$; *πῦρ θεῖον τε* $PR$ (*-όν τε* $v$). — 15 *κυπέρου* $O$. — 16 *ὅττι τοι δ.* $O$. — *μάλα τ'* $\Omega$; *μάλλ'* $L^1$; *μάλ'* $DEL^2M$; *καί τ'* $OQ$; *καὶ* $P$; *καλῶν* $S$. — *ἀγαπάζει* $\Omega$; *κατοπάζοι* $O$. — 17 *ἀεὶ* $\Omega$, im. $M$; om. $DE$, it. $M$. — *ὀπωπῇ* $L^2Q$; *-πήν* $OL^1$.

$T$ 11 *ἐνδέκατος* $MN$. — *δαυίδου* $O$. — $\Psi$ 11,1 *μοῦνος* $O$. — *γάρ θ'* $Ra$; *γάρ τ'* $bcm$. — *ἄδην* $Q$; *ᾄδην* $PR$; *ᾄδῃ* $O$; *ἅδην* $\Omega$; *ἅδδην* $c$. — *ἐξέφθιτο* $O\Omega$; *ἔφθιτο* $Rv$. — 2 *ἔργα δ'* $OPQRv$; *ἔργα* $\Omega$; *ἔργ'* $DL$; *ἔρτ* sic $S$. — *ἀληθείας* $v$. — 3 *μύθεις* (ss. *οις*) $MN$. — *μαψιδίης* $Q$. — *ἑτάρον* $Pv$; *ἕτερον* $OQ$. — *προσέρριπτεν* $O$.

ἐξολέσαι θεὸς αἶψα δολόφρονα χείλεα πάντα 4
καὶ μεγαλαυχέα γλῶσσαν ὑπερφιάλων ἀλεγεινῶν,
πάντας, ὅσοι γλώσσῃσιν ἀνηέρθησαν ἑῇσι 5
καί σφισιν ᾠίσαντο φέρειν ἐπὶ χείλεσιν ἔργα·
τίς βροτὸς ἐξ ὑμέων βασιλεὺς ἄχραντος ἐτύχθη;
εἵνεκεν ἀκτεάνων μογερῶν στοναχῆς τε πενιχρῶν 6
αὐτὸς ἀναστήσεσθαι ἄναξ ἐπένευσε κραταιὸς
θήσεσθαί τε φόως ἀναφανδά τε φέγγεϊ ῥέξαι.
μῦθοι θεσπέσιοι, μῦθοι γεγάασιν ἄθικτοι, 7
ἀργύρῳ ἰσόμοροι φλογερῇ δμηθέντι καμίνῳ,
μοίραις πλειοτέραις κεκαθαρμένῳ ἕφθ' ὑπὲρ αἶσαν.
ἀλλ' ἡμέων ἐν πᾶσι φύλαξ φρουρός τε φανείης, 8
ἔνθεν ἄναξ καὶ μέχρις ἀτερμάντοιο βιώνης.
ἄστρασιν εὐκύκλοιο πόλου στείχουσιν ἀλεῖται, 9
ὡς ἀγαθὸς μερόπων γενεὰς ὥρῃσιν ἀέξεις.

## ιβ' (12)

*Δαυίδου κρατεροῖο δυωδέκατος πέλει ὕμνος.* 1

Τίπτε τόσον μεγαλωστὶ λελασμένος ἔπλευ ἐμεῖο; 2
μέχρι τίνος βασίλειον ἀποστρέψειας ὀπωπήν;

---

5 ἐξολέσαι $OL^2Q$, ss. $P$; -σει $L^1$; -σϊ $S$; -σοι Ω. — 6 ὑπερφιάλην $O$. — 7 πάντες $Om^*$, ac. $Q$. — ἀνηέρθησαν $O$Ω; ἀνιέρ- $Qbm$; ἀνηγέρθεσαν $m^*$ — 8 καὶ φρεσὶν $MN$ (im. γρ´ καὶ σφίσιν). — ᾠήσαντο $Q$; ὠΐσσ- $DMNS$. — ἐπὶ χείλεσιν] γρ´ ἐπὶ φρεσὶν $P$. — 10 στοναχῶν τε $OQ$; -χῆσεν $S$. — 11 ἔπνευσε $O$. — 12 τε prius om. $O$. — φῶς $O$. — 14 ἰσόμοιροι $O$; -μυροι $Q$; ἰσόνομοι $P$. — φλογερῶ $O$. — 15 κεκαθαρμένοι $L^1$ (cr. $L^2$); κεκαρθαμένῳ $R$. — 16 φρουρός τε φανείης Ω, ir. $L^2$, im. $MN$; καὶ μέχρι ἀτερμάτοιο (ἀταρμα- $MN$) βιώνης (ex 17) it. $D(L^1?)MNS$. — 17 add. Ω, im. $L^2N$; om. it. $DL^1NS$. — ἀτερμάρτοιο $M$ (cf. ad 16). — βιώης $M$; βιώνοις $L^2$: v. Lobeck[5] 405, Mommsen 270. — 18 πόλου (ss. gl. οὐρανοῦ) $P$; δόλου Ω.

Υ 12 κρατερὸς $M$. — δυοδέκατος $LMS$; δωδ- $O$. — πέ (λ ss.) $L$; πέλεν $Rv$. — Ψ 12, 1 ἐμεῖ $S$; ἐμοῖο $OLQ$. — 2 βασίλειον $DMPm$ (Lobeck[6] 47); -ίλειαν Ω; -ιλείαν $S$.

*μέχρι τεῦ ἡμετέρῃ μένεα φρενὶ μέρμερα πέσσω* 3
*ὠδίνων πραπίδεσσιν ὁμοῦ νύκτάς τε καὶ ἦμαρ;*
*μέχρι τεῦ ἐχθρὸς ἐμεῖο καρήατος ὑψόθι θύνει;*
*ἀλλ᾽ ἐπιδέρκεο θᾶσσον ἐμῆς τ᾽ ἐπικέκλυθι φωνῆς·* 4
*δὸς φάος, ὄφρ᾽ ὕπνον προφύγω, θανάτοιο τοκῆα,*
*ὄφρα μὴ ἐχθρὸς ἐμὸς μέγ᾽ ἐπεύξεται ὥς με δαμάσσας·* 5
*αἴ κεν ὀρινοίμην, κεχαροίατο δήιοι ἄνδρες.*
*αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἐλπίδι χαίρω,* 6
*πάντοτε γηθήσαιμι μετὰ φρεσὶ σῇσιν ἀρωγαῖς.*
*εὐέρκτῃ βασιλῆι πολύλλιτον ὕμνον ἀείσω,*
*οὔνομα δ᾽ ὑψίστου λιγυροῖς μελέεσσιν ἰήνω.*

## ιγ′ (13)

*Δαυίδου σθεναροῦ τρισκαιδέκατος πέλει ὕμνος.*

*Οὐκ εἶναι θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων·* 1
*αἴσχεα τεκταίνων στυγερὸς καταφαίνεται ἔργοις,*
*ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.*
*ποιμὴν οὐρανόθεν βρότεον σκοπιάσσατο φῦλον* 2
*ὀψόμενος, τίς ἄνακτα θεὸν διζήμενος εἴη.*
*πάντες ἀποκλίναντες ὁμῇ δεδμήατο λώβῃ,* 3
*ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.*
*λαυκανίην οἰχθέντι τάφῳ φορέουσιν ὁμοίην*

---

**3** *πεύσω* O; *πέσων* S. — **5** *ἐμοῖο* Q. — *ὑψόθ᾽ ἰθύνει* DM. — *θύνει* (*θ* pc.) L (ac. Q?); *θείνει* Ω, pc. Q; *θείνῃ* P. — **6** *ἐνδέρκεο* M. — *ἐμῆς τε* DLM. — **7** *ὄφρ᾽ ὕπνονπνον* D; *ὄφρ᾽ ἄπνοον* M. — **8** *ἐμοὶ μ.* L. — *δαμάσας* DL[1]PRS; *-σῃ* OL[2], ac. Q; *-σοι* Q pc. — **9** *εἴ* (*ε* rubr.) O. — **10** *αὐτὸς* M. — *ἐγὼ ἐλνέω* S. — **12** *εὐεργέτῃ* L. — **13** *δ᾽* om. DLMS. — *ὕψιστον* OQ.

Τ 13 *πέλει* OΩ; *πέ* (λ supra) L; *πέλλει* (om. *ὕμνος*) DE; *πέλεν* Rv. — Ψ 13, 1 *ἔειπεν* OPQ. — *ἐνὶ* O. — **4** *βρότεον* Lv, pc. Q; *-τιον* ODEMS; *-τειον* PR, ac. Q. — **5** *ὀψόμενός τ᾽ ἄν.* O. — **7** *ἑνὸς* om. it., ss. M. — **8—15** add. ODEL[1]MSv* (lemmate praemisso *ἐργατίνης· μετὰ τοῦτον τὸν στίχον ἐν ἄλλῳ ἀντιγράφῳ εὑρίσκεται ταῦτα* v*); unco inclusit L[2]; om. PQRv: cf. 52, 6 sq. — *λαικανίην* L[2]; *λαει-* S. — *ὁμοίων* M.

γλώσσαις ἀργαλέῃσι δόλον περιμητιόωντες·
οὐλόμενον πέσσουσ᾽ ὀφίων ὑπὸ χείλεσιν ἰόν,
ῥιγίστοιο πόνου καὶ ἀρῆς στόμα τῶνδε βέβυσται,
ὦκα πόδες θύνουσιν ἐπ᾽ ἀνδροφόνοισι κελεύθοις.
λυσιμελὲς σφετέρῃσιν ὁδοῖς περιπέπταται ἄλγος·
οὐδέ ποτ᾽ εἰρήνης λαθικηδέος εἶδον ἀταρπὸν
οὐδὲ φόβον κατέναντα θεουδέα θῆκαν ὀπωπῆς.
τῶν δ᾽ ἀγαθῶν ἀγνῶτες, ἀεὶ συμφράδμονες ἄτης, 4
λαὸν ἐμὸν κατέδοντες ὅπως εὐαλθέα σῖτον,
ἀφραδέως ἐλάθοντο θεὸν βασιλῆα λίτεσθαι.
δειμαίνεσκον ἄδην, ὅτε δείματος οὐ χρέος ἦεν, 5
ὡς θεὸς ἐν μέσσῃσι δικαιοτάτῃσι γενέθλαις.
ἀκτεάνων μή μοί τις ἀτιμήσειε μερίμνας, 6
οὕνεκεν ἀθάνατος κείνων θεὸς ἐλπὶς ἐτύχθη.
τίς πόροι ἐκ Σιῶνος ἐπίρροθον Ἰσραήλου; 7
λαοῦ ὅταν στρέψειε θεὸς καταδούλιον ἦμαρ,
τῆμος ἀγαλλέσθω περιώσιον Ἰσραῆλος.

## ιδ′ (14)

*Δαυίδου πινυτοῦ δέκατος καὶ τέτρατος ὕμνος.*

Τίς κλισίαις, ἄφθαρτε, παραυλίσσαιτο τεῇσιν; 1

---

9 γλώσσῃς s. -ης Ω. — 10 πέσουσ᾽ S; πεσοῦσ᾽ O. — 11 ἀιγίστοιο (ἀ rubr.) O. — 12 πόδες scripsi; πόδας Ω. — ἰθύνουσιν M. — 13 σφετέροισιν E ac. — περιπίπταται M. — 15 κατ᾽ ἔναντα O. — 17 εὐαλθέα $L^1$Ω; -ανθέα $L^2$Q. — 18 ἀφραδέος S ac.; -έον E ac. — λίτεσθαι $L^2$Q (Lobeck$^5$ 235); λιτέσθαι Ω; λιττέσθαι DEM; λιτᾶσθαι O; δειμαίνεσθαι $L^1$. — 20 γενέθλῃς s. -ης Ω. — 21 ἀτιμάσειε LQ, ac. E. — 22 κείνῳ Q. — 23 πόροις M ac. — ἰσραήλου λαοῦ DE. — 24 λαὸν ac. S; om. DE (cf. ad 23). — ὅτ᾽ ἂν λαοῦ O; ὅταν λαοῦ Q; ἄταν (ss. λαοῦ) M. — καταδούλιον O; κατὰ (κάτα m) δούλιον (-λειον Q) Ω. — 25 δῆμος (δ rubr.) O. — περιόσιος O; -όσιον Q. — ἰσδραῆλος M.

Υ 14 πινυτοῦ $L^2$Ω (cf. Υ 29, 2); -τῆς $L^1$. — δέκατον O, ac. R. — τέταρτος $L^1$ (cr. $L^2$) M; -τον O. — ὕμνος Ω, pc. R; αἶνος Q; μέλος O. — Ψ 14, 1 κλισίῃς s. -ῆς Ω; κλη- L; κλισείης S. — παραυλίσαιτο LQ; παραύ- O; παραυλίσοιτο Ω; -σϊτο S.

*ἢ σέο ναιετάοι τίς ἐπ' οὔρεος ἀχράντοιο;*
*εὐδικίῃ καὶ ἀκηρασίῃ μεμελημένος ἀνήρ,* 2
*στήθεσιν εὐαγέεσσιν ἀεὶ νημερτέα βάζων,*
*ἐκπάγλως δολερῆς στυγέων μελεδήματα γλώσσης,* 3
*ὃς κακὸν οὐ τέκτηνεν, ἑῷ δ' ἔρραψεν ἑταίρῳ,*
*οὐδὲ κακοῖς νείκεσσεν ὀνειδείοισι θυραῖον.*
*μωμητὸν βασιλῆι κακορραφὲς ἔπλετο φῦλον,* 4
*τοῖς δ' ἄρα δειμαίνουσι θεὸς μέγα κῦδος ὀπάζοι.*
*ὃς δέ κέ που ὀμόσειε καὶ ὅρκια πιστὰ φυλάξει*
*μηδὲ τόκον δυσάλυκτον ἑαῖς παλάμῃσιν ἀγείροι* 5
*μηδὲ δίκῃ βλάψειεν ἀναίτιον ἀνέρα δώροις,*
*οὔ ποτ' ὀρινθείη τρομέων βιότοιο θυέλλας.*

## ιε' (15)

*Δαυίδου χαρίεντος ἐπὶ στήλης ἐριτίμου* 1
*πρὸς δεκάτῳ πέμπτον τοῦτο μέλος λιγυρόν.*

*Ἄφθιτ', ἐμὲ φρούρησον, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.*
*εἶπα θεῷ βασιλῆι· „σύ μευ θεὸς ἔπλεο μοῦνος·* 2
*οὐδὲ γὰρ ἡμετέρων ἀγαθῶν ἐπιδεύεαι αὐτός.“*
*θηητὴν ὁσίων χθονίοις ἀνέφηνε γενέθλην* 3

---

3 *ἀκήρατεσίη* sic *M*; *ἀκηρεσίη PR.* — *μεμηλημένος O.* — 4 *ᾀεὶ* pc., tum *κακὸν* deletum *L.* — 5 *γλώττης Ω.* — 6 *ἑτέρῳ* s. -*ω DLQS.* — 7 *νείκεσσεν Ω* (*νεικέ- O*); -*εσσιν abm.* — *θυρέων O.* — 9 *θεὸν P.* — *ὀπάζοι Ω*; -*ζει Pm**, pc. *Q.* — 10 *ὡς δὲ καί O.* — *κέ που* (*κε ποῦ M*) *ὀμόσειε* (*ὀμ- DLRS*) *Ω* (v. Ritter 13); *κ' ἐπωνομόσειε P*; *κεν ἢν ὀμόσειε* Scheindler [1] 905. — *φυλάξει OP*; -*ξοι Ω*; an -*ξαι*? — 11 *μήτο τὸ καὶ δ. M* ac. — *τόκων L.* — *δυσάλυκτον DLMSv**; -*λευκτον R*; -*λεκτον OPQ*; -*λευτον v.* — *παλάμηϊσ* sic *S.* — *ἀγείροι Qm**; -*ρει O*[3]*Ω*; *ἄγειρε P*; *ἐγείρει O*[1]*Sv**. — 12 *μὴ L*[1] (ss. *δὲ L*[2]). — *δίκην S* ac. — 13 *ὀρνινθείη O*; *ὀριθ- S*; *ὀρυθ- L*[1]; *ὀρυνθ- L*[2].

*Τ* 15, 1 *ἐπιστήλη O.* — *ἐριτίμω O*; *ἐριτήμου Q*; *ἐρυτί- S.* — 2 *πέμπτω O*; om. *DM.* — *Ψ* 15, 1 *ἄφθιτ', ἐμὲ φρούρησον* scripsi; *ἄφθιτε, φρούρησον ODLMQS*; -*σόν με Ω.* — 2 *σὺ μὲν M.* — 3 *ἐπιδεύεαι*] *θ'* add. *O.* — 4 *χθονίοις PQRv*; -*νίης ODLMS* (v. ad 5). — *ἐνέφηνε O.*

*παρθέμενος πινυτοῖσι μετὰ σφίσι μήδεα θυμοῦ.*
*ἀδρανίαι πλήθουσι, καὶ ἐν σφίσιν εἰσὶ ταχεῖαι·* 4
*ἀνδρῶν εὐσεβέων ταχιναὶ βεβρίθασι νοῦσοι.*
*νόσφι φόνων ἀδίκων κλισίας σφέων εἰς ἓν ἀγείρω*
*οὔνομά τ' ἐκ πραπίδων οὐ χείλεσι μνήσομαι αὐτῶν.*
*αὐτὸς ἄναξ κλήρου καὶ ἐμεῦ πέλει αἶσα κυπέλλου,* 5
*αὐτὸς ἐμοὶ βασιλεὺς ζωαρκέα κλῆρον ὀπάζων.*
*σχοῖνοί μοι κρατεροῖσιν ἐφωρμήθησαν ἐπ' ἔργοις·* 6
*καὶ γὰρ κλῆρος ἐμὸς κρατερὸς καὶ πιστὸς ἐτύχθη.*
*μήτιος αἰνήσω πινυτῆς βασιλῆα δοτῆρα·* 7
*παννύχιος νεφροῖσιν ἐφ' ἡμετέροις ἐδαμάσθην.*
*αἰὲν ἀλεξητῆρα θεὸν προτιόσσομαι ἄντην·* 8
*δεξιτερῆς προπάροιθεν ἐμεῦ πέλει, ὥς κέ μ' ἐρείδοι.*
*τοὔνεκεν ἰάνθην κραδίῃ γήθησά τε γλώσσῃ* 9
*οὐδέ μευ ἀμπαύοιτο φίλον δέμας ἐλπίδι χαῖρον,*
*οὕνεκεν οὐ ψυχὴν Ἀίδῃ λείψειας ἐμεῖο* 10
*οὐδ' ὅσιον φθαρτοῖς ἐναρίθμιον ἀνδράσι θείης.*

---

5 *παρθένος M.* — *πινυτοῖσι* scripsi; *-τοῖς* $L^1$*MS*, im. *D*; *-τοῖς τε m**; *-τῆς* it. *D*; *-τῆς τε PRv*; *θνητοῖς* (ex gl. superioris *χθονίοις*?) *O*; *-τοῖο* $L^2$*Q*. — 7 om. *P*. — *βεβρίθᾰσι* ut 143, 31. — 8 *κλισίας σφέων Ω*; *κλισίφονον O*. — *κλ. σφετέρας συναγείρων P*. — *ἀγείρω* $L^1$*P*; *ἀγήρω* $L^2$*Q*; *ἀγείρων Ω*. — 9 an *χείλεσί τ' ἐκ πραπίδων οὐ μνήσομαι οὐνόματ' αὐτῶν*? — 10 *κλήρου OΩ*; *κλῆρος MRv*. — *κυπέλλαι D* ac. — 11 *ἐμεῦ* $L^1$ (cr. $L^2$). — *βασιλεὺς Ov*; *-λεῦ aΩ*. — *ζωαρκέα κλῆρον Ω* (cf. 118, 206); *κλῆρον ζωαρχέα* sic *O*. — 12 *σχοινία O*; *-νοί Ra*. — *ἐφωρμήθησαν Oc*; *ἐφωρμί- L*; *ἐφωρμίσ- Q*; *ἐφορμή- Ω*. — 13 *καὶ* $^{\beta}$*πιστὸς* $^{\alpha}$*κρατερὸς O*. — 15 *ὑφ' LS*. — *ἐδαμάσθησαν* $O^1$ (cr. $O^3$). — 16 *προτιόσσομαι OΩ*; *ποτι- PRv*. — *αὐτὴν M* ac.; *ἄρτην S* ac. — 17 *ὡς καί μ' O*; *ὡς κ' ἐμ' M*; *ὥς κ' ἐμ S*. — *ἐρείδοι Ω*, pc. *Q*; *-δει OPR*, ac. *Q*. — 18 *οὔνεκεν O*. — *ἰάνθην OQ*; *-θη Ω*. — *κραδίῃ Q*; *-ίη Ω*. — *γήθησά OQS*; *-σέ* s. *-σε Ω*. — *γλώσσῃ OQ*; *-ης S*; *γλῶσσα Ω*. — 19 *οὐδέ* (o' rubr.) *O*; *εὐ δε S*; *ἐν* (*ἐν* sic ss.) *δέ D*; *ἐνέν δε* it., *γρ' εὖ δε* im. *M*; *εὖ δέ Ω* — *μευ Ω*; *μ' O*. — *ἀμπαύοι τὸ PRabc*. — *χαίρων DLMS* (*ον* ss. *L*). — 20 *ἀΐδι O*, ac. *D*. — *ἐμεῖο DLM*, pc. *S*; *ἐμοῖο Ω*. — 21 *θείοις S*.

*εὐαγέας σήμηνας ἐμοὶ βιότοιο κελεύθους·* 11
*πλῆσον ἐυφροσύνης με, μάκαρ, μετὰ σεῖο προσώπου,*
*δεξιτερῇ σεο τέρψις ἀειζώουσα τετύχθω.*

## ις' (16)

*Εὐχὴ Δαυίδου ἑκκαιδέκατος πέλει ὕμνος.* 1

*Κλῦθί μευ εὐδικίης, πανυπέρτατε δῶτορ ἐάων,*
*ἱκεσίαις τεὸν ὄμμα, μάκαρ, τανύσειας ἐμῇσι,*
*κέκλυθι νωιτέρης δολεροῖς οὐ χείλεσιν εὐχῆς.*
*ἐκ σέθεν εὐθέσμοιο δίκης τέλος ἄμμι φανείη·* 2
*ὄμματά μευ δέρκοιντο τεὴν ἰθεῖαν ἀταρπόν.*
*ἔγνως μευ κραδίην, δεδαὼς δ' ἐσκέψαο νυκτός,* 3
*καί με διοπτεύων καθαρὸν πυρὶ πολλὸν ἐφεῦρες.*
*ἔργοις ἀνδρομέοις ἵνα μὴ στόμα πάγχυ μιήνω·* 4
*σῶν χάριν ἀτρίπτους ἐπέων ἐφύλαξα κελεύθους.*
*ἴχνεσι σοῖς ἀγαθοῖσιν ἐμὸν φίλον ἴχνος ἐρείδοις,* 5
*ὄφρά κε ῥιζωθέντες ἐμοὶ πόδες ἄτρομοι εἶεν.*
*αὐτός, ἄναξ, ἐβόησα, φίλης δέ μευ ἔκλυες αὐδῆς·* 6
*κλῖνον ἐμοὶ τεὸν οὖας, ἐμῶν δ' ἐπικέκλυθι μύθων.*
*θηητὴν ἀνάφαινε τεὴν οἰκτίρμονα βουλὴν* 7

---

22 **εὐαγέας** *L*; *-έος Ω*. — *ἐμὸς M*. — 23 **πλῆσον** (*-σον δ' Q*, **-σσον** *δ'* ir. *L*) **εὐφροσύνης** (sic *Ω*) **με** (hoc add. $L^2$*Q*, om. *D*$L^1$*MS*) **μάκαρ** *ODLMQS*; **εὐφροσύνης με μάκαρ πλῆσον** *PRv*.

Ψ 16, 1 *δωτὴρ S*. — **ἑάων** *Ω* (Hom. Ω 528); **ἐ-** *Om*. — 2 **ἱκεσίαις τεὸν** $O^3$*DLMQS*; *-σίαις τὲ* $O^1$; *-σίῃσί* (ex *-σίαις* cr. *R*) *τε PRv*; *-σίῃσίν* **τ'** Volkmann 34 (Scheindler[1] 907); *-σίῃς τεὸν* Ritter 19. — 3 *νωϊτέρας M*. — *δολεροῖσιν* $O^1$ (cr. $O^3$); *-ρῆς* $L^1$ (cr. $L^2$). — 4 **εὐθέσμοι]ο** add. $O^3$. — 6 *ἀγνὼς* $O^1$ (cr. $O^3$). — **μευ** *Ωm**; **μεῦ** *O*; **με** *v*. — *δ'* add. $L^2$*Ω*; om. *D*$L^1$*S*. — *ἀεσκέψατο S*. — 7 *μ]ε* ir. *R*; *μευ* $L^1$ (cr. $L^2$) *S*. — *δόπτεύων M*. — *ἐφεύροις O*. — 8 *μιήνη O*. — 9 **τῶν** (**τ** rubr.) *O*. — *ἐπέων Ω*, cum *γρ' M* im.; *ἔπων S*; *ἑρπων D*; *ἑρπῶν M* it. — 10 *ἀγαθοῖσιν ODLMQS*; *-θοῖς τὸ PRv*: cf. 17, 73. — *ἐρείδεις O*. — 11 **κεν** $O^1$ (cr. $O^3$). — *ἐμὸν M* ac. — *ἦεν D*; *ἧεν M*; *ἧ ἐνεῖ* sic *S*. — 12 *ἄναξ*] *δε* add., sed del. *S*. — *δέ μευ* ex *δ' ἔμευ* cr. *Q*. — 14 **οἰκτίρμον** *Q*.

ῥυόμενος σύμπαντας ἐπελπομένους σέθεν ἀλκῇ
ἐκ τῶν, οἳ μεμάασιν ἐριδμαίνειν σέο χειρί.
οἷά περ ὀφθαλμοῖο, μάκαρ, γλήνην με φυλάσσοις· 8
σεῖο πολυζήλων σκέπαϊ πτερύγων με πυκάζοις
ἐξ ἀνδρῶν ἀνόμων, οἵ μοι κακότητα τέλεσσαν. 9
ἐχθροὶ θυμὸν ἐμεῖο περιστιχόωντες ἔρυκον,
ἀπρήκτοιο κόρου σφετέρην ξυνέεργον ἀλοιφήν, 10
ᾧ στόματι κρυόεσσαν ὑπερβασίην κατέλεξαν.
οἵ μέ ποτ' ἐξελάοντες ἐκυκλώσαντο μολόντες, 11
ἐν γαίῃ κατέπηξαν ἐπικλίναντες ὀπωπάς.
ὡς δὲ λέων μεθέπεσκον ἑτοιμοτάτην ἐπὶ θήρην, 12
εἰσάμενοι σκύμνῳ σκότιον λόχον ἀμφιέποντι.
ἔγρεο καὶ φθάμενος χθονὶ κάββαλε, γούνατα λύσας· 13
δυσσεβέος μάλα θυμὸν ἀφαρπάξειας ἐμεῖο,
φάσγανον ἄμφηκες δηίων ἐξαίνυσο χειρός. 14
ἐξ ὀλίγων με σάω καὶ ἀπὸ χθονός, ἄφθιτε ποιμήν,
δασσάμενος σκεδάσειας ἔτι ζωοὺς διὰ γαίης.
σῶν κρυφίων ἔπλησαν ἑὴν πολυχανδέα νηδύν,
πλησθέντες σιάλων λίπον υἱάσι λείψανα δαιτός.
αὐτὰρ ἐγὼ βασιλῆι μετ' εὐδικίης προφανείην· 15
ἄρκιον εἰς κόρον ἄμμι φανέν σεο κῦδος ἐτύχθη.

---

15 ἐφελπομένους *ODLMQRS*. — 16 ἐριδμαίνειν scripsi (coll. 105, 34); ἐριδαί- *Ω*; ἐρειδαί- *Q*. — σεῖο *Q*. — 17 με om. *O*. — 20 ἐμεῖο *OΩ*; ἐμοῖο *PRv*. — 21 σφετέρου *O*. — ξυνέεργον scripsi (coll. 9, 30. 30, 17. 77, 61); συνέ- *Ω*; ἀνέ- *DM* (γρ' συνί- *M* im.). — 22 ᾧ s. ὦ *Ω*; οἷ (ο rubr.) *O*. — 24 ἐν *Ω*; ἂν *L*; ἀν *S*. — an ἂν γαῖαν? — γαίην *L*. — ὀπωπάς *ODLMQS*; -πήν *Ω*. — 25 θήρην *OΩ*; -αν *PRv*. — 26 εἰσάμενοι *Ω*, cum γρ' *M* im.; εἰσάκουσον *M* it. — χόλον *Q* — 27 ἄγρεο (ἄ rubr.) $O^1$ (cr. $O^3$). — κάββαλε $L^2Ω$; κάμβ- $ODL^1MS$. — 28 ἐμεῖο *OQ*, pc. *S*; ἐμοῖο *Ω*, ac. *S*. — 29 δηΐων $L^2Ω$; δήϊον $L^1Sm$; δηΐον *g*. — 31 δασσάμενος *Q*; δυσσά- *Ω* (δυσά- *P*). — 32 σῶν *DLMQS*; τῶν *OPRv*. — 33 πλησθέντε *Q*. — λίπου *Q*. — δαιτός *Ω*, cum γρ' *M* im.; ἀδαντός *S*; ἑοῖς *D*, it. *M*. — 35 ἀρκίονες *M*. — ἐς *Ω*. — ἄμμι $L^2Ω$; ἀμβλὺ $L^1$; ἀμβλῃ *S*. — σέο $L^2Ω$; καθ' ὃ $L^1$.

## ιζʹ (17)

*Δανίδου θεράποντος ἐπουρανίου βασιλῆος* 1
*τοῦτο μεγασθενέος βιοτῆς τέλος, ὡς πρὶν ἔειπεν,*
*ὁππότε δυσμενέων μιν ἄναξ ἀπελύσατο πάντων*
*Σαούλου τ' ὀλοοῖο λιλαιομένου μιν ὀλέσσαι.*
*ἔφθ' ἅμα καὶ δέκατον προσφθέγξατο πνεύματι κῶμον.*

*Κάρτος ἐμόν — σὲ γὰρ οἶον ἀεὶ θεὸν ἀμφαγαπάζω —,* 2
*αὐτὸς ἔρεισμα καὶ ἄλκαρ ἐμὸν καὶ ἀρωγὸς ἐτύχθης,* 3
*ἐλπὶς ἐμὴ τελέθεις καὶ ἐμῶν ἐπιτάρροθος ἔργων,*
*ἄρρηκτον βιότοιο κέρας καὶ ὑπέρμαχος ἀλκή.*
*ὑμνείων σε λιταῖς δηίων ἄπο χεῖρας ἀλύξω.* 4
*ὠδῖνες θανάτου με περιστιχόωντο βαρεῖαι* 5
*χείμαρροί τ' ὀρόθυνον ἀμήχανον ἀμπλακιάων,*
*Ταρταρίων μ' ὠδῖνες ἐκυκλώσαντο βερέθρων,* 6
*πλεκτὰ δέ με προύτυψε τανηλεγέος λίνα πότμου·*
*αὐτὰρ ἐγὼ κίκλησκον ἐπειγόμενος θεὸν ἄτῃ,* 7
*οὐρανόθεν βασιλῆος ἀρηγόνα χεῖρα βοήσας.*
*εὐαγέος καλέοντος ἐμὸν θρόον ἔκλυε νηοῦ·*
*φθόγγος ἐμὸς δύνειεν ἐς οὔατα πιστὰ θεοῖο.*
*χθὼν βριαρὴ δεδόνητο, τρόμος δέ μιν ἔλλαβε πᾶσαν,* 8

---

*Υ* 17, 1 *ἐποὐρανίου OD*; *ἐπ' οὐ- S*. — 2 *μεγασθένος* $L^1$ (cr. $L^2$). — *τέλος Ω*; *σθένος PR*. — 3 *μιν δυσμενέων O*. — *πάντων* $L^2$ ir.; *-τα S*. — 4 *σαυύλ' τ' O*; *σαοὺλ τοῦ PR*; *σαοῦλον Q*. — *λιλαιομένου Ω*; *ἱλασσομ- Q*. — *ὀλεσαι O*; *-έσαι L*; *-έσσει Q*; *-έσθαι M*. — 5 om. $L^1$, add. $L^2$ im. — *ἐφ' Q*. — *ἔφθαμα D*; *ε- S*; *ἔ- M*. — *κῶμον* $O^1$*Ω*; *-μος* (?) $O^2$; *-μα DMR*; *κώμον S*. — *Ψ* 17, 1 *σὲ γὰρ* usque ad *δέ με* 9 om. $L^1$ (?), add. $L^2$ partim ir. — *ἀείθεον* $OL^2PQRS$ (cum gl. *ἄφθαρτον P*); *ἀεὶ, θεὸς, m.* — *ἀμφαγαπάζων O*. — 3 *ἐμοὶ τελέθοις O*. — 4 *ἀλκῆς DMS*. — 5 *ἀπὸ Ω*. — 6 *θανάτου με* $L^2$ pc.; *-του ODMQS*; *-τοῖο PRv*. — 7 *ἀμήχανον* $OL^2Q$; *-νοι Ω*. — 9 *προύτυψε* (s. *προὔ-*) *ODLMPQS*; *προὔπεμψε Rv*. — *λὶν ἀπότμου M* it. (cr. im.). — *πότμον S* ac. — 12 *καλέον* sic *O*; *καθέοντος L* ac. — *θρόνον MS*. — *νηόν S* ac. — 13 *δύνειεν* $L^2Q$ (Lobeck[5] 488); *θύ- Ω*. — 14 *ἔλλαβε S*; *ἔλαβε OLQ*; *εἵλετο* (*εἵ- M*) *Ω*: cf. Hom. *Γ* 34 *ὑπό τε τρόμος ἔλλαβε γυῖα.*

βυσσόθεν ἠλιβάτων ὀρέων τετάρακτο θέμεθλα
θεσπέσιον τρομέοντα χόλον καὶ μῆνιν ἄνακτος.
ἀθανάτου κοτέοντος ἀπείριτος ὤρνυτο καπνὸς 9
καὶ πυρὶ λαμπόμενον μάκαρος σθένος ὦρτο προσώπου,
ἄνθρακες ἐξ αὐτοῖο πυριφλεγέθοντες ἀνῆφθεν.
οὐρανόθεν κατέπαλτο πόλον φλογοειδέα κλίνας, 10
ἀθανάτου πεφόρητο γνόφος παρὰ ποσσὶ θεοῖο·
ἐμβεβαὼς ὀχέεσσιν ἑοῖς πεπότητο Χερουβίμ, 11
ἵπτατο βυκτάων ἀνέμων πτερύγεσσιν ἀερθείς·
κευθόμενος κνέφαϊ — τὸ γὰρ ἤθελεν ἄλκαρ ἑλέσθαι — 12
ἀμφὶ ἓ κυκλώουσαν ἀγακλέα θῆκε καλύπτρην.
οἷά περ αἰθερίαις νεφέλαις κεκρυμμένον ὕδωρ.
ὥρμηθεν νεφέλαι σφετέρων ὑπὸ μαρμαρυγάων, 13
ἄνθρακες ὀρνυμένοιο πυρὸς μίγνυντο χαλάζῃ.
τῆμος δ' ἐβρόντησεν ἀπ' οὐρανόθεν θεὸς αὐτός, 14
ἀθανάτῃ δ' ὕψιστος ἀπ' αἰθέρος ἴαχεν αὐδῇ.
θεσπεσίοις ἐκέδασθεν ἐπιτροχόωσιν ὀιστοῖς, 15
πάντες ἅμ' ὠρίνθησαν ὑπ' ἀστεροπῇσι θαμειαῖς·
ὑδροτόκοι δ' ἀνέτελλον ἀκηράσιοι τότε πηγαὶ 16

---

15 βυσσόθεν *OLQ*; βύπο- *S*; ἔκπο- *Ω*. — τετάρακται θεμέλια *O*. — 17 ἀπείριτος *Ω*; -ητος *PR*; -ατος *v**. — ὤρνυτο *Q* (cf. 105, 48); ὄρ- *Ω*. — 18 λαμπομένου *O*. — σθένος usque ad ὕδωρ 26 om. $L^1$ (?), add. $L^2$ partim ir. — 19 αὐτοῖς (im. γρ' αὐτοῖο) *M*. — πυριφλεγέθοντος *O*; -γόθοντες *M*; -γέθεντες *S*. — 21 ἀθάνατος *ODS*, ac. *MQ*. — 22 ἐμβαὼς *S*. — χερουβὶ *S*. — 23 ἵπτατο pc. $L^2$; ἔ- (rubr.) *O*. — 24 κνέφαϊ *Ω*, pc. *R*; -φαη *S* ac.; -φας *O*: v. Ritter 29. Rzach[1] 752. [3] 334. — 25 ἀμφί ἓ *m*. — 26 αἰθερίῃς νεφέλῃς *LQ*; -ης -ης *Ω*. — 27 et 28 om. $L^1$, add. $L^2$ im. — ὅρμηθεν *M*; ὁρμηθὲν *D*; ὁ- *OS*. νεφέλαις *DMS*. — ἀπὸ *O*. — 28 μίγοιντο *O*; μίγνυτο *D*, pc. (μύ- ac.) *S*. — 29 τῆμος δ' *L*; τῆμος *Ω*. — ἐβρόντησεν *DLMS*; -σε καὶ *O*; -σεν καὶ *Ω*. — 30 ἴασχεν *M*; ἴσχεν *D*, ac. *L*. — 31 ἐκέδασθεν *ODQS*, pc. *L*; -δασεν *Ω*; -δασσεν *a*; -δαθεν *L* ac. — ἐπὶ τροχάωσιν *L*; -ώωσιν *S*. — 32 θαμειαῖς *OPv*; -είαις *Ra*; -ϊαῖς $L^2$; -ναῖς *Q*; -εῖες *DM*; -εῖε *S*.

*καὶ πάσης ἐρίβωλα θεμείλια φαίνετο γαίης,*
*ἄφθιτε· σὴν γὰρ ἅπαντα περιτρομέεσκον ὁμοκλήν·*
*πνεύματος ἐπτοίηντο τεοῦ τόσον ἆσθμα καὶ ὀργήν.*
*οὐρανόθεν προέηκε, θοῶς δέ μ' ἐρύσατ' ἀνάγκης,* 17
*ἐκ δὲ πολυσμαράγων με θοῶς προσέδεκτο ῥεέθρων.*
*ῥύσεται ἐκ δηίων μ', οἷσιν περιώσιος ἀλκή,* 18
*ἀνδρῶν τ' ἐχθομένων, ὅτι φέρτεροί εἰσιν ἐμεῖο.*
*ἠπεδανῷ προύτυψαν ἐν ἤματι θωρηχθέντες,* 19
*καί μευ ἄναξ προμάχιζεν, ἐπεστήριξε δ' ἐρωήν,*
*θαρσαλέον δ' ἔστησεν ἐπ' εὐρυχόροισιν ἀταρποῖς·* 20
*ῥύσεται ἐκ δηίων μ', αὐτὰρ στυγέοντας ἐλέγξει.*
*μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι,* 21
*ἡμετέρων τόδε κέρδος ἀκηρασίης παλαμάων,*
*οὕνεκεν ἀθανάτοιο φίλας ἐφύλαξα κελεύθους* 22
*οὐδὲ νόῳ φρασάμην ἕτερον θεόν — οὐδὲ γὰρ ἦεν —·*
*οὕνεκά οἱ ζωοὺς ὁρόω φρεσὶ πάντοτε θεσμοὺς* 23
*οὐδέ οἱ ἀχράντων φυλακὴν λίπον ἐννεσιάων.*
*καί οἱ ἀμωμήτοισι παρέσσομαι ἴχνεσιν αἰεί,* 24
*ἀμπλακίης ἀπάνευθε νόον βασιλῆι φυλάξω.*
*μισθὸν ἐπ' εὐδικίῃ καὶ ἐπάξιον εὖχος ὀπάζοι,* 25

---

**35** *ἄφθιτε* superiorem versum terminat *D*; *ἄμφθιτε M*. — *περιτρομέεσκον OPQ*; *-κεν Ω*. — **36** *νεύματος* (*ν* rubr.) *O*. — *δἐπτοίηντο* $L^1$; *δἐπτΐη-* $L^2$; *ἐποίη- S*. — *ἄσθμα καὶ S*; *ἆ-* $L^2$*Ω*; *ἄσθμασι* $L^1$. — *ὀργὴ M*. — **37** *δέ μ' ἐρύσατ' OΩ*; *δὲ μ' ἐρύσαντ'* (*γρ' ἐρύσατ'* im.) *M*; *δ' ἐμ' ἐρΰσσ̣̣ατ'* sic *R*; *δέ με ῥύσατ' v*. — **39** *μ' οἷσιν Ω* (*μ'* ir. *L*); *με οἷσι DMOP*; *-σιν S*; *μ' οἷσι R*. — *περιώσιοι M*. — **40** *τ' ἐχθομένων Ω* (*-νον M*); *τεχνομένων Q*. — *ἐμοῖο OPQR*. — **41** *ὑπεδανῶν* (*ὑ* rubr.) *O*. — *ἐν* om. *M*. — **42** *προμάχ̣ι̣ζον M*. — *ἐπεστήριζε MQ*. — **43** *καρσαλέον* (*κ* rubr.) $O^1$, cr. $O^3$. — *ἀταρποὺς* $L^1$, cr. $L^2$. — **44** *δηΐω Q*. — *με, ἀτὰρ Ω*. — **45** *τισθὸν* (*τ* rubr.) $O^1$, cr. $O^3$. — *εὐδοκίη O*, ac. *Q*. — *ὀπάζει QS* ac. — **48** *νόων* $L^1$*M*; *-ω* cr. $L^2$. — **49** *οὕνεκεν M*. — *ὁρόα* $L^1$*MS*, cr. $L^2$. — **50** *ἐννεσιάων LQ* (cf. 118, 158); *ἐννεπ- ODS*; *εὐεπ- M* ir.; *εὔνομ- PRv*. — **52** *νοὸς O*. — **53** *τισθὸν* (*τ* rubr.) $O^1$, cr. $O^3$: v. ad 45. — *ἐπ' εὐδοκίη O*; *ἐπεδόκίη* sic *Q*.

ἡμετέρων δέρκοιτο δ' ἀκηρασίην παλαμάων.
ἢν ὁσίων συνέριθος ἔῃς, ὅσιός κε γένοιο, 26
καί κε νόῳ ξυνεόντι μάθοις παρ' ἀθῴου ἀθῷον,
ἐσθλῷ δ' ἀνέρι πάντα μεμιγμένος ἐσθλὸν ἀκούσαις 27
ἠδὲ πάλιν στρεπτῷ παρεὼν βροτῷ εὔστροφος εἴης.
αὐτὸς λαὸν ἀεὶ χθαμαλόφρονα ῥύσεαι ἄτης, 28
ὀφθαλμὸν δ' ἀκόρητον ὑπερφιάλων ἀλαώσαις.
αὐτὸς λύχνον ἐμὸν πολυφεγγέα πάντοτε τεύξοις, 29
ἄμμι διαστράψοις δνοφερὸν κνέφας ἐκ σέθεν αἴγλης.
νεύματι σῷ προφύγοιμι κακῶν πολυπήμονα πείρην, 30
πύργον ὑπερβαίην πίσυνος θεῷ αἰὲν ἐόντι.
ἀθανάτου βασιλῆος ἀκήρατοί εἰσι κέλευθοι 31
καὶ μῦθοι πυρόεντες ἀναξείουσιν ἄνακτος·
τῶν δ' ὑπεραθλεύῃσιν, ὅσοις πέλει ἐλπὶς ἐπ' αὐτῷ.
τίς μάκαρ ἀθάνατος πλὴν ἀθανάτου βασιλῆος; 32
ἠὲ τίς ἡμετέροιο θεοῦ θεὸς ἐκτὸς ἐτύχθη;
ἀμφιβαλών μ' ἔζωσε θεὸς περιώσιον ἀλκήν, 33

54 ἡμετέρην $L^2Q$. — 55 ἢν $O^3\Omega$; ἣν $L$; ἐν $O^1$. — ὁσίω $O$. — ξυνέριθος $\Omega$: sed cf. 37, 39. 118, 74. 279. — ἔῃς s. ἔης $PRvm^*$, pc. $O$ (Scheindler[1] 905); ἔῃ $m$; ἔοις $DLMQS$, ac. $O$. — 56 κε $L^2\Omega$; με $L^1$. — νόον $Q$; -ων $S$. — ξυνεόντι $L^2$; -εώντι $P$; -έοντι $\Omega$; -έωντι $RS$; -έων τί $L^1$; -όωντι $OQ$; -ιέντι $m^*$ (v. Mommsen 262). — ἀθώου ἀθῶος $O$; -ῷον -ῴου $\Omega$. — 57 δ' $O\Omega$; om. $Rv$: cf. Volkmann 34. Ritter 16. Scheindler[1] 905. Mommsen 262. — ἐσθλὸν $OL^2Q$; -λὰ $L^1\Omega$; -λά γ' Mommsen l. l.; -λὸς $P$, Ritter 16. — ἔσθλ' ἐπακούσεις Volkmann l. l. (Scheindler[1] l. l.). — ἀκοῦσαι $O$. — 58 ἠδὲ $L^2Q$, pc. $P$; οὐδὲ $\Omega$. — εὔστροφος $\Omega$, pc. $L^2M$; -φον $DL^1S$, ac. $M$. — 59 ἀεὶ λαὸν $P$. — ῥύσαιε (ex -αισ cr.?) $O$; -σεται $DMPS$. — 60 ὀφθαλμοῦ $M$. — ἀλαώσαις $PQRm^*$, ss. $O$; -σεις $DMm^*$, it. $O$; -σις $S$; -σοις $L^1$; -σας $L^2\Omega$. — 61 αὐτὸς δὲ λ. $ODL^1M^1S$ (cr. $L^2M^2$); -τὸς σὺ λ. $PR$. — τεύξοις $L^2\Omega$; τέξοις $DML^1$; τεύξεις $O$. — 62 διαστράψοις scripsi; -ψοι $\Omega$, pc. $Q$; -ψει $O$, ac. $Q$. — αἴγλης $OL^2PQR$; -λην $DL^1MS$; -λη $v$. — 64 ὑπερβαλην (ss. λ et ειν) $M$. — 65 ησι $S$. — 69 ἠέ τις $DM$; ἢ ἔτις $S$. — ἐτύχθη ἐκτὸς $DL^1MS$ (cr. $L^2$). — 70 ἔσωσε $O$; ἐσάωσε $Q$.

θήκατο δ' ἡμετέρην καθαρὴν καὶ ἄμωμον ἀταρπὸν
τεύχων ὠκυπόδεσσι πόδας κεμάδεσσιν ὁμοίους· 34
αὐτὰρ ἐφ' ὑψίστοισιν ἐμὸν φίλον ἴχνος ἐρείδων,
χεῖρας ἐμὰς βριαράς τε μενεπτολέμους τε διδάσκων, 35
παγχάλκειον ἔτευξε βραχίονας ἠύτε τόξον.
καί με πόρες μερόπεσσι φόως ἀλκτῆρά τ' ἀνάγκης, 36
καὶ σέο δεξιτερὴ πρόμος ἔπλετο πάντοτ' ἐμεῖο,
σεῖο, μάκαρ, σοφίῃ κραδίην ἰθύνομαι αἰεί,
πάντοτε κυδιάνειρα τεὴ σοφίη με διδάσκει.
ἔμπεδον ἴχνος ἔχω, σὺ δ' ἐμὰς εὔρυνας ἀταρπούς· 37
οὔ τις ἐλαυνόμενόν με δρόμῳ παρελεύσεται ἐχθρῶν, 38
οὐδὲ βίης λήξαιμι, πάρος λήξουσι δαμέντες·
οὐδὲ πιεζομένοις σταθερόν σφισιν ἔσσεται ἴχνος, 39
ἀλλὰ ποσὶ δμηθέντες ὑφ' ἡμετέροισι πέσοιεν.
ἠνορέῃ μ' ἐκόρυσσας ἀριστοπόνῳ κατὰ δῆριν, 40
ἀντιβίους ξυνέδησας ἐμῶν ὑπένερθε πεδίλων.
δυσμενέες πεφόβηντο φυγῇ μετὰ νῶτα βαλόντες, 41
αὐτὰρ ἀπεχθαίροντας ἀδευκέι πέφνες ὀλέθρῳ.
αὐτοὶ μὲν βοάασκον, ὁ δ' οὔ σφισιν ἦεν ἀμύντωρ· 42
ἀθάνατον καλέεσκον, ὁ δ' οὐκ ἀίεσκε λιτάων.
τοὺς διαλικμήσαιμι ἅτε χνόον ὄντα θυέλλῃ, 43

---

74 μενεπτολέμου $L^1$, cr. $L^2$. — 75 ἠΰτε $L^2Ω$; ηὔτετο $DM$; ἤντετο $L^1$; ἤντε $S$. — 76 μευ $O$. — φάος ex φόως cr. $O$. — 77 πρόμαχος $O$. — πάντοτ' ἐμεῖο (-οῖο $O$, ac. $Q$) $L^2$ (om. $L^1$) $Ω$, im. $M$; σοφίη με διδάσκει (-κοι $S$) $DMS$ (ex 79). — 78 σοΐ (ss. ει) $S$. — κραδίῃ $S$; καρδίη $L^1$ (-ην $L^2$). — ἰθυνόμενος $O$. — 79 σοφίῃ $S$. — 81 ἐλαυνόμενοσ (σ pc.) $O$, om. με. — 83 οὐδ' ἐπιβο(ex ω cr.)μένοις $O$. — ἔσσεται $OQ$; ἔσεται $L^1$ (εἴσ- $L^2$), cum γρ' $P$; ἔσχεται $S$; ἴσ- $PΩ$. — 84 ποδὶ $Q$. — ἐφ' $OMQ$. — ὑμετ. $M$. — 85 ἠνορέην $Q$. — μ' ἐκόρυσας $L^2$ (μεκ- $L^1$); με (μὲ $R$, μὲν $O$) κόρυσσας (-υσας $DS$, -υσαι $M$) $Ω$. — 88 πέφνεν $L^1$ (cr. $L^2$); πέφν' $DS$; πέφυ $M$ (cr. im.). — 89 μὲν $Ω$; δὲ (cum nota ·/·) $S$. — ὅ δ' οὐ $OLPR$; ὅδε $Q$. — 90 οὐκαΐεσκε $O$; οὐ- $S$; οὐκέεσκε $Q$. — 91 θυέλλῃ $OQ$; -η $LS$; -ης $Ω$.

πηλὸν ὅπως πεζῇσιν ἐπιστείψαιμι κελεύθοις.
δημοτέρων ἔριδός με διχοστασίης τε σάωσον, 44
καί με καταστήσειας, ἄναξ, κοσμήτορα λαῶν.
λαός, ὃν ἀγνώσσω, θέτο μευ ζυγῷ αὐχένα δοῦλον·
οὔασιν ἡμετέρην ταχυπειθέσι δέξατο φωνήν· 45
ἀλλοδαποὶ γεγαῶτες ἐπεψεύσαντό με παῖδες,
μαψιδίως μετὰ γῆρας ἔβαν ἀλλότριοι υἷες 46
πάντοτε χωλεύοντες ἑῶν ἀπάνευθε κελεύθων.
ζώει ἐμὸς βασιλεὺς καὶ ἀεὶ πολύαινος ἐτύχθη· 47
ἡμετέρου βιότοιο θεὸς πανυπέρτατος εἴη,
ἔκδικος αἰὲν δμῶς γεγαὼς δηίους κεραΐζοι, 48
ἡμετέρῳ δαμάσας θεοτερπέι κάρτεϊ λαόν.
χωομένων κακότητος ὕπ' ἀντιβίων με φυλάσσοι· 49
ἀλλ' ἐπαειρομένων, βασιλεῦ, πολὺ φέρτερος εἴην,
ἀνέρος ἐξ ὀλοοῖο κακορραφίης με σαώσοις.
τοὔνεκα σὴν ἀναφανδὰ διίξομαι ἔθνεσιν οἴμην, 50
οὔνομα δ' ὕψιστον κιθάρῃ σέθεν ὑμνοπολεύσω,
οὕνεκα φέγγος ἄειρας ἀλεξίκακον βασιλῆος, 51
ἀθανάτην δ' ἐλεημοσύνην τεκτήναο χριστῷ
Δαυίδῳ καὶ τοῖο διηνεκέεσσι γενέθλαις.

## ιη' (18)

Ὀκτωκαιδέκατος Δαυίδου ψαλμὸς ἐτύχθη. 1
Οὐρανοὶ ἄφθιτον εὖχος ἀπαγγέλλουσι θεοῖο, 2

---

**92** ἐπι(ex ει cr. *L*)στεί(εῖ *O*)ψαιμι *ODLMQS*; -στύψαιμι *PR*; -στίψαιμι *v*; -στίμι *S*: cf. 138, 19. — **93** διχοστασίη (om. ς τε in lac.) *S*. — τε $L^2$*Ω*; om. $L^1$; με *PR*. — σάωσον *O*$L^2$*PQ*; σαώσοις *D*$L^1$*MRS*; -σεις *v*; -σαις *m**. — **95** λαὸς $L^1$*PQv*; λαὸν *O*$L^2$*Ω*. — αὐχένι *DM*. — **96** ταχύπειθεσι $L^1$*S* (θέα ss. $L^2$); ταχυπειθέα *Q*; ταχὺ πειθέσθαι *O*. — **97** μοι *O*. — **98** μεταχεῖρας *Q*. — **100** ἐμοὶ *PQRv*. — **101** ἡμετέροιο *ODM*. — **102** κεραΐζοι $L^2$*Ω*, pc. *O*; -ζω $L^1$*S*; -ζων *DM*, ac. *O*. — **103** θεοπρεπέϊ *Q*. — **104** om. *D*$L^1$*S*, add. $L^2$ im. — ὕπ' *abc*; ἀπ' *m**. — φυλάσσει *O*. — **105** φέρτερον *DM*; -τατος *PR*. — **106** ὀλοοῖς *M*. — **107** δείξομαι ἔθνε' *O*. — οἶμον *P*. — **109** ἀείρας *ODMS*. — **111** δαυίδου *O*.

χειρῶν δ' ἀθανάτων ἕδος οὐρανοῦ ἔργα λιγαίνει.
ἤματι τιμήεντα λόγον προσερεύξατο ἦμαρ 3
καὶ νὺξ ἀμβροσίη σοφίην ὑπεθήκατο νυκτί.
οὐ θρόος ἀλλόγλωσσος ἔην πολὺς οὐδέ τι μῦθοι, 4
ὧν αὐδῆς λελάθοιντο καὶ οὐκ αἴοιεν ἁπάντων·
σφωίτερος μὴν φθόγγος ὅλην μετενίσσετο γαῖαν 5
καὶ μῦθοι πεπότηντο διὰ κλυτὰ πείρατα γαίης.
σκηνὴν ἠελίῳ παρεθήκατο τιμήεσσαν· 6
λαμπόμενος δ' αὐτὸς θαλάμων ἅτε νυμφίος ὦρτο·
εἴκελα γηθήσειε δρόμον τελέοντι γίγαντι·
οὐρανίης ἑτέρωθεν ἰὼν προελεύσεται ἄκρης, 7
εὖ δὲ καταντήσειε φανεὶς ἑτέρης ὑπὲρ ἄκρης·
οὐδ' ἔσθ', ὅς κε φύγῃ φλογερὴν ἀκτῖνα φανεῖσαν.
θεσμὸς ἀκηράσιος ψυχοστρόφος ἐστὶν ἄνακτος, 8
πιστὴ μαρτυρίη σοφίην βρεφέεσσι φυτεύει.
εὐφροσύνην κραδίῃσι δίκαι τεύχουσι θεοῖο, 9
ἐννεσίῃ στίλβουσα καὶ ὄμμασι φέγγος ἀέξει.
θεῖον ἀεὶ καθαρόν τε καὶ ἔμπεδον ἔπλετο δεῖμα· 10

Ψ 18, 2 ἀθάτων *M* ac — ἔργω (λι ir.) *Q*. — 3 ἦμαρ (ἦ rubr.) $O^1$ (ἦμα sic cr. $O^3$). — τιμήεντι *L* ac. — προσερεύξατο *Ω*; an -ερεύγεται? v. Volkmann 34. Ritter 15. — 4 ἀμβροσίη $OL^1Ω$, ac. *Q*; -σίην $L^2Rv$, pc. *Q*: cf. Hom. *B* 57 ἀμβροσίην διὰ νύκτα. — 5 πολλοὺς *M* ac. — τι *Ω*, pc. *P*; τοι *R*, ac. *P*. — 6 λελάθοιντο *Om**; -θουτο *M*; -θοντο *Ω*. — ἄϊον $L^1$, cr. $L^2$. — 7 μὴν *Qv*; μην $L^2$, ac. *S*; μιν $L^1Ω$, ac. *Q*, pc. *S*; μὲν *m*. — ὀλοὴν *DS*; ὀ- *M* (cr. im.). — μετανίσσεται (ται in το cr.) *O*. — 8 πείρατα γαίης Hom. Ξ 200. — 9 παρεθήκατο *OΩ*; -εκάτθητο *DM*; -εκάθῄτο *S*; -εκάθητο *L*. — τιμήενταν *DM* (cr. im. *M*). — 10 αὐτῶν *Q*. — ὦντο *S*; ἰὼν *L* (ex 12? ὁρμῶν $Lch^2$ 346). — 11 γηθήσει $O^1$, cr. $O^3$. — 12 οὐρανίοις *O*. — ἰώνδε *O*. — ἄκρας $L^1$, cr. $L^2$. — 13 add. *OΩ*, im. *P*; om. *v*. — φανοῖς *Q* ac. — ἑτέρας *O*. — 15 ψυχοστρόφος *Qv*; -όστροφος $L^2$; -οτρόφος *ODM PRv*m**; -ότροφος $L^1S$. — ἐστὶν $L^2Ω$; δι' $L^1$. — 16 μαρτυρίην *O*. — 17 τοὔχουσι *O*. — θεοῖς *M*. — 19 ἔλπετο *Q* ac. — θυμῷ ante δεῖμα add. *O*.

*ἔγνων εὐδικίας παναληθέας αἰὲν ἄνακτος,*
*χρυσοῦ καὶ ψηφῖδος ἀρειοτέρας ἐριτίμου* 11
*καὶ πολὺ τερπνοτέρας μελικηρίδος ἱμεροέσσης.*
*ταῦτα τεὸς θεράπων κεχαρημένος οἶδε φυλάσσειν* 12
*μισθὸν ἔχων φυλακῆς ἀγαθῶν περιώσιον ἔργων.*
*τίς κεν ἀναγνοίη πληθὺν βροτὸς ἀμπλακιάων;* 13
*αἰέν, ἄναξ, κρυφίων με κακῶν ἀπάνευθεν ἐρύκοις,*
*μηδέ μοι ἀλλοτρίων κτεάνων φρεσὶν ἵμερος εἴη·* 14
*εἰ μή μευ κρατέοιεν, ἀμώμητός κε γενοίμην*
*νιψάμενος κακότητος ἀτασθαλίης τ' ἀλεγεινῆς.*
*μῦθοι δ' εὐδοκίῃ μεμελημένοι ἰθύνοιντο* 15
*καί σευ ἐμῆς κραδίης μελέτη κατεναντίον ὄσσων·*
*αἰὲν ἀλεξητὴρ καὶ ἐπίρροθος ἔπλευ ἐμεῖο.*

## ιθ' (19)

*Ἐννεακαιδέκατος Δαυίδου ψαλμὸς ἐτύχθη.* 1

*Εὐξαμένῳ θεὸς ἦμαρ ἀλεξήσειεν ἀνάγκης* 2
*καί σευ Ἰακώβου πρόμαχος θεὸς ἄφθιτος εἴη.*
*ἐξ ἁγίου χατέοντι φίλην ὀπάσειεν ἀρωγήν,* 3
*ἐκ δ' ἐρατῆς Σιῶνος ἀλεξίκακος πέλας ἔλθοι.*
*αὐτὸς παντοίης σευ ἐπιμνήσαιτο θυηλῆς* 4
*καί σεο καρφομένην θυσίην πλήσειεν ἀλοιφῆς.*
*πάντά τοι ἀθάνατος κραδίῃ μεμελημένα ῥέξοι,* 5

---

**20** *ἀγνῶν* (*ἀ* rubr.) *O*. — *εὐδικίης Q*. — *ἐαὶ M* ac. — **23** *τεὸν S*. — *φυλάσσει O*. — **24** *φυλακὴν* (?) *L*. — *ἔργ]ων* pc. *Q*. — **25** *τίς μὲν* $L^1$, cr. $L^2$. — **26** *μὲν* pro *με O*. — **27** *ἵμερον S*. — **28** *κρατέοι ἐναμώμητος καὶ M*. — *κε Ω*; *γε OQ*. — **29** *ἀτασθάλλης Q*; *-θαλίηλες S*. — **30** *δ' εὐδοκίῃ* (*-η*) *Ω*; *δευ- Q*; *δ' εὐδικίη M*; *δευ- D*; *δ' εὐδικίης O*. — **31** *κατ' ἐναντίων O*. — **32** *ἐμοῖο OLQ*.

*Ψ* 19, **2** *προμάχοις R*. — **4** *ἀρετῆς Q*. — **5** *σεῦ ἐπιμνήσαιτο cm*; *εὖ ἐπϊ- LS*; *ἐυ ἐπι- D*; *ἐνεπι- M*; *εὖ ἐπεμνήσατο OQ*; *σεῦ* (ir. *P*) *ἐπεμνήσατο PRab*. — **6** *θυσίην DLMS*; *-αν OΩ*. — **7** *ῥέξοι PQ*; *-ζοι Rc*; *-ξειν OΩ*; an *-ξαι*?

*πᾶσαν ἀναπλήσειε τεὴν θεοτερπέα βουλήν.*
*σεῖο φερεζώῳ κραδίην κεχαρησόμεθ' ἀλκῇ,* 6
*ἀθανάτῳ πίσυνοι μεγαλαυχέες ἐσσόμεθ' αἰεί·*
*πάντα τεῶν πλήσειεν ἐναίσιμα δῶρα λιτάων.*
*νῦν ἐδάην, ὡς χριστὸν ἑὸν θεὸς ἐξεσάωσε·* 7
*καί οἱ ἀπ' οὐρανόθεν μεμαὼς καλέοντος ἀκοῦσαι·*
*κλεινὸν δεξιτερῆς σφετέρης περὶ κάρτεϊ φέγγος.*
*οἵδε μὲν οὖν ἵπποισι καὶ ἅρμασιν ἐμβεβαῶτες,* 8
*ἡμεῖς δ' ἀθανάτῳ πίσυνοι μεγαλιζόμεθ' αἰεί.*
*οἵδε πόδας πεπέδηντο, λάθον δ' ἔκπαγλα πεσόντες,* 9
*ἡμῖν δ' ἐγρομένοις ἰθύνετο πάντα κατ' αἶσαν.*
*ἄφθιτε, καρτερόθυμον ἀεὶ βασιλῆα σαώσοις,* 10
*εἰσαΐοις δ', ὅτε δή σε λιταζόμενοι καλέσαιμεν.*

## κ' (20)

*Δαυίδου κλυτὸς οὗτος ἐεικοστὸς πέλει ὕμνος.* 1

*Αἰὲν ἄναξ, ἄχραντε, τεῷ περὶ κάρτεϊ χαίροι* 2
*καὶ σέο γηθήσειεν ἀεὶ κατὰ θυμὸν ἀρωγῇ,*
*οὕνεκά οἱ ψυχῇ κεχαρισμένον ἦδος ἔδωκας,* 3
*εὐχωλὴν δ' ἐτέλεσσας, ἅλις δ' ἕλε χείλεσι καρπόν.*
*μειλιχίαις προύτυψας ἐπ' εὐλογίαις μιν ἰαίνων,* 4

---

8 καὶ πᾶσαν $O^1$, cr. $O^3$. — 9 φαρεζώῳ (-ω) $DL^1S$ (cr. $L^2$); φρᾶρε- (ss. ε) *M*. — κραδίη *O*. — ἀλκῆς *M*. — 11 αἰνέσιμα *O*; ἐναίσιμον *M* ac. — 13 ἀκούσαι *DQ*; -οῦσαι *OLMS*; -ούσει *P*, pc. *R*, *v*. — 15 οἵδε (οἱ δὲ *PRv*) μὲν οὖν *Ω*; οἵδ' ἔμμενον *O*; οἵδε μὲν (μεν *S*) $DL^1MS$ (οὖν ss. $L^2$). — 17 δ' ss. *S*. — ἔμπλα (ss. α) *M*. — 18 ἐγειρομένοις *O*. — 19 σαώσεις *O*. — 20 εἰσαΐ (om. οις) *O*. — δῆ σε *S*; δεῖ σε *L*; om. *DM*. — καλέσομεν (ss. αι) *O*; -σαιεν *DM*.

*Υ* 20 δαυΐ (om. δου) *O*. — ἐΐκοστὸς *O*; εἰκ- *S*. — πέ (ss. λ) *L*. — *Ψ* 20, 1 χαίρει *DMR*. — 3 ψυχῇ (-ῆ) *ODLMPQS*; -ῆς *Rv*. — ἦδος *P*; ἥ- *Ω*, it. *M*; κῆδος im. *M*; κῦδος *OQ*. — ἕκας *M* ac. — 4 χείλεος *O*. — 5 μειλιχίῃς *O*; -ίῃς *Ω*. — προύκυψας *DM*. — εὐλογίῃς *O*; -ίῃς *Ω*.

στέμμα λίθων γεραρῶν κεφαλὴν ἐστέψαο τοῖο·
ῥηίστην βιοτὴν διζημένῳ ἐγγυάλιξας, 5
ἤμασι μηκεδανοῖσι διηνεκέως βίον ἕλκειν.
κῦδος ἔχει περίπυστον ἀλεξικάκῳ σέθεν ἀλκῇ, 6
καί οἱ ὑπερτερίην καί τοι πλέον εὖχος ὀρέξοις.
πάντοτ' ἀτέρμαντον καὶ ἀγήραον ὄλβον ὀπάζοις, 7
χάρματι δ' εὐφραίνοιτο τεῷ, μάκαρ, ἀμφὶ προσώπῳ.
ἐλπωρὴν ἀνέθηκε θεῷ γεραρώτερος ἐσσήν, 8
ὑψίστου δ' ἐλέῳ πολυθαρσέας ἤρισε πέζας.
ἀντιβίοις ἅμα πᾶσι τεὴν ἐπὶ χεῖρα κορύσσοις, 9
δεξιτερή σεο πάντας ἀπεχθαίροντας ἐφεύροι.
σεῖο καταφλεχθεῖεν ὑπ' ὄμμασιν ἶσα καμίνῳ, 10
εἰνὶ δὲ τῷ πυρόεντι κότῳ σύμπαντας ἀτύζοις,
καί σφεας ὀλλυμένους δηλήσεται ἀκαμάτη φλόξ.
πάντα μάλ' ἐξολέσειας ἑῆς ἀπὸ καρπὸν ἀρούρης 11
καὶ σπόρον αἰνοτόκον μεροπηίδος ἔκτοθι φύτλης,
οὕνεκά σοι βρίσαντες ἐπ' ἄλγεα μυρία θέντο· 12
ἀσταθὲς ἐν στέρνοισιν ἐπεφράσσαντο νόημα.
ἀντιβίων τρέψειας ἐλέγχεα νῶτον ἀκωκῆς, 13
εἴκελον, ὧν μεθέηκας, ἑὴν τελέσειας ὀπωπήν.
ἀλλ' ἐπιθαρσήσας σθένεϊ μεγαλίζεο, ποιμήν· 14
αὐτὰρ ἐγώ σεο κάρτος ἀοίδιμον ὑμνοπολεύσω.

---

6 ἐσκέψαο *O*; ἔστεψας *DL*[1]*MS* (cr. *L*[2]). — 7 διζημένων *M*; -να *S*. — 8 βίον om. *DL*[1]*MS* (ss. *L*[2]). — ἔκλεινεν *M*. — 9 ἔχειν *M*. — ἀλεξικάκων *O*. — ἀλκ]ῇ pc. *L*[2]; -κης *S*; ἀρχῇ *O*. — 10 τοι *O*; τι *Ω*. — 11 ἀγή]ραον pc. *L*[2]; -ρων *S*; -ρω *DM*. — 12 χάρματι *OΩ*; -σι *L*. — εὐφράνοιτο *M*. — 13 ἐσσήν *Ω*; ἐστίν *O*. — 15 κορύσσεις *D*. — 16 ἐφ' εὕροι *LS*; εὐφεύ- *M*. — 17 ὄμματα *Q*. — 18 εἰνὶ *L*[2]*Q*; ἐὲν (prius ἐ rubr.) *O*; ἐν *L*[1]*Ω*. — δὲ *ODLQS*; δέ γε *Ω*. — σῷ ? — 20 ἄπο *M*. — 21 αἰν]οτόκον ir. *L*[2]; -ότατον *DMS*. — ἔκτοθεν *O*. — 24 ἐλέγχεα *OL*[2]*Q*; -εγχέου *D*(*L*[1]?)*M*, pc. *S* (-έην ac.); -εγχέα *Ω*. — 26 Hom. *O* 108 κάρτεΐ τε σθένεΐ τε: cf. Ritter 29 Rzach[1] 752. [3] 334.

## κα΄ (21)

a *Ἀγαθὸν ἑῴας ἀντιλήψεως μέλος* 1
*Δαυῖδος εἰκοστόν τε καὶ πρῶτον βοᾷ.*

b *Πρῶτον Δαβῖδος καὶ ἐεικοστὸν μέλος,*
*ᾖσεν δ' ἑῴας ἀντιλήψεως ὕπερ.*

*Δέρκεο· τίπτε, μάκαρ, με, μάκαρ, κατὰ πάμπαν ἔλειπες;* 2
*τῆλέ μευ ἀμπλακίης ἔπεα ζωῆς ἀπερύκοις.*
*πρὸς σέ, μάκαρ, βοάασκον, ἐμὴν δ' οὐκ εἴσεαι αὐδήν,* 3
*οὐδὲ μάλ' ἠγνοίησα τεὸν νόον ἐν φρεσὶ νυκτός.*
*ἐν δ' ἁγίῳ ναίεις, κλέος ἄσπετον Ἰσραήλου.* 4
*ἡμετέρων πατέρων ἀριδείκετος ἐλπὶς ἐτύχθης* 5
*καί σφεας ἐλπομένους στυγερῶν ἐρρύσαο μόχθων·*
*πρὸς σέ, μάκαρ, βοάασκον, ἑῆς δ' ἐσάωθεν ἀνάγκης* 6
*οὐδέ σευ ἀθανάτης ἀντ' ἐλπίδος αἶσχος ἐφεῦρον.*
*αὐτὰρ ἐγὼ σκώληξ τε καὶ οὐκ ἄνθρωπος ἐτύχθην,* 7
*μῶμος ἐν ἀνθρώποις, λαῷ δ' ἀποφώλιος ὕβρις.*
*πανσυδίῃ μ' ἐπέμυξαν, ὅσοι πάρος ἔδρακον ὄσσοις,* 8
*χείλεσιν ἐφθέγξαντο, κάρη δ' ὑπέροπλον ἔσεισαν·*
*„εἰς θεὸν ἐλπωρὴν ἔλαχεν, ῥύσαιτό μιν ἄτης·* 9

*T*ᵃ 21 habent *ODLMQSv**; om. *PRv*. — **1** *ἀγαθὸν*] *καὶ* add. $L^1$, del. $L^2$. — *ἑώϊασ O*. — *ἀντιλήψεις* $L^1$, cr. $L^2$. — **2** om. *OQ*. — *εἰκοστῶν S*. — *T*ᵇ habent *PRv*; om. *OΩ*. — **1** *Δαυῖδος bc*. — **2** *δ' v*; *θ' PR*. — *Ψ* 21, **1** *κατὰ Ω*; om. $L^1$; *κατα* $L^2MS$. — *πάντα M* ac. — *ἔλιπες OLRa*. — **2** *ἀπερύκοιο* $O^1$, cr. $O^3$. — **3** *πρὸ M*. — *εἴσεται LS*. — **4** *ἠγνοίησε* $L^1$, cr. $L^2$; *ἡγνοίησον S*. — **5** *δὲ O*. — **7** *ἐρύσατο M*. — **8** *δ' ἐσάωθεν DLMQS*; *δεσά- O*; *δὲ σά- Ω*. — **9** *ἀντελπίδος* $DL^1S$ (cr. $L^2$ et ss. *ἀπὸ*); *ἀπελ- O*; *ἀπὸ ἐλ- Q*. — **11** *μῶμος ἐν* om. $DL^1MS$, add. $L^2$ im. — *ἀνθρώποις* $DL^1MQS$; *-ποισι Ω*. — **12** *πασσυδίῃ LQ*; *πασυ- S*; *πάντες DM*. — *με S* ac.; om. *M* et in lac. *D*. — *ἐπέμυξαν Ω*, pc. *M*; *ἀπέμι-* $L^1$ (*ἐπέμι-* $L^2$); *ἐπέμη- DS*, ac. *M*. — *ὅσοις S* ac. — *ἔδρακαι M* ac. — **13** *ἐφθέγξαν*]*το* ss. *O* rubr. — *κάρην DM*. — **14** *εἰς Ω*; *εἰ OQ*. — *ἔλαχε ODS*.

ἁρπάξει κακότητος, εἴ οἱ καταθύμιός ἐστι.“
τεκνογόνου κευθμῶνος, ἄναξ, σύ μ' ἐλύσαο γαστρός· 10
ἐλπίδα κικλήσκω σε καὶ ἐν μαζοῖσι τεκούσης·
σοὶ πίσυνος γενόμην μυχὰ νηδύος εἰσέτι ναίων· 11
αὐτὸς ἐμὸς θεός ἐσσι φίλης ἐν γαστέρι μητρός.
μή μευ ἀποσταίης, ὅτι μοι πέλας ἦμαρ ἀνάγκης
οὐδ' ἐπιδευομένῳ μοι ἐπίρροθος ἄλλος ἐτύχθη. 12
πολλοὶ μὲν κερόεντες ἐκυκλώσαντό με μόσχοι, 13
ζατρεφέες δ' ἐπὶ τοῖσι περιστιχόωντό με ταῦροι·
ἀμφί μοι ὡρμήθησαν ἑὸν στόμα δεινὰ χανόντες, 14
οἷα λέων ὀλοὸς βρυχώμενος ἅρπαγι θυμῷ.
ὡς δ' ὕδωρ προχυθὲν κεκέδαστό μευ ὀστέα πάντα, 15
κηρὸς ὅπως κραδίη κατετήκετο γαστέρι μέσσῃ.
τέρσετο δ' ἠπεδανῷ πανομοίιος ὀστράκῳ ἀλκή, 16
καὶ γλῶτταν δ' ἐπέδησεν ἀμηχανίη μευ πάμπαν.
εἰς δὲ τέλος θανάτου με καθελκύσαντες ἔθεντο.
ἑσμὸς ἀπειρέσιός με κυνῶν κυκλώσατο τόσσος, 17
καί με περίστιξε κλισίη κακοεργὸς ἀλιτρῶν,
ἡμετέρας ὤρυξαν ὁμοῦ χεῖράς τε πόδας τε.
ὀστέα δ' ὀφθαλμοῖσιν ἀπηρίθμησαν ἅπαντα, 18

---

**15** ἁρπάξει $L^2PQR$; -ξει $ODL^1MS$; -ζοι *v*; an -ξαι? — **16** μ' ἐλύσαο *DLMS*; με λύ- *OΩ*. — **18** μυχ]ῶ ir. *M*. — **19** θεὸς ἐμὸς *Q*. — ἐσσὶ *OQ*; ἐπὶ *DMS*; ἀπὸ *L*. — **22** μὲν *Om*; μὴν *Ω*. — ἐκύκλωσαν τό $L^1$, cr. $L^2$. — **23** μάχη expunctum ante ταῦροι *S*. — **24** δεινὸν *O*. — λα deletum ante χαν. *L*. — χανόντα (s. -τος) *O* ac. — **26** προχυθένδε $O^1$, cr. $O^3$. — κεκέδασό *Q*. — ὀστέον *S* (ac. *L*?). — **27** κραδίῃ *S*. — **28** δ' *OΩ* (Ritter 18); om. *Rv*. — ὀστράκον *O*. — ἀλκῇ *Q*. — **29** spurium illum habent *Q*, im. $L^2$; λαλὶς ἐμεῖο (-οῖο *M*) λάρυγγι ἐμεῦ (μευ *M*, om. *P*) νυ (om. *MP*) κεκόλληται (-υται *M*, -ηταί μου *P*) ἐσσήν *MPRv*; om. $ODL^1S$. — **30** εἰς *O*; ἐς *Ω*. — **31** κυκλώσσαιτο *O*; -ώσαντο *DS*. — τόσσος $OL^2Q$; τόσσοις $DL^1MS$; ὅσσοις *PRv*. — **32** περιστ (lac.) ἐκκλησίη *D*; περίστιξεν κλη- *L*; -ξε ἐκκλι- *M*; -ξ ἐκλη- *S*. — **33** ἡμετέρας *L*; -ρους *Ω*. — **34** ἀπηρίθμησεν *O*.

καί με διοπτεύσαντες ἀκηδέα κάλλιπον αὔτως.
ἄπλετα λυσσώοντες ἐμοὺς δάσσαντο χιτῶνας, 19
καὶ κλήροις πεπάλαχθεν, ὅτις κ' ἐμὰ πέπλα κομίσσῃ.
ἀλλ' ἐμέθεν μὴ νόσφιν ἀποπλάγξειας ἀρωγήν, 20
ἀντιλαβεῦ δέ γ' ἐπιστρεφέος κάμνοντος παιδός,
ἡμέτερον ξίφεος τανυήκεος ἅρπασον ἦτορ, 21
ῥύεο μουνογένειαν ἐμὴν κυνὸς ὑβριστῆρος·
εὖ με σάω, βασιλεῦ, στόματος βλοσυροῖο λέοντος, 22
ἐξ ὀλοῶν κεράων ῥύσαιό με μουνοκερήων.
σεῦ ὄνομ' ἀγγείλαιμι κασιγνήτοισιν ἐμοῖσι 23
καί σε μέσον κλισίης θεοτερπέος ὑμνοπολεύσω.
αἶνον ἀεισάντων, ὁπόσοι φρίσσουσιν ἄνακτα, 24
σπέρμα δ' Ἰακώβοιο θεὸν βασιλῆα γεραίροι
καί μιν ὑποδδείσειεν ἅπας σπόρος Ἰσραήλου·
οὐ γὰρ ὀνοσσάμενος πτωχοῦ πάρος ἔστυγεν εὐχὴν 25
οὐδ' ἀπ' ἐμεῦ ἔστρεψεν ἑὴν χαρίεσσαν ὀπωπήν,
ἀλλά ἑ κικλήσκοντος ἐμῶν ἐπάκουσε λιτάων.
ἐκ σέθεν αἶνος ἐμὸς μεγάλην μεθ' ὁμήγυριν ἀνδρῶν, 26
εὐσεβέων κατέναντα φίλας τίσαιμι θυηλάς.

---

35 *μευ P* (ac. *L*[1]?). — *αὔτως DS*. — 36 *λυσσώοντες Ω*; *λυσσόων- O*; *λυσόων- Q*; *λυσσώεν- S*; *λισσώεν- L*; *λυσσώων-* Sternbach 67. — 37 *πεπάλαχθεν*] v. Lobeck[5] 21. 487. — *ὅτις DLMS*, ac. *O* (Hoeschel. ap. *c*, Kzach[3] 328); *ὅστις Q*, pc. *O*; *τίς PR*; *ὅτι* s. *ὅ, τι v*. — *κ'* om. *Q*. — *κομίσσῃ* (*-η*) *Ω* (*-ίσῃ M*); *-ίσσει O*; *-ίσσοι v*. — 38 *ἀποπλάξειας LPQRa* (*ἀπὸ- S*); *-έξειας O*. — 39 spurium istum add. *Q*, im. *L*[2]; *ὄμμα τεὸν τανύσειας ἐμῆς πανυπέρτατ' ἀρωγῆς P*; om. *OΩ*. — 40 *ἡμετέρου LQ*. — *ἅρπασαν M*. — 41 *ῥύεο OΩ*; *ῥύσεο PRv* (cf. ad 6, 8). — 42 *εὖ με Ω*; *ἐμεῦ D*; *ἐμεὺ M*; *ἐμευ S*. — 43 *μουνοκερήων Ω*; ne *-ρώτων* coniicias, cf. 77, 153. 91, 18. — 44 *σοῦ Ω*. — *ἀγ' εἴλαιμι M* (cr. im.); *ἀναγγεῖλαιμι O*. — 47 *ἰακώβιον S*. — *γεραίρει OPR*. — 49 *ὀνωσάμενος L*; *ὀνοσά- S*. — *πτωχῶ DMS*; *-ῷ L*[1] (cr. *L*[2]). — 50 *ἔμευ O*; *ἐμοῦ LQ*. — *ἔστρεψαν O*. — 51 *ἀλλὰ ἐκικλ. MS*. — *ἐπάκουσον O*. — 53 *κατέναντα DLM*; *-τι OΩ*; *κατἔναντϊ S*, *-τα* pc.

δαισάμενοι χατέοντες ἑὸν πλησαίατο θυμόν, 27
ποιμένα δ' αἰνήσουσι θεουδέες ἄφθιτον ἄνδρες·
αὐτῶν θυμὸς ὄνοιτο διηνεκέος βιότοιο.
ἀθανάτου μνήσαιντο παλίνδρομα πείρατα γαίης 28
καί μιν γουνάσσονται ἐνωπαδὸν ἔθνεα πάντα·
θείη κοιρανίη καὶ ἄναξ θεὸς ἔπλετο δήμων. 29
δαισάμενοι λιτάνευσαν ἀριπρεπέες χθονὸς ἄνδρες· 30
ἄντα ἑ γουνάσσονται, ὅσοι χθονὸς ἔρχατ' ἔνερθε.
ζώει θυμὸς ἐμὸς φῦλόν τέ μεν αὐτῷ ἔριθος· 31
ὀψιγόνων τάδε φῦλα θεῷ φρασάτω βασιλῆι.
οὐρανοὶ εὐδικίην ἀγαθὴν ἐρέουσι θεοῖο 32
λαῷ ἀεξομένῳ, τὸν ἀγήραος ἔκτισεν ἐσσήν.

## κβ' (22)

*Εἰκοστὸν ἤδὺ δεύτερόν τε μέλπεται* 1
*τῷ καλλινίκῳ τοῦτο Δαυίδῳ μέλος.*

Οὔ τινος ἀθάνατός μ' ἐπιδευέα πάγχυ νομεύοι.
εὖ με παρὰ χλοάοντι κατεστηρίξατο χώρῳ, 2
θυμὸν ἐπ' ὀλβίστοις ἀναπαύματος ὕδασι φέρβεν.

54 δε$^{αι}$σαίμενοι *D*; δ' ἐσαίμ- *M* (cum ἴσως cr. im.). — 55 θεουδέας *Q*; θεὸν δὲ ἐς' *M* (cr. im.). — 56 ὄνοιτο *Ω*, pc. *Q* (Lobeck$^5$ 488); ἔνητο *O*; ὄναιτο *m*. — διηνεκέος *ΟΩca*b** (-καίος *S* ac.); -κέως *Rv*. — 57 μνήσαιτο *M*. — 58 hic om. it., posuit post 61 (ubi del.), tum add. im. *M*. — 59 κοιρανίη *L*; -νέη *MQR*. — 61 ἄντα ἐγουνάσονται *M*. — ἑ om. *S*. — ὅσοι (ὅσσ- *O*) χθονὸς *$L^2$Ω*; ἐνωπαδὸν *D$L^1$S*. — ἔρχετ' *L*; ἔρτ' *D*. — ἔνερθε *Q*; -θεν *Ω*. — 62 ζώει *ΟΩ*; ζῇ δ' οἱ *Rv*. — φῦλόν τέ μεν αὐτῷ ἔριθος scripsi; φῦλον (φί- *O*) δέ μεν (μεν *DM*) αὐτῷ (-ῶν *$O^1$*, ν del. *$O^3$*) ἔριθον *Ω*; δοῦλον δ' ἔσεται οἱ ἔριθον *Rv**. — 64 εὐδικίη *Q*; εὐδοκίην *D$L^1$MS* (cr. *$L^2$*).

Υ 22, 2 καί πανον ante τὰ add. *$L^1$*, del. *$L^2$*. — τῶν καλλινίκων *O*. — τούτω *ODM*. — Ψ 22, 1 μ' om. *O*. — ἐπιδεύεα *MP*; -εύεαι *O*; -εύεται *Q*. — νομεύοι *OQ*; -εύων *Ω*. — 2 με *ΟΩ*; γε *Rv*. — στηρίξατο (ss. κατα) *P*. — 3 ἐπ' ὀλβίστοις *DMPR*; ὑπ' ὀλ- *v*; ἀνολ- *$L^2$Q*; ἀμπανολ- *O*; ἐν πανολ- *$L^1$*; ἀπα(μπ del.)νολβίστ$^{οι}$ης *S*. — ἀναπαύματος *O$L^2$PQ*; ἀμπαύ- *$L^1$Ω*. — ὕδατι *Q*; ὕδατος *O*.

ἐξ ὀλιγηπελίης παλινάγρετον ἦτορ ἐγείρει, 3
πρὸς δὲ δικαιοσύνης ἱερὰς ἴθυνεν ἀταρποὺς
εἵνεκεν ἀθανάτοιο μεγασθενέος βασιλῆος.
εἰ γὰρ καὶ θανάτοιο μέσον σκιόεντος ὁδεύσω, 4
οὔ κεν ὑποδδείσαιμι τεῇ περιθάρσυνος ἀλκῇ·
σκῆπτρόν σευ ῥόπαλόν τε παραιφασίην φρενὸς ἔσχον.
ἀθανάτην μοι, ἄναξ, παρεθήκαο σεῖο τράπεζαν 5
ῥιγεδανῶν βρίθουσαν ἐμῶν κατεναντίον ἐχθρῶν.
νωιτέρην ἀγαθῷ κεφαλὴν πίηνας ἐλαίῳ·
οἷά περ εὐφροσύνης σέο μοι δέπας ἔμπεδον ἔστω.
σεῖο διηνεκέως ἐλεημοσύνη με διώκοι 6
ἤμασι μηκεδανοῖσι θεοῦ ναίοντα μέλαθρα.

## κγ′ (23)

*Πρὸς κλεινὸν ἦμαρ σαββάτου πρῶτον μέλος* 1
*Δαυῖδος ἠλάλαξεν εἰκοστὸν τρίτον.*

Χθὼν βασιλῆος ἔφυ καὶ ὅσος χθονὸς ἔπλετο κόσμος,
ἄστεα καὶ ξύμπαντες, ὅσοι περιναιετάουσιν·
αὐτός μιν κατένασσεν ἐπ' ἀτρυγέτοιο θαλάσσης 2
καὶ ποταμῶν καθύπερθεν ἑῇ τεχνήσατο βουλῇ.
τίς βροτέης γενεῆς ἐπιβήσεται οὔρεϊ θείῳ; 3
ἢ τίς ἐπ' εὐαγέος δαπέδου φίλον ἴχνος ἐρείσει;

---

4 ἐξ ὀλιγηπελίης Ω; -λέης DMS; ἐξολογιπελέης L[1], -λίης L[2]. — ἦτορ om. R. — ἐγείρει DLMQS; ἀγ- O; ἀγείρας PR; ἔγειρε v. — 5 ἱερᾶς Q. — 6 εἵνεκα τοῦ, θανάτοιο Q, reliqua usque ad θανάτοιο 7 om. — 7 καὶ DLMS; κεν OΩ. — σκιόεντος OΩ; -ωντος DL[2]MS; -ωντες L[1]. — 8 οὔ κεν Ω, pc. L; οὐκ O. — 9 ἔχων L[1]S (cr. L[2]). — 12 πιήνας LS; πιῄ- OD. — 14 διώκει S ac. — 15 θεοῖο νέοντα L.

Υ 23, 1 κλεινὸν ἦτορ S; κλυτὸν ἦτορ v*. — πρώτου O; -της L[2]Q, it. P; πρῶτον L[1]Ω, ss. P. — Ψ 23, 1 ὁ σὸς DL[1]MS (cr. L[2]). — 4 ποταμὸν L[1]S (cr. L[2]). — 6 αὐάγεος S. — ἐρείσει OΩ; -σῃ LQ, pc. S.

*ὅς καθαρὰς παλάμας κραδίην τ' ἄχραντον ἔχῃσιν* 4
*οὔ ποτε μαψιδίοισιν ἑὸν πνεῦμ' ἠπεροπεύσας*
*οὐδ' ὅρκον δολόεντα φίλῳ παρὰ μοῖραν ὀμόσσας·*
*οὗτος ἀπ' ἀθανάτοιο κομίσσεται αἶνον ἄνακτος,* 5
*θεσπεσίην δ' ἐλεητὺν ἄφαρ σωτῆρος ἐφεύροι.*
*ἥδε θεὸν βασιλῆα βροτῶν ποθέουσα γενέθλη,* 6
*ἐλδομένη θεὸν αὐτὸν Ἰακώβοιο νοῆσαι.*
*ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες,* 7
*εὖ δ' ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες,*
*ὥς κεν ἐυκλείης μεμαὼς παρελεύσεται ἐσσήν.*
*τίς δ' ὅδ' ἐυκλείης βασιλεὺς ἄχραντος ἐτύχθη;* 8
*ἀθάνατος σθεναρός τε καὶ ἀπροτίοπτος ἐρωῇ,*
*ἀθάνατος μενέχαρμος ἀεὶ περὶ κάρτεϊ γαίων.*
*ὑμέων αἶψα πύλας ἀναείρατε, ἡγεμονῆες,* 9
*εὖ δ' ἀναπεπτάσθων πυλέων ἄρρηκτοι ὀχῆες,*
*ὥς κεν ἐυκλείης μεμαὼς παρελεύσεται ἐσσήν.*
*τίς δ' ὅδ' ἐυκλείης βασιλεὺς ἄχραντος ἐτύχθη;* 10
*μοῦνος ἄναξ σθενέων ὅδε κύδεος ἄφθιτος ἐσσήν.*

---

**8** *μαψιδίοισιν ἑὸν πνεῦμ'* scripsi (coll. 102, 30. 145, 6 cum *Σ*); *-δίοισι θεὸν ἑὸν DLMS*; *-δίῃσι θεὸν ἑὸν OQ*; *-δίοισι θυμὸν ἑὸν PRb*; *-δίοισιν ἑὸν θυμὸν v*; *-δίοις θυμὸν ἑὸν b*c*, Ritter 29, Rzach[3] 411. — **10** *ἀπ' m**; *ὑπ' Ω*. — *κομίσαιτο Q*. — **11** *σρσ̄ O*. — **12** *βροτὸν DLMS*. — **13** *ἰακώβϊο S*; *-βϊον DM*. — **14** *ἀναείρετε Q*. — **15** *ἀναπεπτάσθω* $L^1S$ (cr. $L^2$). — *ἄρρητοι OQ*. — **16** *ὅς* (*ὅ* rubr.) *O*. — *ἐϋκλείης DLM*, ir. *P*; *εὐ- OΩ*; *γ' εὐ- Rv*. — *μεμαὼς DLMS*; *βεβαὼς OΩ*. — **17** *τίς δ' ὅδ' ἐυκλείης* scripsi (coll. 23); *τίς ὅδ' ἐϋ- LP*; *τίς ὅδ'* (*ὀδ S*) *εὐ- OS*; *τίς ὅδε εὐ- DM*; *τίς ὅδε δ'* (*τ' R*) *εὐ- v*; *καὶ τίς ὅδ' εὐ- Q*. — **18—23** om. *OQ*. — *ἐρωὴ MPR*. — **20** *ἡμέων Rv*. — **21** *ἀναπεπτάσθων* $L^2$*Ω*; *-πεπτάσθω DM*, ac. *L*, pc. *S*; *-πετάσθω* $L^1$*SS**. — *πυλέων* om. *P*. — **22** *ἐϋκλείης LP*; *εὐ- Ω*; *γ' εὐ- Rv*: v. ad 16. — *μεμαὼς Ω*; *βεβαὼς* Hoeschel. ap. *c*. — **23** *τίς* (*δ'* add. *P*) *ὅδ'* (*ὀδ S*) *ἐϋκλείης* (*εὐ- S*) *Ω*; *τίς δ' εὐ- DMS**; *τίς δ' ὅγε* (*ὅδε m**) *τ'* (*γ' v*, *δ' m*) *εὐ- Rv*. — post hunc iterat 18—23 *S**. — **24** *ἐσσήν ἔστιν O*.

## κδʹ (24)

*Τέτρατον εἰκοστόν τε μέλος Δαυῖδος ἄεισεν.* 1

Σοὶ περιθαρσήεις, βασιλεῦ, μεγαλίζομαι ἦτορ,
μηδ' ἐπιπιστεύσας τοι ἐλεγχέα μῶμον ἑλοίμην 2
μηδὲ γέλως ὀλοοῖσι παρ' ἀντιβίοισι γενοίμην·
ἀψεγέες γὰρ πάντες, ὅσοις θεὸς ἐλπὶς ἐτύχθη· 3
μαψιδίων πρηκτῆρες ἐπαισχύνοιντο κακοῖσιν.
ἀμφαδίην γνοίημι, μακάρτατε, σεῖο κελεύθους, 4
καί με τρίβους ἀγαθάς τε θεοδμήτους τε διδάσκοις·
σὴν μετ' ἀληθείην με πολύλλιτον ἡγεμονεύοις, 5
ὡς δ' ἀλκτὴρ ἀγαθός με ἐοικότα πάντα διδάσκοις.
λισσόμενός σ' ἄλληκτα πανημέριον δρόμον ἕλκω·
ἀλλὰ τεῆς ἐλεημοσύνης μεμνημένος εἴης, 6
ἐκ παλαχῆς μετὰ πᾶσι νέμοις οἰκτίρμονα θυμόν.
μή μευ ἀτασθαλίην σφαλερῆς μεμνήσεαι ἥβης, 7
εὖ δὲ θεὸς γεγαὼς ἐλεητύος ἄξια ῥέξοις
εἵνεκα τιμήεντος ἐνηείης βασιλῆος.
πρηΰνοός τε καὶ ἰθύδικος θεὸς αἰὲν ἐτύχθη· 8

Υ 24 τέταρτον $L^1M$, cr. $L^2$. — εἰκοστὸν δαυῖδος μέλος ἦσε *O*. — ἄεισεν *Ω*, ir. $L^2R$; -σε *v*; ἦσε *S*($L^1$?); ἠ- *DM*. — Ψ 24, 1 σοὶ *OLQ*; τοὶ *Ω*. — περιθαρσήεις (η pc. *O*) *DQSc*; -σέεις *M*; -σείης *Ω*; -σίης *L*. — 2 εὐπιστεύσας *S* (ac. *L*?); ὅτι πι- *DM*. — τοι ir. $L^2$. — 3 πὰρ *S*. — 4 ἀψαγέες (ο supra α) *M*. — ἐλπὶς θεὸς *Q*. — 5 ἐπαισχύνοιτο *Q*. — 6 γνοίημι *Ω*; ἐγγνοί- *O*; γνοίοιμι *DLM*; -οιμοι *S*. — 7 ἀγαθὰς (om. τε utroque) *O*. — διδάσκοις $OL^2PQ$; -κεις $L^1$; -κειν *DS*; -κων *Ω*. — 8 ἡγεμονεύοις $L^1Ω$; -σοις $L^2P$; -σεις *OQRa*. — 9 διδάσκοις $OL^2Ω$; -κειν $DL^1MS$. — 10 λισσόμενοι *S*. — σε (ir. $L^2$) ἄλληκτα *L*; σε ἄλη- *Q*; τε ἄλη- *PRv*; ἄλλη- *S*; ἄλη- *ODM*; τ' ἄλλη- Ritter 19 (ut 72, 55); τ' ἄλη- Volkmann 34 (Scheindler$^1$ 907). — ἕλκων *ODMS*. — 11 τῆς *S*. — 12 παλαιῆς *gm*. — 13 ἥβης σφ. μέμνησο Hilberg 17. — μεμνήσεαι $OL^2Q$ (-σσεαι *P*), Lch$^1$ 52, Ritter 32; μέμνησαι ($L^1$?)*MRSv*, ac. *D* (-σαιο pc.); μεμνῆσθαι *m**; -νημένος Scheindler$^1$ 905 (coll. 11). — 14 γεγονὼς *OQ*. — ῥέξοις *OaΩ*; -ζοις *bcm*. — 15 βασιλείης *O*. — 16 τε *v*; om. *OΩ*. — θεὸς καὶ ἐνετύχθη *S*.

τοὔνεχ' ἁμαρτινόοις ὁσίην ὁδὸν ἔφρασε θυμῷ.
ἀνδρῶν εὐδικίης ἡγήσεται ἠπιοθύμων, 9
ἀτραπιτοὺς σφετέρας ἀγανόφροσιν ἐξαναφαίνοι.
ἀθανάτου πᾶσαι νημερτέες εἰσὶν ἀταρποί, 10
μαρτυρίην μεθέπουσι συνημοσύνην τε θεοῖο.
εἵνεκεν ἀθανάτοιο μεγασθενέος βασιλῆος 11
ἀμπλακίαις πυκινῇσιν ἐμαῖς, πάτερ, ἵλαος εἴης.
τίς τόσον ἀθάνατον τρομέων ἄνθρωπος ἐτύχθη; 12
εἰς ἀρετὴν σπεύδων θεοτερπέα θεσμὸν ἀνύσσοι,
αἰὲν ἐπ' ὀλβίστοις κραδίην πολυγηθέα βόσκων, 13
καὶ χθόνα τιμήεσσαν ἑοὶ κτησαίατο παῖδες.
ἀθάνατον τρομέουσι πέλει περιώσιος ἀλκή, 14
οὔνομα δ' ἀθανάτοιο φέρει τρομέουσιν ὄνειαρ,
συνθεσίην ἀρίδηλον ἑήν σφισιν ὄφρα φαείνῃ.
νωλεμέως ὀφθαλμὸν ἀπῃώρησα θεοῖο, 15
οὕνεκά μευ δολεροῖο πάγης ἐξέσπασε πέζας.
οὐρανόθεν μοι, ἄναξ, πανδερκέα τεῖνον ὀπωπήν, 16
οὕνεκα μουνογενής τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.

---

17 τοὔνεκ' *LQS*; ὅυνεκ' (ὅ rubr.) *O*. — θυμῶν *M*. — 18 εὐδοκίης *DS*, ac. $L^1M$. — ἡγήσαται *D*; -σαται (ε ss.) *M*. — 19 ἀτραπιτοὺς *ODLM* (Scheindler[1] 905); -πητοὺς *Q*; ἠδ' (gl. καὶ ss.) ἀτραποὺς *P*; καὶ ατραπιτους *S*; καὶ ἀτραποὺς *v*. — ἀγανόφροσιν $L^1Ω$; -φρονας $OL^2PQ$. — ἐξαναφαίνοι *v*; -φαι (ν' ss.) $L^1$; -φαίνει $L^2PR$; -φῃνη *O*; -φῃ (ν' ss.) *DMS*; -φήσει *Q*. — 20 πᾶσι *D*; -σιν *MS* (ac. $L^1$?). — ἡμερτέες *S*, ac. $L^1M$. — ἀταρποὶ om. it., add. im. *S*. — 21 σὺν θημοσύνην *O*; μνημοσ- *Q*. — 22 μεγασθενέες *M*. — 23 πάτερ *M*; π̄έρ *OΩ*; πέρι *PRv*. — 24 ἀθάνατον τρομέων ἄνθρωπος *Ω*; τρομέων θεὸν ἀθάνατον *O*; -τόν περ *Q*. — 25 θεοπρεπέα *Q*. — θυμὸν *O*. — 26 ὀλβίστης *S* ac. — 27 ἑοῖ *Sab*, ac. *R*. — 28 τρομέουσιν (om. πέλει usque ad τρομέουσιν 29) *S*. — πέλει *DMQ*, pc. *O*; -λοι *Ω*, ac. *O*. — 29 om. *Q*; del. *P* rubr.; notam ∴ praescripsit $L^2$ (in $L^2P$ deest h. l. stichus *Σ*). — οὔνομα δ' *ODLM* (Volkmann 34, Ritter 18, Scheindler[1] 907); -ομα *Ω*; -ομ' *P*. — φέροι *O*. — 30 ὄφρα φαείνῃ Nonn. D. 7, 296. — φαείνοι *LQ*. — 32 λοιδοροῖ *Q*. — 33 τείνων *O*.

*ψυχῆς ἡμετέρης πυκιναὶ βρίθουσιν ἀνῖαι,* 17
*ἀλλά με ῥιγεδανῆς ἀπολύσεαι αὐτὸς ἀνάγκης.*
*ἀδρανίην καὶ μόχθον ἰδὼν ἐμὸν ἵλαος εἴης·* 18
*πληθὺν ἐμῶν δηίων ἐπιδέρκεο νηλεοθύμων,* 19
*οἵ μοι ὀδυσσάμενοι ἀθεμίστιον ἔχθος ἔθεντο.*
*ψυχῆς ἡμετέρης περικήδεο καί με φύλασσε·* 20
*μηδέ μ' ἕλοι ποθὲν αἶσχος, ἐπεὶ σύ μοι ἐλπὶς ἐτύχθης.*
*σεῦ ἕνεκ' ἰθυνόους καὶ ἐνηέας εὗρον ἑταίρους.* 21
*Ἰσραήλου πᾶσαν ἀλεξήσειας ἀνάγκην.* 22

## κε' (25)

*Δαυίδου πέμπτός τε καὶ εἰκοστὸς πέλει ὕμνος.* 1

*Ἡμετέρῳ δικάσειας, ἄναξ, ἀγανόφρονι θυμῷ·*
*μή μ' ὀλιγηπελίη πίσυνον βασιλῆι δαμάσσῃ.*
*εἰ δ' ἄγε πείρησαι καὶ ἐμὴν σκοπιάζεο βουλήν·* 2
*νεφροὺς καὶ κραδίην κρίνοις περιθαλπέι πυρσῷ.*
*ὀφθαλμῶν ἐλεητὺς ἐμῶν σέθεν ἀντίον ἐστί,* 3
*καί σευ ἀληθείῃ γενόμην καταθύμιος αἰεί.*
*οὔ ποτε μαψιδίοισι μολὼν ἐκάθισσα θοώκοις* 4
*οὐδ' ἐπαγειρομένοισι συνέμπορος ἦλθον ἀλείταις·*
*τέκτοσιν ἀμπλακίης ὀλοοῖς ἤχθηρα παρεῖναι,* 5

---

35 *πυκναὶ DL¹MS*, cr. *L²*. — 36 *ἀλλά με* scripsi; *ἀλλὰ O*; *ἀλλ' ἄγε DPR*, pc. *M*; *ἀλλ' αγε S*; *ἀλλά γε LQv*. — *ἀπολύσεαι OLQS*; *-σαιο DM*; *-σεται Ω*. — *αὐτὸς* om. *L¹*, ss. *L²*. — 38 *ἐπιδέρκεον ἠλεοθ. S*; *-κεο ἠλ- L¹*, cr. *L²*. — 39 *ὅ μοι Q*; *οἵ μῶ* (o ss.) *S*. — 40 *περικηδέος R*; *-κήδεσι M*.

*Ψ* 25, 2 *πίσυνος O*. — *δαμάσει* (σ, η ss.) *O*; *-άσῃ DLMS*. — 4 *καρδίην R*; *κραδίαν S*. — 5 *παντίων S*. — 6 *ἀληθείῃν Q*. — 7 *μολὼν ἐκαθησα θοώκοις* ir. *O*. — *ἐκάθησα OL* (cf Hom. *I* 488); *-ισα Ω*. — 8 om. it., add. im. *O*. — *ἐπ' ἀγειρομένοισι O*; *ἐπεγ- R*. — *ἦλθεν M*. — *ἀλείταις PQv* (Mommsen 263); *-ήτας OL²R*; *-είτης DM*; *-ήτης L¹*; *-ίταις v*; *-ίτης S*. — 9 *ὀλοοῖς DLMS*; *-ῆς ΟΩ*.

*δυσσεβέων δ' ἀθέριξα κακὴν καὶ ὑπέρβιον ἕδρην.*
*ἀχράντοισιν ἐμὰς ἀπονίψομαι ὕδασι χεῖρας,* 6
*καί σεο βωμόν, ἄναξ, πανακήρατον ἀμφιπολεύσω,*
*εἰσόκεν εὐφήμοιο βοῆς κλυτὸν αἶνον ἀίσθω* 7
*καί σεο θέσκελα ἔργα περιφραδέως ἀγορεύσω.*
*θεσπεσίων ἀρίδηλον ἕδος ἐπόθησα μελάθρων,* 8
*ὄλβιστον δ' ἀνάπαυμα τεῆς ἐρικυδέος ἀλκῆς.*
*μή μευ θυμόν, ἄναξ, μετὰ δυσσεβέεσσιν ὀλέσσῃς* 9
*μηδὲ μετ' ἀνδροφόνοισι βίου ποτὲ μοῖραν ὀπάσσῃς*
*κείνοις, ὧν γεγάασιν ἀτασθαλίαι παλάμῃσι,* 10
*καί σφεων δεξιτεραὶ μογεροῖς βρίθουσ' ὑπὸ δώροις.*
*αὐτὰρ ἐγὼ σπεύδων βίον ἤλασα μείλιχον αἰεί·* 11
*ῥυσάμενός μ' οἴκτειρον, ἐπεὶ σταθερὸν λάχον ἴχνος·* 12
*καί σε, μάκαρ, μέλψαιμι παρὰ κλισίῃσι λιγαίνων.*

## κϛʹ (26)

*Πρόσθεν ἀνακτορίης γεραρῆς Δαυΐδος ἀμύμων* 1
*ἕκτον ἐεικοστόν τε σοφὸν τεχνήσατο κῶμον.*

*Ἄλκαρ ἐμὸν καὶ φέγγος ἄναξ, τίνα δειμαίνοιμι;*
*αὐτὸς ἐμεῦ βιότοιο πρόμος, τίς κέν με φοβοίη;*
*σαρκοφάγοι μεμαῶτες ἐμοῖς μελέεσσι πελάσσαι* 2

---

**10** *δ'* om. *Q*. — *ἀθερίζω O*. — **12** *ἀμφιπολεύσω OΩ* (*ἀμφοπ- Q*); *ὑμνοπολ- PRv*. — **13** *εὐφήμοις M*. — *ἀίσθω* scripsi (coll. Hom. *Π* 468. Apoll. Soph. 16, 16); *ἀείσω OΩ*; *ἀΰσω DLMS*. — **14** *θέσκελοι S*. — **15** *ἔδος M*; *ἔθος Q*. — **17** *μή μευ cΩ*; *μηδέ μευ abm*; *μηδέ με O*; *μὴ δέ με PR*. — *δυσσεβέσιν O*; *-έεσιν S*. — **18** *βίον M*. — *ὀπάσεις M*. — **19** *κείνοις* $L^2Q$; *-νων* $L^1Ω$. — *ἀτασθαλίας Q*. — **20** *βρίθουσ' ὑπὸ Pv*; *βεβρίθουσ'* (*-ους S*) *ὑπὸ OΩ*; *βεβρίθασι DM*. — *δῶρα O*. — **21** *ἤλασαν S*. — **22** *λάχεν* (cum gl. *ἔλαχον P*). — **23** *μελψοίμην P*; *μέλψεμει S* ac. — *παρὰ* (*-α Q*) *κλισίῃσι OQ*; *παρὰ κλησίῃσι L* (sed *ίῃσι* $L^2$ ir.); *παρακλήσεσσι* (*-σεσι S*, *-σῃσι DMR*) *Ω*; *εἰν ἀγορῆσι P*.

*Υ* 26, 1 *δαυίδου L* ac. — 2 *εἰκοστόν O*; *τ' εἰκ- Q*. — *κώμιον* $L^1$, cr. $L^2$; *κόμιον S*. — *Ψ* 26, 1 *ἐμοὶ O*. — 2 *φοβείη O*. — **3** *γεγαῶτες O*.

*κάππεσον ἀδρανίῃ δήιοι καὶ ἀνάρσιοι ἄνδρες.*
*οὐκ ἀλέγω, οὐδ' εἴ μοι ἅπας στρατὸς ἀντίος ἔλθοι·* 3
*ἐλπὶς ἐμὴ θεός ἐστι, τί μοι δέος ἔπλετο χάρμης;*
*ἓν λιτόμην θεόθεν, τὸ δέ μοι τριπόθητον ἐτύχθη,* 4
*ναιετάειν μεγάροισι διηνεκέως βασιλῆος,*
*αἰεὶ θεσπεσίην σκοπιαζέμεν ὄμμασι τέρψιν,*
*αἰεὶ νηὸν ἄνακτος ἀκήρατον ἀμφιπολεύειν.*
*ὥρῃ ἀναγκαίῃ κλισίῃσί μ' ἔκευθεν ἑῇσιν,* 5
*ἀθανάτοις καλύβης με παρ' ἐνδομύχοισι καλύπτων,*
*ἠλιβάτου περίπυστον ὑπὲρ πέτρης ἀναείρας.*
*νῦν δ' ἐμὸν ὧδ' ἀνάειρεν ἐπ' ἀντιβίοισι κάρηνον·* 6
*θείην ἀμφέρρεξα θύος κλισίην ἀλαλάζων·*
*ἀθάνατον ψαλμοῖσι καὶ εὐεπίῃσιν ἀείσω.*
*πρὸς σέ, μάκαρ, βοόωντος ἐμῆς ἐπικέκλυθι φωνῆς·* 7
*κέκλυθι καί μ' ἐλέαιρε. νόος δέ τοι εἶπεν ἐμεῖο·* 8
*„νωιτέρη μέμονε κραδίη τεὸν ὄμμα νοῆσαι,*
*σὸν φάος εὐάντητον ἀεὶ διζήμενος εἴην."*
*μή μευ σὴν χαρίεσσαν ἀποστρέψειας ὀπωπὴν* 9
*μηδὲ παρακλίνειας ὀδυσσάμενος θεράποντι.*
*αὐτός, ἄναξ, ἐπίκουρος ἔοις καὶ μή με μεθείης*
*μηδέ με καλλείψειας, ἐὼν θεὸς αἰὲν ἀμύντωρ,*
*οὕνεκα δή με πατὴρ καὶ πότνια κάλλιπε μήτηρ·* 10

---

**5** *μοι* $L^2\Omega$; *με* $DL^1MS$. — **6** *ἐμὴ* $\Omega$; *ἐμοὶ* $O$. — *χάρμα* $O$. — **8** *ναικτεύειν* $S$. — *διηνεκέος* $O$. — **9** *κοπιαζέμεν* $L^1$, cr. $L^2$; *σκοπιάζομεν* $M$. — **11** *κλησίῃισί* $S$. — *με κεῦθεν* $\Omega$. — **12** *ἀθανάτοις* $DLMS$; *-της* $\Omega$. — **13** *πέτρ]ης* $L^2$ ir.; *πέτρα* $DS$. — *ἀναείτας ἄσει* $S$. — **14** *ἀνάγειρ'* $O$. — *ἐπ' ἀντιβίοισα* $MS$; *ἐπαν-* $D$. — **15** *κλισίην* $L^2\Omega$; *κλη-* $L^1$; *ἀλῆλκοίην* sic $D$; *ἠλκῦην* $S$. — **17** *φωνῆς* om. $D$. — **18** *ἐμοῖο* $O$. — **20** *διζήμενον* $O$ ac. — *εἴην* $\Omega$; *εἴη·* pc. $L$ (tum *λῶ* eras.); *εἴκω* $D$; *εἴκλω* $S$; *οἴκω* $M$ pc. — **23** *μεθείης* $\Omega$; *θείης* $DMS$. — **24** *καλλείψειας* $\Omega$ (*καλεί-* $a$, pc. $S$); *-είψεια* $M$; *-είψας* (cum gl. *καταλείψειας*) $P$; *καταλλείψειας* $O$; *καλύψειας* $L$, ac. $S$. — *ἑῶν* $DS$; *ἑῶς* $M$; *ἑὸς* $O$. — **25** *κάλλιπε* om. $S$.

ἀθάνατος δ' ὑπέδεκτο καὶ ἐξεσάωσε φυλάσσων.
σῇσι, μάκαρ, θέσπισσον ἀεὶ βαίνειν με κελεύθοις, 11
εἵνεκα δυσμενέων ἀγαθῇ μ' ἴθυνον ἀταρπῷ.
μή με πόροις ψυχῇσιν ἑλώριον ἔμμεναι ἐχθρῶν, 12
οὕνεκά μευ κατέναντ' ἄδικοι ἐπιμάρτυροι ἔσταν·
αὐτῇ δυσνομίῃ δ' ἀδίκοις ἐψεύσατο λώβαις.
ἐν γαίῃ μακάρων θεοῦ ὄψομαι ὄμμασιν ὄλβον. 13
ἐλπωρὴν βασιλῆι θεῷ παρακάτθεο πᾶσαν·
θάρσει, καί σεο θυμὸς ἀεὶ κρατερώτατος ἔστω, 14
ἐλπωρὴν δὲ θεῷ παρακάτθεο πᾶσαν ἄνακτι.

## κζ' (27)

Εἰκοστὸν ἕβδομόν τε Δαυίδου μέλος. 1

Πρὸς σέ, μάκαρ, βοόω, σιγῇ μὴ δή με παρέλθοις·
μή σεθεν ἠρεμέοντος ἐρυκομένου τε σιωπῇ
πυθμένα νισσομένοις χθόνιον πανομοίιος εἴην.
εὐχωλῆς ἐπάκουσον ἐμῆς, μάκαρ, ἀντομένοιο, 2
εὖτε πρὸς ἄχραντον παλάμας σέο νηὸν ἀείρω.
μή μευ ἁμαρτινόοις κραδίην ἅμα σύνδρομον ἕλκοις 3
μηδὲ μετ' ἐργατίνῃσι κακορραφίης με δαμάσσῃς,
εἰρήνην σφετέροισιν ὅσοι λαλέουσιν ἑταίροις,
ἄλγεα δ' ἐν στέρνοισι κατακρύπτουσιν ἑοῖσιν.

---

27 θέσπισον Ω. — 28 οὕνεκα *DM*. — 30 ἕσαν *D* ac. — 31 αὐτὴ $ODL^1MS$ (οι ss $L^2$). — δυσνομίων *S* ac. — ἀδίκῃς ex -οις cr. *O*. — ἐψεύσατο $L^1\Omega$; -σαντο $L^2$. — 32 θεοῦ *O*Ω; θεὸν *Rv*. — ὄμμασιν om. *O*. — 33 παρακάτεο *S* (non 35). — 34 ἀεὶ om. *O**. — κρατερώτερος *O*; καρτ- *O**. — 35 δὲ θεῷ *OO**, im. $L^2$; βασιλῆι $DL^1MS$; βασιλῆι θεῷ *v*; δὲ σέθεν *P*. — ἄνακτι $O^*DL^1L^2MPS$; om. *O*Ω. — post hunc iterat 34 et 35 *O**.

Υ 27 τε om. *R*. — Ψ 27, 1 μὴ δή *LS*; μὴ δέ *ODM*; δέ γε μή Ω. — παρέλθῃς *O*. — 3 πανομοίϊον *O* ac. — 5 σεῖο *O*. — νηὸν *DLMS*; ναὸν *O*Ω. — 6 ἕλκοις $L^2\Omega$; ἕλκειν *DS* (ἕ- *M*). — 7 ἐργατίνοισι *LM*. — 8 εἰρήνη $L^1$, cr. $L^2$. — καλέουσιν $L^1$, cr. $L^2$.

οὐλομένων δέξαιντο πόνων ἀντάξιον ἄτην· 4
δός σφισιν, ὦ βασιλεῦ, σφετέρων ἀντάξια ἔργων,
οἷά τε χερσὶν ἔρεξαν ὁμῶς κομισαίατο δῶρα·
μισθὸν ἕλοιντο δίκῃ μεμελημένον ὧν δόσαν ἄλλοις,
ἀθανάτου ὅτι πάμπαν ἔσαν ἀμνήμονες ἔργων, 5
ἔργων δ' ἐξελάθοντο θεοῦ μεγάλου παλαμάων·
αἰεί σφεας καθέλοις καὶ μή ποτε πάμπαν ἐγείροις.
ἀθάνατος πολύαινος ἐμῆς θεὸς ἔκλυεν αὐδῆς, 6
αὐτὸς ἄναξ ἐπίκουρος ἐμὸς πρόμαχός τε τέτυκται. 7
οἶδα νόῳ, πόσον ἐλπὶς ἐφεύρατο κέρδος ἀρωγῆς
ὑψικόμοις τ' ἀνέθηλεν ἐμὸν δέμας ἶσα πετήλοις·
καί οἱ ἑκὼν ἀγαθόν τε καὶ ἄσπετον αἶνον ἀείσω.
αἰὲν ἄναξ λαοῖο βίη καὶ κάρτος ἐτύχθη 8
σφωιτέρου χριστοῖο διηνεκέως προμαχίζων.
λαὸν σὸν καὶ κλῆρον ἐυκλήεντα σαώσοις 9
καί σφεας ἠνεκέως ἀγαθοῖς ἀνάειρε νομεύων.

## κη' (28)

*Ὄγδοον εἰκοστόν τε μέλος κλισίηθεν ὁδεύων* 1
*Δαυΐδος κελάδησε σοφῇ φόρμιγγι λιγαίνων.*

Οἴσετε παμβασιλῆι, θεοῦ μεγαλαυχέες υἷες,

---

10 notam :· praescripsit $L^2$ (omissa *Σ*). — *βούλομένων M*; *βουλ- DLS*. — *δέξαιντο* $OL^2P$; *-οιντο* $L^1Ω$. — 12 om. it., add. im. *O*. — *ὁμῶς* $L^1Ω$; *τοῖα* $OL^2$. — *κομίσαιντο O*. — 13 *τισθὸν* (τ rubr.) *O*; *μισσὸν M*. — *ἕλοιτο P*; *ἕ- M*. — *μημένον* (λη supra) *ὃν δ. O*. — 14 *ἔσαν*] v. Ritter 29. Rzach[3] 361. — 15 *δεξαλάθοντο S*. — *μεγάλου b*c**; *-λω S*; *-λων Ω*. — *παλαμάω S*. — 16 *πάμπαν* $L^2Ω$; *σύμπαν* $L^1$. — *ἀγείροις O*. — 17 *ἐμοῖο O*. — *ἔκλινεν D*. — 18 *πρόμαχος* (om. *τε*) *ODMS*. — 19 *νοῶ O*; *νόο S*. — 20 *ὀψικόμοις* (*ὀ* rubr.) *O*. — *τ'* om. $L^1$, add. $L^2$. — 22 *αἰὲν Ω*; *καὶ ἐν* (im. *γρ' αἰ*) *M*. — *κράτος O*. — 24 post 25 posuit *O*. — *ἐϋκλήεντα cm*; *ἐϋκλεί- ab*; *εὐκλεί- OM*; *ἐϋκλύ- L*; *εὐκλύ- S*; *ὐκλύ- D*; *γ' εὐκλεί- PR*. — *σαώσεις* Schneider[1] 365: cf. Callim. h. lav. 142 *Δαναῶν κλᾶρον ἅπαντα σάω*. — 25 *ἀγαθοῖσιν O*.

*Υ* 28, 2 *δαβίδης R*. — *σοφὴ S*. — *Ψ* 28, 1 *εἴσετε* (ε init. rubr.) *O*; item 2. 3. 4. — *θεοῦ* $DL^1MS$; *θεῷ* (-ῷ) *OΩ*.

*οἴσετε παμβασιλῆι θεῷ ἁπαλόχροας ἄρνας,*
*οἴσετε παμβασιλῆι θεῷ τιμήν τε καὶ εὖχος,* 2
*οἴσετε τιμήεντι φερώνυμον εὖχος ἄνακτι·*
*αὐλῇ ἐν ἀχράντῳ λιτανεύσατε ποιμένα κόσμου.*
*ἀθανάτου βόμβησεν ἐφ᾽ ὕδασιν ἄτρομος αὐδή,* 3
*ἀρχὸς ἐυκλείης ἀριδείκετος ἐβρόντησεν,*
*αὐτὸς ἄναξ πολέεσσιν ἐφ᾽ ὕδασιν ἀμφιβέβηκε.*
*φωνὴ παμβασιλῆος ἑῇ περιώσιος ἀλκῇ,* 4
*φωνὴ παμβασιλῆος ἀριπρεπέεσσιν ἐπ᾽ ἔργοις.*
*φωνὴ θεσπεσίη περιμήκεας ἔθλασε κέδρους,* 5
*ἀθάνατος κέδρους βριαρὰς Λιβάνοιο κεάσσοι*
*λεπταλέας τεύχων Λιβανήιον οἷά τε μόσχον·* 6
*μουνογενὴς δ᾽ ἅ περ υἱὸς ὀρέστερος οἰοκερῆος.*
*θεσπεσίη τέμνουσα πυρὸς φλόγα ποιμένος αὐδή,* 7
*θηροκόμων δονέουσα θεοῦ διὰ γῆρυς ἐρήμων·* 8
*ἀγροτέρης πανέρημα Κάδης θεὸς ἀμφελελίζοι.*
*ἐρχομένης ἐλάφοιο δρόμου θρόος ἶσος ἄνακτος,* 9

---

post **2** serius add. *οἴσετε παμβασιλεῖ τιμὴν καὶ ἄσπετον εὖχος P.* — **3** post **4** ponunt *O*, im. $L^2$; om. *PvΩ* (sed v. supra et infra). — **4** habent $L^1$*PRv*; ante 3 collocant *O*, im. $L^2$; *οἴσετε παμβασιλῆι τιμήεντι φερώνυμον εὖχος* (om. *ἄνακτι*) *D*$L^1$*MS*: cf. 95, 13 sq. — **5** *αὐλῇεν ἀ. M.* — **6** *ὕδατος O.* — *αὐδὴν S* ac. — **7** *ἀρχὸς ἐϋκλ. L*; *ἀρχὸς εὐ- OΩ*; *ἀρχός τ᾽ εὐ- Rv.* — **8** *ἐφ᾽ ὕδασιν* om. *O.* — *ἀφϊβέβηκας O.* — **9** om. *D*$L^1$*MS*, add. $L^2$. — *φωνῇ S.* — **10** *φωνῇ* (-*ῆ*) *DP*, ac. *M.* — *ἐπ᾽ OP*; *ἐν Ω.* — **11** *φωνῇ DS*, ac. *M.* — *ἔπλασε M.* — **13** *τεύχου M.* — *λιβανΐηον S* (ac. $L^1$?). — *μόχθον* $L^1$ ac. — **14** *ὀρεστέρου P.* — **15** *θεσπεσίη* $L^2$*Ω*; -*ην ODMS*; -*ων* $L^1$. — *αὐδήν LS.* — **16** *κηροκόμων* (*κ* init. rubr.) *O*; *θηροκόμον DLM* (*θϋρ- S*), ac. *R*; -*μον Ω*, pc. *R.* — *θεὸν R* ac. — *γῆρις DM* ($L^1$ ac.?); *γήρους S.* — *ἐρήμων O*; -*ήμου Ω.* — an *θηροκόμον . . . ἔρημον*? — **17** *ἀμφέλελίζοι M* ir.; -*ζοιο O.* — **18** *ἐρχομένης* $L^2$; *ἀρχο- O*; *ἀρχομένοις* $L^1$*Ω*; *ἀγρο- R*; *ἐγρο- v**. — *ἐλάφοιο ODLMS*; -*οισι Ω.* — *θρόος* $L^2$*Ω*; *θρόνος OD*$L^1$*MS.* — *ἀγρονόμους ἐλάφους τε καταρτίζει θρόος ἁγνοῦ* substituit *P.*

*ὅς τε λίην βόμβησεν ἀπὸ δρυμὰ μακρὰ καλύψων·*
*πᾶς δέ τις ἐν νηῷ μάκαρος θεοῦ εὖχος ἀείσοι.*
*ναιετάει βασιλεὺς ἀρετὰς κρουνηδὸν ἰούσας·* 10
*ἀθάνατος καὶ ἄπαυστος ἄναξ θώκοισι θαάσσοι.*
*αὐτὸς ἑοῖς λαοῖσι βίην ἄρρηκτον ὀπάζοι,* 11
*αὐτὸς ἐν εἰρήνῃ ζωαρκέι λαὸν ἀέξοι.*

## κϑ′ (29)

***Εἰκοστὸν κελάδησε καὶ εἴνατον ἱερὸν ὕμνον*** 1
***Λαυῖδος πινυτὸς δωμησάμενος νέον οἶκον.***

*Σὸν κράτος ὑψώσαιμ᾽, ὅτι με προσεδέξαο, ποιμήν,* 2
*οὐδέ μ᾽ ἐπευχομένοις δηίοις δωρήσαο χάρμα.*
*ἠμάτιος βοάασκον, ἐμὴν δ᾽ ἰήσαο νοῦσον,* 3
*ψυχὴν δ᾽ ἐξ Ἀίδαο παλίσσυτον ἦγες ἐμεῖο* 4
*καί με κατερχομένων ὑπὸ πυθμένα ῥύσαο γαίης.*
*εὐαγέες, μελέεσσι θεὸν φορμίξατε θείοις* 5
*καί οἱ ἀκηράσιον μνημήιον αἰνετὸν ἔστω,*
*οὕνεκα μηνίσαντι θεῷ κότος ἐστὶ βαρύφρων* 6
*καὶ μεταμηνίσαντι φάος πραπίδεσσι βιώνης·*
*ἑσπέριον κλαυθμὸν τέρψις μεταμείψεθ᾽ ἑῴη.*

---

**19** *ὦστε* (*ὦ* rubr.) *O.* — *βομβήσας ὑπὸ O.* — **21** ***ναετάεις*** *O.* — *βασιλεῦ M.* — *ἀρετῆς* et *ἰούσης* $L^1$, cr. $L^2$. — **22** ***θαάσσοι*** *Ω* (*θεά- S*, *θοά- PRv*); *-σσει O.* — **23** *ἑοῖσι PRv.* — *λαοῖσι* om. *gm.* — **24** om. it., add. im. *O.*

*Υ* 29, **1** ***ἐεικοστὸν*** $L^1$, cr. $L^2$. — *ὕμνον* $DL^1MS$, pc. *O*; *ᾇσμα* s. *ᾆ-* $L^2Ω$, ac. *O.* — **2** ***πινυτὸς*** $L^1$, ac. *R*; *-τὸς γε* $L^2$; *-τός τε v**, pc. *R.* — *δομησάμενος OMRv**. — *νέον Ω*, it. *P*; *ἑὸν* ir. *M*; *γρ´ ἑὸν P* im. — *Ψ* 29, **1** *σὸς D.* — *ὑψώσαιμε D*; *-σασμε S.* — ***προδέξαο*** *M.* — **3** ***ἠμάτιον*** *O.* — *δἰ᾽ ἤναο S*; *δ᾽ ἤναο M.* — **4** *δ᾽* om. *DLMS.* — *ἐμοῖο O.* — **5** ***πυθμέν***]*α ῥύσαο γαίης* pc. $L^2$. — **6** om. $L^1$, add. $L^2$ im. — *εὐαγέες v*; *-γέσι O*; *-γέοις* $DL^2MPRS$. — **7** ***αἰνετὸν*** $L^1PΩ$ (cf. 111, 12); *αἰὲν O*; *αἰεὶ* $L^2$ im. — *γρ´ αἰὲν δ᾽ ἔστω P* ss. — *ἴστω O.* — **8** ***πυρόφρων*** *O.* — **10** ***κλαυθμῷ*** $L^1S$, cr. $L^2$; ***κλαθμὸν*** *M.* — *μεταμείψεθ᾽ Ω*; *-ψετ᾽* $L^2$ pc.; *-ψεται DMS*; *-βεθ᾽ OP.* — *ἑώη* (cr. *ἑ-*) $L^2$; *ἑώνη M*; *ἑώει S.*

εἶπον· „ἔνευες τοῖ', ὅτι μοι σάκος οὔποθεν εἴη.“ 7
κάλλεϊ νωιτέρῳ σθένος ἄφθιτον ἐκ σέθεν ἔστω· 8
ὄμμα σέθεν στρέψαντος ἐμὰ κλόνος εἵλετο γυῖα.
πρὸς σέ, μάκαρ, βοόων λίτομαι θεὸν αἰὲν ἐόντα. 9
τί πλέον, εἰ πόρον αἷμα καὶ εἰς Ἀίδαο κατῆλθον; 10
μή σε κόνις μέλψειεν, ἀληθείην δ' ἀγορεύσει;
εἰσαΐων μ' ἐλέησεν ἄναξ καὶ ἐπίρροθος ἔστη· 11
θρῆνον ἐμὸν μετέθηκε, γόον δ' ἠλλάξατο χάρμα· 12
εὐφροσύνην μ' ἔζωσεν, ἔρηξε δὲ πένθιμον ἦμαρ.
φορμίζειν σ' ἐμὸς ὄλβος, ὅλον δέ με καίνυται οἴμη· 13
ἄφθιτε παμβασιλεῦ, σὲ διηνεκέως ἀναμέλψω.

## λ' (30)

Τῆνδε τριηκοστὴν ἱερὴν πεφορημένος οἴμην 1
πνεύματι Δαυῖδος θεσπεσίῳ βοάᾳ.

Μή με καταισχύνειας, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης· 2
σῇ, μάκαρ, εὐδικίῃ περικήδεο καί με φύλασσε.
ὠκύτερόν με σάω κλίνας ἀριήκοον οὖας· 3
νωίτερος θεὸς ἔσσο κατὰ χρέος ἀσπιδιώτης,
οἴκῳ ἀοσσητῆρι πανείκελος, ὥς με σαώσῃς.

---

11 interpolatum add. *O*, pc. $L^2$ (ac. post 9); εὔθυμος δ' εἶπον, σάκος (σάλος *v*) ὅττι μοι οὔποθεν εἴη *PRv*; om. $DL^1MS$. — 12 serius inser. *P*. — 13 στρέψαντος *ODLP*; τρέ- *Ω*. — 14 βοάων *gm*. — 15 εἰ πόρον pc. $L^2$; -ρου *M*; ἀπόρον *S*. — 16 ἀγορεύσῃ *O*. — 18 γόον $L^2PRv$; γόου $L^1m\Omega$. — χάρμα $L^1\Omega$; σχῆμα $OL^2$. — 19 μ' *DLMS*; om. *Ω*. — ἔζωσεν $DL^2\Omega$; ἔξ- *S* (ac. *L* ?). — ἔρηξε ἔζωσε *O*. — ἔρηξε *LPRS*; ἔρρη- *DM*; ἔρυ- *gm*. — 20 φορμίζειν σ' *Ω*; -ζειν $DL^1M$; -ζει σ' $L^2$; -ζεις *OS*. — οἴμοι *O*. — 21 διηνέως *O* ac.

*Υ* 30, 2 βοάα *ODLMPS*; -άει *Rv*. — *Ψ* 30, 1 καταισχύνειας *L*; -νῃς (-νης) *OΩ*; -νῃς γε (γὲ) *Rv*; -νῃς ποτ' Ritter 20. — 2 μευ *S* (ac. *L* ?). — 3 ἀριήκων *S*. — 4 θεὸς ἔσσο *Ωa* (ἔσο *O*, ἔσσω *S*); θεός ἐσσι *v*. — 5 οἴμῳ $L^1$, cr. $L^2$. — ἀοσσοτῆρι *O*; ἀοσσω- $L^2$; ἀοσω- $L^1$; αὐσω- *S*. — πανείκελον *OPR*, pc. $L^2$. — σαώσῃς (-ης) $L^2\Omega$; σάωσον $L^1S$.

αὐτὸς ἐμὸν πολύχαλκον ἕδος καὶ ἐνσταθὲς ἄλκαρ, 4
ἡμετέρου γεγαὼς βιότου τροφὸς ἡγεμονεύοις.
ῥηιδίως, ἄχραντε, πάγης κρυφίης με σαώσοις, 5
οὕνεκα νωιτέρου βιότου πρόμος ἔπλεο μοῦνος.
πνεῦμα φίλον σέο χερσὶ φερεζώοις παραθείην· 6
ἀρχὸς ἀληθείης τελέθων ἀπελύσαο μόχθων.
ἀπρήκτου ματίης ὠδύσσαο πάντοτε φρουρόν· 7
αὐτὰρ ἐγὼν ἐλέῳ πίσυνος τεῷ ἐλπίδι χαίρω,
σῇ φρένα τερψάμενός τ' ἐλεημοσύνῃ κεχαροίμην· 8
ὅττί μευ ἀδρανίην ἀγανόφροσιν εἶδες ὀπωπαῖς,
ψυχὴν ἡμετέρην ὀλοῆς ἐσάωσας ἀνάγκης,
οὐδέ με δυσμενέος παλάμῃ ξυνέεργες ἀνιγρῇ· 9
ἴχνιά μευ στήριξας ἐπ' εὐρυχόροιο κελεύθου.
τειρόμενόν μ' ἐλέησον, ἐπεὶ περικήδομαι αἰνῶς· 10
μῆνις ἐπιβρίσασα δ' ἐμὴν κλονέεσκεν ὀπωπὴν
γαστέρα θ' ἡμετέρην καὶ ἐμὸν πολυώδυνον ἦτορ.
ἀμφ' ὀδύναις πυκινῇσι μαραινόμενον βίον ἕλκω, 11
ἐν στοναχαῖς τ' ἐνιαυτοὶ ἀπολλήγουσι βιώνης.
κάρτος ὀιζυρῆς πενίης ἐξέφθιτο μόχθοις
καί μευ φρικαλέη ταραχὴ λάβεν ὀστέα πάντα.
αἶσχος ὑπὲρ πάντας γενόμην περιώσιον ἐχθρούς, 12
μωμητὸς γνωστοῖσι, φίλοισι δὲ δεῖμα θυραίοις,

---

6 ἐύσταθὲς Ritter 21 (ut 70, 6); εὐ- Ω. — 8 σαώσεις P. — 9 ἔπλετο O; ἔπλον ὁ S. — 11 μόχθων Ω; -θον DM; -θου LS. — 12 ματίης τε (τὲ a*) ὀδύσσαο Rv*. — ὠδύσσαο Ω (-ύσαο S); ὀδ- OP (ac. L ?). — φρούρων S. — 14 φρενὶ L. — τερψάμενος τ' L; -νος Ω (Rzach[3] 402). — 15 ἀδρανίη DL[1]MS, cr. L[2]. — εἶδεν O. — 17 ἀνιγρῇ (-ῆ) Oab*cΩ; -κρῆ L; -χρῆ b; ἀ γρῆ D; ἄγρη M. — 18 στήριξ sic S. — 19 μειρόμενόν (μ init. rubr.) O. — 20 δ' om. Ω. — 23 ἀπολλήγουσι LS (Ritter 9 coll. 103, 75. 111, 5. 131, 25); ἀπολή- ODM, ac. R; παραλή- v, pc. R; ἐμῆς λή- P; ἄφαρ λή- Hilberg 12. — ἐν στ. βιότοιο παραλήγουσ' ἐνιαυτοί Rzach[1] 839. — 24 ὀϊζυρῆς OL; -ροῖς Ω. — πενίην O ac. — 25 με R, ac. P. — 26 πάντα S. — περιώσιος O. — 27 θῦμα θυρέοις O.

οἵ με πάρος λεύσσοντες ἔβαν μάλα νόσφι φυγόντες.
νεκρὸς ὅπως ἄπρηκτος ἀπὸ κραδίης ἐπελήσθην, 13
τεύχει ἀπολλυμένῳ πανομοίιος ἐξεφαάνθην,
μῶμον ἐλεγχήεντα περικτιόνων ἐπακούσας, 14
οἵ θ᾽ ἅμ᾽ ἀγειρόμενοί μοι ἐναντίοι ἠερέθοντο,
στήθεσιν ὁρμαίνοντες ἐμεῦ ἀπὸ θυμὸν ἑλέσθαι·
αὐτὰρ ἐγὼ κάλεόν σε θεόν· σὺ γὰρ ἐλπὶς ἐμεῖο. 15
σῇσι, μάκαρ, μετὰ χερσὶν ἐμοὶ κλῆροι γεγάασι· 16
ῥύεο δυσμενέων με καὶ ἀντιβίων παλαμάων.
ἀθάνατον προύφαινε τεῷ θεράποντι πρόσωπον· 17
εἵνεκα σῆς ἀγαθῆς ἐλεημοσύνης με σαώσοις.
μή ποθεν αἶσχος ἕλοιμι· σὲ γὰρ καλέεσκον ἀρωγόν· 18
εἰς Ἀίδην κατάγοιντο καταισχυνθέντες ἀλεῖται.
ἄφθογγ᾽ ἂν δολόεντα γενοίατο χείλεα φωτῶν, 19
ὅσσα κατεφθέγξαντο κακορραφίην ὁσίοιο
πολλὸν ἀγηνορίῃσιν ὀνοσσάμενα στυγερῇσι.
σῆς ἀγανοφροσύνης ἀπερείσιος ἑσμὸς ἐτύχθη, 20
ἣν κρύψας μάλα δή σε περιτρομέουσι φυλάσσων·
σῆς ἐπιδευομένοις εἰργάσσαο πάντοτ᾽ ἀρωγῆς
ἀνδρομέης κατέναντα πολυτλήτοιο γενέθλης.

---

28 μευ *S* ac. — νόσφιν ἰόντες *DM*; νόσφι γόντες *S*. — 29 καρδίης *MP*. — ἐπελήθην $L^1$, cr. $L^2$; -λήσθησαν *S*. — 30 om. it., add. im. *O*. — 32 οἳ θ᾽ ἅμ᾽ *O*; οἳ θάμ᾽ *L*; οἳ θὰμ *S*. — ἀειρόμευνοί *S*. — μοι *P* ir.; μευ *Ω*. — ἐναντίον *ODM*. — ἠερέθονται *OPR*; -θεντο *Sa*. — 33 ἑλέσθαι *S*; ὀλ- *DM*. — 34 ἐμεῖο *DLMS*; ἐμοῖο *OΩ*. — 36 με om. *O*. — 37 προύμφαινε $L^2$ pc. — προσώπω *O*. — 38 post 39 posuit *O*. — σαώσεις *O*. — 39 ἕλοιμι $OL^2$ (ac. *P*?); ἕλοι με $L^1Ω$, pc. *P*. — 41 ἄφθογγ᾽ ἂν $L^2$ ir.; ἄφθογγα *Ω* (v. Ritter 29. Hilberg 49. Rzach[3] 339); ἀφθόγγω *O*; -γων *b*c**. — φώτων *bgm*. — 42 κατεφέγξατο (ν supra) *R*. — ὁσίοιο $L^2Ω$; -οισι $L^1$; -οις *S*; γε ὁσίοις *DM*. — 43 ὀνωσάμενα *L*; ὀνοσσάμενοι *OM*. — 44 ἐμὸς *L*. — 45 ἦν *DS*, pc. *M* (ἴσως ἣν im.). — ἔκρυψας *O*. — 46 σοῖς $L^1$, cr. $L^2$. — ἐπιδευομένης *O*. — post 47 add. εἰν βλεφάροισ (ϊ supra) τεοῖσιν ἅτ᾽ ἔργμασι (ἕ- pc.) παντοσ-

ἔκτοσθεν βροτέης ταραχῆς σφεας ἀμφικαλύπτοις, 21
νείκεος ἐν κλισίῃσι τεαῖς ἀπάνευθε πυκάζοις.
αἰνετός, ὅς ῥ' ἐλεητὺν ἐν ἄστεϊ θῆκεν ἀγητήν. 22
θαμβήσας ἐφάμην πεσέμεν σέο νόσφιν ὀπωπῆς· 23
ἔνθεν, ἄναξ, βοόωντος ἐμῶν ἐπάκουε λιτάων.
ἀμφαγαπαζέσθων ὅσιοι σύμπαντες ἄνακτα, 24
οὕνεκ' ἀληθείης βασιλεὺς ἐμπάζεται αἰεὶ
μισθὸν ὑπερφιάλοις ἀντάξιον ἐγγυαλίζων.
θαρσεῖτε, κραδίη δὲ μάλ' ὑμέων ἔμπεδος ἔστω, 25
ὅσσοι ἐπουρανίοιο θεοῦ ἐλπίζετ' ἀρωγήν.

## λα' (31)

Τοῦτο τριηκοστὸν τελέθει καὶ πρῶτον ἄεισμα 1
Δαυίδου πινυτοῦ καλὰ μελιζομένου.

Ὄλβιοι, οἵ τ' ἀνέδειχθεν ἐλεύθεροι ἀμπλακιάων
οἷσί τ' ἀτασθαλίαι μεμελημέναι οὐκέτ' ἔασιν·
ὄλβιος, οὗ θεὸς ἔργα παρέδραμεν ἀμπλακιάων, 2
γλῶσσαν ἔχων δολερῶν ἀδαήμονα δυσφροσυνάων.
ὀστέα γηράσκοντα δυσαλθέι πύθετο σιγῇ 3
νωλεμέως καὶ ἄπαυστα πανημέριον βοόωντος·

---

σώοις pc. $L^2$ (ac. post 48). — **48** ἔκτοσθεν *DLMS* (Hilberg 42); -θε *OΩ*. — ἀμφικαλύπτεις *O*. — **49** τεῇς (-ῇς) *Ω*. — **50** ὅς ῥ *O*; ὃς ῥ' *L*; ὃς ρ' *DM*; ὡς *Ω*; ὡς ῥ *P*; ὡς ρἵ· sic *S*. — ἐλεητὴν *D*; εκλεκτὴν *S*. — **51** πεσέμεν *DM*; πεσεμέν *L*; πενσέμ^εν^ην *S*; περὶ σέ (σὲ ac.) με *O*; ὦσμαι *PRv*. — **52** ἐπάκουε *L*; -κοε *O*; ὑπάκουε *DSv**; ἐπάκουσε *Ω*. — **53** ἀμφαγαπάζεσθων *L*; -πάζεσθον *DMS*. — **54** ἀληθείην *R* ac. — βασιλεὺς ir. *P*; -λεῦ *M*. — **55** ὑπερφιάλοισιν *O*; ὑπὲρ φιέλοις *S*. — **56** δὲ *Ω*; τε *P* ir. — ὑμέων *DLMScm*, pc. *R*; ἡμ- *OPab*, ac. *R*. — **57** ἐπουρανίοιο *OLMP*; ἐπ' οὐρ- *Ω*.

*Υ* 31, **2** πινυτοῦ $L^2Ω$; -τοῖο *O*; -τῆς $DL^1MS$. — *Ψ* 31, **1** οἵ τ' *DOPSv**; οἳ τ' *L*; οἱ τ' *M*; ὅσσ' *Rv*, cum γρ' *P* ss. — **2** οἷοι τ' *O*. — ἀτασθαλίαις *O*; ἀσθαλίαι *PS*. — μεμελημένοι *O*; κεκαλυμμέναι *DLMS*. — **3** οὗ *Ω*; ὧ *O*. — **4** εὐφροσυνάων *O*. — **5** δυσανθέϊ *O* ac.; δῦσαι θέϊ *M* (cr. im.). — γῆ $L^1$, σι $L^2$ ss. — **6** ἄπαυστα *Ω*; ἄπαντα *O*. — βοόωντο *DLMS*.

πάντοτε γάρ μευ, ἄναξ, ἐπεμαίεο χειρὶ βαρείῃ· 4
δείλαιος γενόμην, ὅτι μοι χροῒ πῆχθεν ἄκανθαι.
ἀμπλακίην ἀνέφηνα, νόου δ' οὐκ ἔσκεπον ἄτην· 5
εἶπα θεῷ πρῆξίν μευ ἀτάσθαλον ἐξαγορεῦσαι·
αὐτὸς δ' ἡμετέρης κραδίης παρελήλυθας ἄτην.
τῆς δ' ἕνεκ' ἔσθ' ὁσίοισι λιτὴ μετ' ἐναίσιμον ὥρην, 6
οὐδ' ἐπιχευομένων ὑδάτων τρέσσειαν ἀνάγκην.
σὺ ξυνεεργούσης με πελέσκεο πύργος ἀνίης· 7
χάρμα φίλον, σύ με τεῦξον ἐλεύθερον ἀμφιβαλόντων.
γνοίης ἐξ ἐμέθεν, ποίην χρέος οἶμον ὁδεύειν· 8
εἰς σέ, μάκαρ, στήριξα διαμπερὲς ὄμματ' ἐμεῖο.
ὀφθαλμῶν ἀμαρυγὰς ἐμῶν σέο νέρθεν ἐρείσω.
παύσασθ' ἡμιόνοισι πανείκελοι ἠδὲ καὶ ἵπποις 9
γινόμενοι· σοφίης γὰρ ἀγακλέος ἄμμοροί εἰσι·
γαμφηλὰς ξυνέαξαν ὀρειχάλκοισι χαλινοῖς,
οἳ σέθεν οὐ μεμάασι γεγηθότες ἆσσον ἱκέσθαι.
παντοδαπαὶ μάστιγες ἀεὶ γεγάασιν ἀλιτροῦ, 10
ᾧ δὲ θεὸς μεμέλητ', ἔλεος περικυκλώσειε.

---

7 με *P* ir. — ἐπεμαίεο *OL*[2]*P*; ἐπ' ἐμοὶ εο *S*; ἐπ' ἐμοὶ σέο *L*[1]*Ω*. — 8 ἄκανθαι *L*[2]*Ω*; -θα *ODM*; ἄνακτας (?) *L*[1]. — 9 νόον *M*. — ἔσκεπον *L*[2]*Ω*; ἐσκεπτον *O*; ἔσπον *DL*[1]*MS*. — 10 εἶ (om. πα) *DM*. — ἐξαγορεῦσαι *ODLMPRS*; -ρεῦσω *v*. — 11 ἡμετέρων κραδιῶν *O*. — παρελήλυθεν *L*[1]; -λήλυθες *OL*[2]; -ληλυθ' *S*. — ἄτη *M*. — 12 σῆς (σ rubr.) *O*. — ἕνεκ' ἔσθ' *Ω*; ἕνεκ' ἔστ' *L*; ἕνεκεστ *S*; ἕνεκεν *DM*. — ὁσίοισ]ι eras *M*. — μετ' ἐναίσιον *O*; μετανέσιμον *M*: v. Mommsen 266. — 13 τρέσειαν *OL*[2]*P*; τρέπειεν *L*[1]*S*; τρεπεῖεν *v*; τρέψειεν *DM*; ταρβήσειεν *R*; ταρβοῖεν *v**. — 14 ξυνεργούσης *L*[2]*Sabm*. — πέλκετο *S* (ac. *L* ?). — πύργος ἀνίης] v. Lobeck[1] 117. — 17 ἐμοῖο *O*. — 18 spurium add. *ORv* (hoc loco deletum ante 17 inseruit cum γρ´ *P*); οὗτος ὁ στίχος περισσεύειν δοκεῖ *v**, ὃν οὐδὲ εἶχεν ἓν τῶν ἀντιγράφων add. *a**; om. *DLMS*. — 19 ἡμιόνοισιν ἴκελοι *O*. — ἧδε *S*. — 20 ἀινόμενοι (ἀ rubr.) *O*; γιγνό- *DLM*. — 21 serius insertus *P*. — ξυνέαξαν scripsi (cf. 57, 12); -ξον *OPRv*; συνέαξον *DLMS*. — 22 οἷ *S*. — 24 ᾧ (ὧ) *Ω*; οὗ (ο rubr.) *O*. — μεμάλητ' *S*.

χάρμα καὶ εὐφροσύνη θεοτερπέας ἄνδρας ἐρύκοι, 11
καὶ κλέος ἀμφιβόητον ἐν ἰθυνόοισι μελέσθω.

## λβ' (32)

Τόνδε τριηκοστὸν καὶ δεύτερον ἴαχεν ὕμνον 1
Δαυῖδος κιθάρῃ μείλιχα τερπόμενος.

Χαίρετέ μοι βασιλῆι, δίκης ὑποφήτορες ἄνδρες·
ἀνδράσιν ἰθυνόοισι μεταπρέπει ἄσπετος αἶνος.
μέλψατέ μοι ζώοντα θεὸν φόρμιγγι λιγείῃ, 2
μέλψατέ οἱ δεκάδεσσι μέλος νευρῇσιν ἱέντες·
ἐκ πραπίδων νέον ὕμνον ἀείσατε παμβασιλῆι, 3
εὖ δ' ἀναμελπέσθω ἓ δίκης ἐπιήρανος αἶνος,
οὕνεκεν ἀθανάτοιο θεοῦ λόγος ἰθὺς ἐτύχθη, 4
πάντα δέ οἱ μάλα πιστὰ πέλει βασιλήια ἔργα.
εὐδικίην φιλέει λαθικηδέα καὶ θέμιν ἐσσήν, 5
πᾶσα θεοῦ βέβριθεν ἅδην ἐλεητύος αἶα.
οὐρανοὶ ἐρρίζωθεν ἐφημοσύνῃ βασιλῆος 6
καὶ πᾶσ' ἀθανάτου στόματος σφέων πνεύματος ἀλκή·
ἀσκὸν ὅπως πόντοιο ῥόον πολυηχέ' ἀγείρων, 7
τέχνῃ κατθέμενος κρυφίοις ταμίῃσιν ἀβύσσου.
δειμαίνοι βασιλῆα θεὸν κλυτὰ πείρατα γαίης, 8
ἐκ δ' αὐτοῦ δονέοινθ', ὁπόσοι χθόνα ναιετάουσιν.

---

26 μελέσθων *O*.

Υ 32, 2 κιθάρης *S* (ac. *L*?). — μελπόμενος *P* ac. — Ψ 32, 1 ὑποφήτορ' ἄνδρ' *S*. — 2 μετατρέπει *M*. — 3 serius inser. *P*; post 4 posuerunt $DL^1MS$ (cr. $L^2$). — μοι] καὶ add. *O*. — ζώνα (τ supra) *M*. — 4 μέλψετέ $DL^1S$, cr. $L^2$; -ετὲ *M*. — δεκάδεσσι] cf. Lobeck$^6$ 441. — νευροῖσιν *L*. — ἱέντες *ODLMS*. — 6 ἓ scripsi; τε $L^2$; γε (γὲ) *Rv*; om. $OL^1\Omega$. — 7 ἰχθὺς *S*, ac. *L*. — 8 δέ οἱ *Ω*; δέη *S*. — μάλα om. *O*. — 9 εὐδοκίην *DM*. — λαθικηδέει *S*. — 10 ἑαλεκτ̈ός sic *S* (ac. *L*?). — 12 πάσης *O*. — πνεύματος $L^1\Omega$; -τι $L^2$. — 13 πολυήχεα γείρων *S*. — 14 ταμίαισιν *m*; -ίοισιν *Ω* (Lobeck$^8$ 1, 340); -είοισσιν *O*; -είοισιν *P*. — ἀβύσσους *P* ac. — 15 δειμαίνοι *Oac*Ω; -μένοι *S* (ac. *L*?); -μαίνει *bm*. — 16 αὐτοῦ $L^2\Omega$; αὖθις $L^1$. — νετάουσιν *O* ac.

οὕνεκεν αὐτὸς ἔειπε, καὶ ἐκτετέλεσθεν ἅπαντα· 9
αὐτὸς ἄναξ ἐκέλευσε, τὰ δ' ἐβλάστησεν ὁμαρτῇ.
ἀθάνατος σκεδάσειεν ἀπείριτα δήνεα δήμων 10
καὶ λαῶν ὀνόσαιτο πολυστρεφέας μελεδῶνας
δήνεά θ' ὑψινόων παραμείψεται ἡγητήρων.
βουλὴ δ' ἀθανάτοιο διηνεκέως ἐπιμίμνει, 11
μέρμερα δὲ κραδίης γενεῆς ἄπο μέχρι γενέθλης.
φῦλον ἀεὶ μακαριστὸν ἑῷ βασιλῆι πεποιθός, 12
λαός, ὃν ἐκ πάντων ἐπελέξατο κλῆρον ἑλέσθαι.
οὐρανόθεν βασιλεὺς πανδερκέα τεῖνεν ὀπωπήν, 13
ἀνδρομέην σφετέρης ἐκ παστάδος εἶδε γενέθλην·
ὄμμασιν ἐνναετῆρας ὅλης θηήσατο γαίης, 14
ὃς θνητῶν κραδίην παλάμῃ τεκτήναθ' ἑκάστην, 15
ὅς σφεων ἐν πραπίδεσσι διαμπερὲς ἔργα δοκεύει.
οὐ σθένος οἶδεν ἄνακτα μεγακλήεντα σαῶσαι, 16
οὐδὲ γίγας κακότητα φύγοι περιθάρσυνος ἀλκῇ·
ἵππος ἐνὶ πτολέμοις ἀχρήιος ἄνδρα σαῶσαι, 17
οὐδέ κεν αὐτὸς ἄλυξε περὶ σθένεϊ βλεμεαίνων.
ὀφθαλμοὶ τετάνυσθεν ἐπὶ τρομέοντας ἄνακτος, 18

---

17 οὕνεκεν *O*; τοὔ- *D*; τού- *M*. — ἐκτέλεσθεν *M*; ἐκτετέλεσθαι *S* ac. — 18 ἐκέλευσας *O*. — 19 σκεδάζει *O*. — 20 λαῶν *L*²*Ω*, cum γρ′ καὶ *M* im.; λαὸν *L*¹; λάκον *DM*. — ὀνώσαιτο *O*; ὠνώσοιτο *L*¹ (cr. *L*²); ὀνό- *DM*; ὀνόσϊτο *S*. — μεληδῶνος (ας superscr.) *M*. — 21 ήνεά (μήδ- cr. rubr.) *O*. — θ' om. *PR*. — ὑψϋνόων *L*¹; ὑψη- *L*²; ὑψο- *M*. — 23 ἄποχρη *L*¹ (cr. *L*²); -χρι *S*. — 24 μακαριστῷ *R* ac. — πεποιθὼς *L*¹*PR*, cr. *L*². — 27 σφετέρην *O*. — γενεθλίην *O*. — 28 ὅλος *S*. — 29 κραδίης *DL*¹*MS* (cr. *L*²); -ας pc. *DM*. — τεκτήναθ' ἑκάστην *L*² ss.; -νατο μοῦνος *OΩ*. — 30 om. it., add. im. *O*. — ὅς φεων *S*. — 31 εἶδεν *LS*; εἶδοῖν *D*; εἶδοῖν (ο superscr.) *M*. — μεγα om. *O*. — 32 et 33 serius add. *P*. — κακότητι *O*. — φύγη *OS*. — 33 ἐνὶ πολέμοις *O*; ἐνιπτο- *S*; ἐν ἰπτο- *D*. — 34 ἄλυξε om. in lac. *O*; ἄγαξε *L*² ss. — Hom. *P* 22 περὶ σθένεϊ βλεμεαίνει. — βελμαίνων *L*¹*S*, cr. *L*² im. — 35 serius add. cum γρ′ *P* rubr. — τετάνυσθεν *L*²; ἐτάν- *L*¹*Ω* (v. Ritter 13. 35). — ἄνακτος *L*²*Ω*, del. et ὁρῶσιν substituit *P*;

*ὀφθαλμοὶ μεγάλοιο θεοῦ τρομέοντας ὁρῶσιν,*
*ὅσσοι θεσπεσίῳ ἐλέῳ μεμελημένοι εἰσί,*
*ψυχὰς ἐκ θανάτοιο τανηλεγέος ἀπερύξαι* 19
*καὶ θρέψαι στονόεντι πιεζομένους φρένα λιμῷ.*
*ἡμέτερος μάλα θυμὸς ἀπηώρηται ἄνακτος,* 20
*οὕνεκεν ἡμείων πρόμαχος καὶ ἀρωγὸς ἐτύχθη.*
*ἀμφ' αὐτῷ κεχάροιτο νόος πραπίδεσσιν ἰανθείς,* 21
*καὶ ἑὸν ἡμετέρῃ ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη.*
*αὐτός, ἄναξ, ἐλεητὺν ἀπείριτον ἄμμιν ὀπάζοις,* 22
*οἷά σευ ἐλπίζοντες ἀεὶ ποτιδέγμεθ' ἀρωγήν.*

## λγ΄ (33)

*Ὁππότ' Ἀβιμέλεχον μενεδήιον ἠπεροπεύσας* 1
*ᾤχετο Δαυῖδος, σφετέρην δ' ἠλλάξατο μορφήν,*
*τόνδε τριηκοστὸν τρίτατόν θ' ἅμα κῶμον ἔμελψεν.*

*Εὐφήμοις ἐπέεσσιν ἀεὶ βασιλῆα βοήσω,* 2
*νωλεμέως γλώσσῃ σφέτερον μέλος αἰνετὸν οἴσω.*
*κυδαίνοιτό μευ ἦτορ ἐν ἀθανάτῳ βασιλῆι·* 3
*μείλιχοι εἰσαΐοντες ἑῷ κεχαροίατο θυμῷ.*
*ἀμφ' ἐμοὶ ἀθάνατον μεγαλίζετε ποιμένα κόσμου,* 4
*καί οἱ ἀγειρόμενοι ἀναείρομεν οὔνομα πάντες.*
*οὖας θῆκεν ἑτοῖμον ἀνιχνεύσαντί μοι ἐσσήν,* 5
*παντοίης δ' ὀλοῆς με θοῶς ἐξείλετ' ἀνίης.*

---

-*τα O*; -*τας* $L^1$*S*. — subsequitur iterum 35 (cum *ἄνακτος*) *P*. — **36** om. *DLMS*; del. rubr. *P*; add. *ORv*. — **37** *ὅσϊ θεσπεσί* sic *S*. — **39** *λιμῷ Ω*; *θυμῷ L*, pc. *O*; -*μόν O* ac. — **40** *θυμὸς Ω*; *θεὸς O*. — *ἀπηώρηκτε S*. — **42** *ἀφ' S*. — *ἰάνθη DM*; *ἰάνθησ* (ει) *S*. — **43** *ἑὸν* Ritter 17; *οἱ Ω*; *γάρ οἱ* Scheindler[1] 905. — **44** *ἐλεκτὲν S*. — *ὀπάζεις R* ac. — **45** *προτιδέγμεθ' DRS*; *προτίδε*- *M*.

*Υ* 33, **1** *μενϊδήϊον L*; *μένϊδῄϊον S*. — **2** *δαυίδου* $L^1$, cr. $L^2$. — *σφετέρη R*. — **3** *θαμὰ O*. — *Ψ* 33, **2** *γλώσσῃσι DS*; -*ῃς L* ac. — **3** *μευ* s. *μεῦ* $L^2$*Ω*; *μὲν D*$L^1$*MS*. — **4** *κεχαρϊόσατο S*. — **5** *μεγαλίζεται OL*, ac. *S*. — *κόσμου* sequentem vs. incipit *DM*. — **8** *με θεὸς θοῶς O*. — *ἐξείλατ' R*.

*σπεύσατέ οἱ πελάσαι, καί οἱ φρεσὶ φέγγος ἐπέλθοι,* 6
*ὥς κεν ἀμωμήτοισιν ἀεὶ λάμποιτε προσώποις.*
*ὧδε πτωχὸς ἄυσε, θεὸς δέ οἱ ἔκλυεν αὐδῆς,* 7
*παντοίης δ' ἐφύλαξεν ἐλεγχέος ἔκτοθεν ἄτης.*
*ἄγγελος ἀμφιέπων θεοῦ ἵξεται ἔνθα καὶ ἔνθα,* 8
*κυκλόθεν εὐσεβέων ἀνδρῶν σφέας ὄφρα σαώσῃ.*
*γευσάμενοι δέρκεσθε, ἄναξ ὅτι μείλιχός ἐστιν·* 9
*ὄλβιος αἰὲν ἀνὴρ σφετέρῳ βασιλῆι πεποιθώς.*
*εὐαγέες σύμπαντες, ἀεὶ περιδείδιτ' ἄνακτα·* 10
*εὐσεβέων οὐ γάρ τευ ἐφιμείρων τις ἐτύχθη.*
*δευομένους ἐδάμασσε πολυκτεάνους ποτὲ πείνῃ,* 11
*εὐσεβέων δ' ἀγαθοῖσι μέγα βρίθουσι γενέθλαι.*
*δεῦρ' ἴτε μοι, φίλα τέκνα, ἐμῶν δ' ἐπικέκλυτε μύθων,* 12
*ὄφρα φόβον βασιλῆος ἐνηέος ὔμμε διδάξω.*
*τίς ποθέει χαρίεντος ἰδεῖν βιότοιο γαλήνην,* 13
*ἰσχανόων πολύολβα διαμπερὲς ἤματα λεύσσειν;*
*γλῶσσαν σὴν ἀπόπαυσον ἐλεγχίστης κακότητος,* 14
*καὶ στυγερῶν ἀπάνευθε δόλων σέο χείλεα κεύθοις.*
*φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἀναφαίνεο τέκτων,* 15
*εἰρήνης ἐρατεινὰ μετ' ἴχνια πάντοτε βαίνων.*
*ὀφθαλμοὶ βασιλῆος ἐποπτεύουσι δικαίους* 16
*καί σφεων εὐχωλῇσιν ἑτοιμότατον πόρεν οὖας.*

---

**9** *καί οἱ Ω* (ut Hom. *A* 79; v. Volkmann 36); *τε καί οἱ* Scheindler$^1$ 905. — *ἐπέλθοι DLM*; *ἔλθοι S*; *ἐλέσθαι ΟΩ*. — **10** *λάμποι τὸ O*; *-ποι τὲ a*; *-πητε S*. — *πρόσωπον O*. — **12** *παντοίοις S*. — *ἔξωθεν O*. — *ἄτος S*. — **13** *θεοῦ OLS*; *θεῷ* (-ῶ) *Ω*. — **15** *μειλίχιός εστι O*. — **17** *περιδείδετ' m*. — **18** *οὐ Ω*; *ὀγ* $L^1S$ (*οὐγ* cr. $L^2$). — **19** *ῥυομένους* (*ῥ* rubr.) *O*. — *πείνῃ* (-η) *ΟΩ*; *-νους S*; *πίνη* $L^2$; *ἐσσὴν* $DL^1M$. — **20** *μέγα βρίθοισι μέγα βρίθου* sic (om. *γενέθλαι*) *M*. — **21** *δ' εὐριΐτει μοι S*. — *δ'* om. *O*. — *ἐπικέκλυτε Ω*, pc. *OL* (*κέκλυ* om. in lac. *S*); *-ται OL* ac. — **22** *φόβον M*. — *ὔμμε D*; *ὕ- OLMS*; *ἄ- Ω*. — **23** *βιότου S*. — **24** *διάμπερὸ S*. — **25** *γλῶσσα M*. — **28** *εἰρήνη* $L^1$, cr. $L^2$. — *βαίνειν M*. — **29** om. it., add. im. *O*. — *βασιλέως D*, ac. *M*.

ἄλγεα τεκταίνοντας ἄναξ δοκέεσκεν ὀπωπαῖς, 17
ὄφρά κεν ἐξολέσῃ σφέτερον μνημήιον αἴης.
εὐσεβέες βοάασκον, ἀτὰρ θεὸν εὗρον ἀρωγόν, 18
παντοίης δ᾽ ἀπάνευθεν ἑῆς ἐφύλαχθεν ἀνίης.
οἷς κραδίη τέθρανσται, ἀεὶ θεὸς οἶδεν ἀρήγειν, 19
πνεύματι δὲ σφετέρῳ χθαμαλόφρονα φῶτα σαώσει.
πολλαὶ καὶ πυκιναὶ ὁσίων γεγάασιν ἀνῖαι, 20
καί σφεας ἐκ πασέων ἀπολύσεται ἄφθιτος ἐσσήν.
αὐτὸς ἄναξ κήδοιτο καὶ ὀστέα πάντα φυλάξοι, 21
ἐκ δ᾽ αὐτέων οὐκ ἄν τι καταφθείροιτο ἑαχθέν.
πότμος ἁμαρτινόων ὀλοὸς καὶ ἄποτμος ἐτύχθη, 22
οἱ δ᾽ ὅσιον στυγέοντες ἀτάσθαλοι αἰὲν ἔσονται.
δμώων σφωιτέρων κραδίας ἀπολύσεται ἄτης, 23
οὔ κεν ἀλιτραίνοιεν ἑῆς χατέοντες ἀρωγῆς.

## λδ′ (34)

Τόνδε τριηκοστὸν καὶ τέτρατον ἴαχεν ὕμνον 1
Δαυῖδος λιγυρῇ μελπόμενος κιθάρῃ.

Νωιτέροις ὀλετῆρσιν, ἄναξ ἄχραντε, δικάζοις,
νωιτέροις δηίοισιν ὑπερμενέως πολεμίζοις.
ἀσπίδα καὶ ξίφος ὀξὺ λαβὼν ἐπιτάρροθος εἴης, 2
φάσγανον ἄμφηκες δηίων κατέναντα τιταίνοις. 3
ἔννεπέ μευ ψυχῇ· „σέθεν ἀσφαλὲς ἕρκος ἐτύχθην.“

---

31 ὀπωπῆς $L^1S$; -ῇς $L^2$. — 33 βοάσκον ac. *OM*; βόασ- *DLS* — 35 εἶδεν *S* ac. — 37 ὁσίην *S* ac. — γάασιν *S*. — 38 ἄφθιτος] γρ′ ἄφθεγκτον (ss. σιγῇ) *P* rubr. — 39 φυλάξει *O* ac. — 40 an οὐχ ἕν τι καταφθείροιτό κ᾽ s. -ροιτ᾽ ἂν? cf. Volkmann 35. Ritter 15. Scheindler[1] 907. — ἑάχθεν *M*: cf. 41, 25. — 43 κραδίης *LM*, ac. *D*. — 44 οὔ κεν Ω; οὔκουν *O*.

Υ 34, 1 τέταρτον $DL^1$ (cr. $L^2$), ac. *M*. — ὕμνος *M* ac. — 2 μελπόμενοι *M*. — Ψ 34, 1 νωϊτέρ]οις pc. *PR*. — ἄναξ om. *O*. — 2 δηΐοισιν Ω, ss. *L*; πολεμίοις it. *L*; δήϊσιν *O*. — πολέμί]ζοις pc. *O*. — 4 κατέναντα scripsi; -τι Ω. — 5 ἐτύχθη *O*.

θυμὸν ἀνιχνεύοντας ἐμὸν διὰ μῶμος ἐλέγχοι, 4
κήδεά μοι ῥάπτοντας ἀποστρέψειας ὀπίσσω.
οἷα κόνις δνοφεροῖσιν ἐλαυνέσθωσαν ἀήταις 5
καί σφεας ἀθανάτοιο διάκτορος ὀξὺς ἐπείγοι.
οἶμος ὀλισθηρὴ ζοφερή θ' ἅμα τοῖσι γενέσθω 6
καί σφεας ἀθανάτοιο διάκτορος αἶψα διώκοι.
κρύβδην μαψιδίως ὅτι μοι λίνον ἐστήσαντο, 7
μαψιδίως ἐμὸν ἦτορ ὀνείδεσιν ἐστυφέλιξαν.
ἣν φρεσὶν οὐ δοκέουσι πάγην, σφέας ἀγρεύσειεν, 8
ἧς δὲ κατεκρύψαντο, γενοίατο κέρδεα θήρης
ὀλλύμενοι δολόεντι λίνῳ, τό περ ἔπλεκον αὐτοί.
αὐτὰρ ἐμοὶ ψυχὴ κεχαρήσεται ἀμφὶ ἄνακτι 9
καί οἱ ἀλεξικάκῳ περὶ φέγγεϊ γηθήσειεν.
ὀστέα πάντ' ἐρέει· „τίς τοι, μάκαρ, ἄλλος ὁμοῖος; 10
ῥυόμενος πτωχὸν κρατερῶν ἀπὸ λυμαντήρων,
πτωχόν τ' ἠδὲ πενιχρὸν ἀφ' ἁρπαλέων ὀλετήρων.“
μάρτυρες ἀνστάντές μ', ὅσα μὴ μάθον, ἐξερέεινον· 11
ἀντ' εὐεργεσίης κακοεργέα μισθὸν ἐδέγμην, 12
ἡμετέρην ἄσπερμον ἐπεσσυμένων φρένα θέσθαι.
αὐτὰρ ἐπειγόμενος βαλόμην πέρι πένθιμον εἷμα, 13

---

**6** *ἀνιχνεύοντες O.* — *μῶνος M* ac.; *-μον S* ac. — **7** *μήδεά* (*μ* rubr.) *O.* — *ῥάπτοντες O.* — **8** *ἀήταις* $OL^2v$; *-τῃς DMPR*; *-της* $L^1S$. — **9** *ἀθάνατος L.* — *ὀξὺς* usque ad *διάκτορος* 11 om. *S.* — *ἐπείγοι O*, pc. *L*; *ἀπείργοι Ω*, pc. *R* (ac. *-γει*). — **10** *ὀλισθηροὶ* (?) *L* ac. — **13** *ἐμὸν Ω*; *ἄτίςμὸν D*; *ἄτιςμὸν M.* — *ὀνείδεσιν ἐστυφέλιξεν* Apoll. Rhod. 1, 273. — *ἐστεφέλιξαν* $L^1$, cr. $L^2$; *ἐσφέ- S.* — **14** *ἀγρεύσειεν* $L^1Ω$; *-σειαν* $L^2$; *-σειε ODM.* — **15** *γενοίατο* om. *S.* — **16** *ἐλλύμενοι* (*ἐ* rubr.) *O*; *ὀλλό- S.* — **17** *αὐτὸς M.* — *ἐμοὶ ψυχὴ OL*; *ἐμὴ ψ- Ω*; *ἐμῇ ψυχῇ S.* — **18** *φθέγγεϊ OS.* — **20** *πτοχὼν S* ac. — **21** *τ'* om. *DMS.* — *ἀφ' OΩ* (*ἀφ* $L^2$); *ὑφ' S*; *ὑφ.* $DL^1M$. — **22** *μάρτυροι S* (ac. *L* ?). — *ἀναστάντες* $ODL^1MS$, cr. $L^2$. — *μήσαθον M.* — **23** *ἐδέγμην Ω*: *ἐδίδουν O.* — **24** *ἐπέσσυντο P.* — *θ″θαι* sic *S.* — **25** *πέρι PRm*; *περὶ v*, ac. *L*; *περι OaΩ*, pc. *L.* — *εἷμος S.*

νηστείης δ' ἐδάμασσα πόνοις βαρυώδυνον ἦτορ·
εὐχωλὴ δ' ἐπὶ κόλπον ἐμὸν στρεφθεῖσα θαάσσοι.
ὡς φίλῳ ὥς τε κασιγνήτῳ, τόσον ἥνδανον αἰεί, 14
ὡς δὲ κατηφιόων, ἐδάμην φρενὶ πένθος ἀέξων.
οἱ δ' ἐμέθεν κατέναντα γεγηθότες ἠγερέθοντο· 15
μάστιγες ξυνάγερθεν, ἐγὼ δ' οὐ πάμπαν ἀνέγνων·
σπλάγχνα βίῃ ῥήγνυντο, καὶ οὐκ ἐνόησαν ἀνίην·
καί μ' ἐπέμυξαν ἄδην, λώβην δ' ἀπεπειρήσαντο 16
ἀντιβίην κρυεροῖσιν ὀδὰξ ἐν χείλεσι φύντες.
εἰπέ, μάκαρ, πότε δή μευ ἴδοις δυσάλυκτον ἀνάγκην; 17
ψυχὴν ἡμετέρην κακοεργέος ἔξελε φύτλης,
αὐτὰρ μουνογένειαν ἐμὴν ῥύσαιο λεόντων.
ἠγαθέῃ βασιλῆα παρὰ κλισίῃ κελαδήσω, 18
πὰρ λαῷ μεγαλοσθενέτῃ τεὸν ὕμνον ἀείσω.
μὴ δή μοι κεχάροιντ' ἀθεμίστια δυσμενέοντες, 19
οἵ με μάτην στυγέουσιν, ἀτὰρ νεύουσιν ὀπωπαῖς,
οἵ ῥά μοι εἰρήνῃ προσεοικότα μυθίζοντο, 20
πικρὰ δέ μοι φρονέουσι δολοφροσύνῃ κοτέοντες·
θυμοδακὲς κατέναντα διὰ στόμα μηκύνοντες 21
φάντο κακῶν χαίροντες ἐμῶν θηήτορες εἶναι.

---

**26** *νηστείας L.* — **27** *ἐπίκολπον ODMS.* — *θαάσσοι* $L^2$; *θαᾶ- O*; *θοά- Ω.* — **29** *ἀέξω O.* — **31** *μάστιξ* $DL^1M$, cr. $L^2$; *-τιγξ S.* — **32** *οὐκ ἐνόησα DLS*; *οὐκ' ἐνόησ' O*; *οὐ μένορισα M.* — **33** *ἐπέδειξαν S* ac. — *λώβην* $OL^2$; *λώβῃ (-η) Ω.* — *ἀπεπειρήσαντο O*; *ἀποπ- Ω.* — **34** Hom. *α* 381 *ὀδὰξ ἐν χείλεσι φύντες.* — **35** *εἶπε DMS.* — *πότε μή* $L^2$ ir. — *ἴδοις* $L^2Ω$; *ἴδης O*; om. $DL^1MS$. — *δυσάλυκτον* $L^1Ω$; *-λεκτον* $OL^2$; *-ληκτον R.* — **37** *μονvογένειαν M.* — *ῥῦσαιο* (ο pc.) *O*; *ῥύσεο L.* — **38** *ἀγαθέῃ* (*ἀ* rubr.) *O.* — **39** om. *M.* — **40** *δή Ω*; *δέ OP.* — *κεχάριντες* (*-ροιν-* cr.) *S.* — *δυσμενέοντος O.* — **41** *νεύσουσιν* $L^1$, cr. $L^2$. — *ὀπωπῆς* $L^1S$. — **43** *κοτέοντε M.* — **44** om. *R.* — *κατένᾰτι* (υ superscr.) *O*; *-ναντι P.* — *στόμα]το* del. *S.* — *μηκύνοντο OP.* — **45** *θηήτορ' O*; *-τορ S*; *-τορα DM.*

*εἰ θηήσαο τοῦτο, μάκαρ, μὴ δή με παρέλθοις,* 22
*μή μευ ἀποσταίης, πανεπίσκοπε δῶτορ ἐάων.*
*μηδὲ δίκην ἄγνωστον ἐμὴν παρελεύσεαι ὅσσοις·* 23
*σῇσιν ὑπ' εὐδικίῃσιν, ἄναξ, μ', ἄχραντε, δικάζοις.*
*σῇ μ' ἐλεημοσύνῃ κρίνοις, πανεπίσκοπε ποιμήν·* 24
*μηδ' ἐπιγηθήσειαν ἀνάρσιοι ἀνέρες ἡμῖν,*
*μηδὲ γέλως φρενὸς ἄλγος ἐμῆς ποτε διπλόον εἴη,* 25
*μηδ' ἐλεημοσύναις με καταβρώξειαν ἑῇσιν.*
*αἶσχος ἕλοι σύμπαντας ἐμῇ κεχαρηότας ἄτῃ,* 26
*ὅσσοι δὲ φρονέουσιν ὑπέρβια, μῶμον ἕλοιντο.*
*χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·* 27
*πάντοτε μελπόντων μεγαλαυχέα δῶρα θεοῖο*
*εἰρήνην θεράποντος ἑοῦ ποθέοντες ἰδέσθαι.*
*γλῶσσα δικαιοσύνην ἐμέθεν σέο πυκνὰ λιγαίνοι,* 28
*σεῖο πολυκλήεντα πανημαδὸν αἶνον ἀείσοι.*

## λε΄ (35)

*Ἄφθιτον ἀθανάτου θεράπων Δαυῖδος ἀμύμων* 1
*τοῦτο τριηκοστὸν μελέων καὶ πέμπτον ἔμελψεν.*

*Ἔννεπεν ὃν κατὰ θυμὸν ἀτασθάλλων ἀθέμιστος,* 2

---

**46** *εἰ* $L^2Ω$; *ἢ* *O* rubr. — *δή* *Ω*; *δέ* *ODMS*. — *μοι* *O*. — *παρέλθῃς* *DMPRS*. — **47** *ἀποστάλῃς* *M*. — *ἐάων* *P*; *ἑ-* *Ω*. — post hunc serius inser. *ἔγρεο παμβασιλεῦ καὶ ἐμὴν κρίσιν εὖγε φυλάσσοις* *P*. — **48** *παρελεύσεαι* $L^2Ω$; *πανελεύσῃς* $L^1S$. — **49** *ὑπευδικίῃσιν* *S*. — **52** *γέλως* (*ἐμὸς* del.) *φρ.* *S*. — *διπλόων* *S*; *-όος* *DM*. — *εἴη* scripsi; *εἶεν* *Ω*; *εἴεν* *S*; *ἦεν* *DM*; *εἶναι* *O*. — **53** *μὴ δ' ἐλεημοσύνῃς* *L*; *μὴ δέ κ' ἐλεημοσύνῃς* *O*; *μὴ δὲ κηλεκμοσύνῃς* *S*; *μὴ* (lac.) *μοσύνῃς* *D*; *μὴ δέ κε μνημοσύνῃς* *M*; *μὴ δέ κε δειρῇσιν* (gl. *λαιμοῖς* ss.) *P*; *μηδέ κε λαυκανίαις* *Rv*. — *καταβρώξειαν* *Ω* (v. Lobeck[5] 488); *-ειεν* *P*. — **54** *κεχαριότας* *S*; *-ιώτας* *L*. — **56** *ἀμφιπολεύσοι* *M*. — **58** *ποθέοντος* *S* ac. — **59** *γλῶσσαν* *S*, ac. *L*. — *δικαιοσύνη* $L^1$, cr. $L^2$. — *λιγαίνει* *DLMS*. — **60** *ἀείσοι* $L^2Ω$; *-σω* *OP*($L^1$?).

*T* 35, **1** et **2** om. it., add. im. *S* rubr. — *ἀθάνατον* *DMPR*. — *θεράπον* *D* ac. — **2** *ἔμελψε* *ODM*. — *Ψ* 35, **1** *ἀτασθάλλων* *Ov**, pc. *P*; *-θάλων* *DLMRSa**, ac. *P*; *-θαλίας* *v*.

οὐ φορέων βασιλῆος ἐπ' ὄμμασι δεῖμα θεοῖο,
οὐλομένην δολεροῖσιν ἐπ' ἄλγεσι γλῶσσαν ἀέξων, 3
αἰεὶ δυσφροσύνην στυγερὴν διζήμενος εὑρεῖν.
ἀμπλακίῃ σφέτεροι δολερῇ μεμελήατο μῦθοι, 4
οὔ ποτε παντοίην ὁσίην ὁδὸν ἀμφαγαπάζειν.
ἀλλὰ καὶ ἐν λεχέεσσιν ἀτασθαλίῃσιν ἀλείτης 5
οὐδ' ἀγαθὸν ῥέξαι βουλεύσατο οὐδὲ νοῆσαι
οὐδέ τ' ἀπεχθαίρει κακίης πολυπήμονος ἄλγος.
ἄφθιτε τιμήεις, ἔλεος τεὸν οὐρανὸς ἴσχει, 6
σεῖο δ' ἀληθείη καὶ ἐν νεφέλῃσι χορεύει,
σεῖο δικαιοσύνη πανομοίιος οὔρεσι θείοις· 7
ἴσας εὐδικίας φορέοις βυθίῃσιν ἀβύσσοις,
τετραπόδων ἀγέλας μερόπων θ' ἅμα φῦλα σαώσοις.
ὧδε τεὴν ἐλεητύν, ἄναξ, πλήθουσαν ἀέξεις· 8
σῶν πτερύγων μερόπεσσιν ἀεὶ σκέπας ἔσσεται ἐλπίς.
πιαλέοις ἀγαθοῖσι τεῶν βρίθουσι μελάθρων, 9
καί σφεας εὐφροσύνης ἀγανὸς χειμάρροος ἄρδοι,
οὕνεκεν εὔζωος παρὰ σοί, μάκαρ, ἔπλετο πηγή· 10
ἐν δὲ τεῷ θεοτερπὲς ἰδοίμεθα φέγγεϊ φέγγος.
σὴν ἐλεημοσύνην, βασιλεῦ, ποθέουσι τανύσσαις 11
καί σεθεν ἰθυνόοισι δικαιοσύνην ἀναφαίνοις.

---

2 φοβέων *DM*; φρονέων *O*. — 3 οὐλομένην $L^2\Omega$; -νων $L^1$. — δολεροὶ *M*. — ἐπάλγεσιν *S*; ἐπ' ἄλγεα *O*. — 6 ἀμφαγαπάζει *P*. — 7 ἀλείτης *Rv*; -εῖται *OΩ*. — 8 ἀγαθῷ *L*. — ῥέξας *M*. — βουλεύσαιτο *OP*. — 9 ἀπεχθήρει *L*; -θίρει *S*. — πολυπήμονον *O*. — 10 ἔλεόν *O*; -ον *DMS*. — τὸν *DS*; τοῦ *M*. — ἔχει *M*. — 11 ἐν *Ω*; ἐνὶ Scheindler[1] 905. — νεφέλης *S*. — χορεύσει *M*. — 12 om. it., add. im. *M*. — 13 ὅσσας (ὅ rubr.) *O*. — εὐδικίας $L^2\Omega$; εὐδοκίας $DL^1$, cum ἴσως *M* im.; -κίαι *M*. — φορέοις *ODLMS*; -έεις *Ω*. — βυθίῃσιν scripsi (coll. 148, 15); -ίοισιν *Ω*. — 14 σαώσοις $L^2\Omega$; -σεις *OM*; -σης $DL^1$; σαάσης *S*. — 18 ἀγαθὸς *O*. — χειμάρρος *S*; -άρρους $L^1$. cr. $L^2$; χείμαρος *O*. — ἄρδει *O*; -δω *DS*. — 20 τεῷ om. *M*. — 21 σὺν ἐλεημοσύνη $L^1$, cr. $L^2$. — τανύσσαις *DP*, pc. *O*; -ύσαις *M*, ac. *O*; -ύσσοις *Ω*. — 22 ἀνεφαίνεις (ἀνα pc.) *O*.

*μή μοι ἐλεγχῆεν καὶ ὑπέρβιον ἴχνος ἐπέλθοι* 12
*μηδέ θ' ἁμαρτινόοιο, μάκαρ, παλάμη με δονοίη.*
*κεῖσ' ἔπεσον σύμπαντες ἀτασθαλίης θεράποντες,* 13
*οὐδέ τ' ἀναστήσονται ἀκηδέες, ἔνθεν ἔλασθεν.*

## λϛʹ (36)

*Ἀμφ' ἕκτῳ χαρίεντι τριηκοστὸν λίγα μέλπων* 1
*ἔβραχε Δαυῖδος ἡδὺ μέλος κιθάρῃ.*

*Μή ποτέ μοι φθονέσειας ἰδὼν κακοεργέα φῶτα*
*μηδ' ἐπιθαμβήσειας ἐπ' ἐργατίναις κακότητος·*
*οἶδε γὰρ οἷά τε χόρτος ἄφαρ κατατερσαίνονται* 2
*πίπτοντες χλοεροῖσι θοῶς λαχάνοισιν ὁμοῖοι.*
*ἐλπωρὴν ἀνάτειλε θεῷ καὶ μείλιχα ῥέζε,* 3
*καὶ χθόνα ναιετάοις, νεμέθοι δέ σε πλοῦτος ἀπείρων·*
*χαίρων ἀθανάτῳ καταθύμια πάντα κομίζοις.* 4
*ἀμφαδίην βασιλῆι τεὰς ἀνάφαινε κελεύθους·* 5
*ἔλπεο μηδ' ἀπόληγ', ὁ δέ τοι σύμπαντα τελέσσει·*
*καί σεθεν ἐξοίσειε δικαιοσύνην ἅτε φέγγος,* 6
*εὐδικίην δὲ τεὴν πανομοίιον ἤματι μέσσῳ.*
*λίσσεό μοι κρατερὸν μειλισσόμενος βασιλῆα·* 7
*μή ποτε ῥηίστης βιοτῆς ζῆλός σε χαλέψῃ*
*ἀνδρὸς δυσφροσύνῃ μεμελημένου αἰὲν ἀθέσμου.*

---

**23** *ἐπέλθοι* $L^2Ω$; *ὑπ-* $DL^1MS$. — **24** *τ' ἁμαρτινόοιο* *L*; *τ' ἁμ-* *S*. — *παλάμῃ* *R*. — **25** *κεὶς* *S*. — *ἔπεσαν* *O*. — *ἅπαντες* $L^1$, cr. $L^2$. — **26** *οὐδ' ἔτ'* *LS*. — *ἔλασ]θεν* pc. $L^2$; *-αθεν* *M*.
*Υ* 36, **1** *ὀλίγα* *DMPR*. — *μέλπει* *O*; *-πον* *S* ac. — **2** *ἔβρεχε* *L*. — *Ψ* 36, **1** *μοι* om. *DMS*. — **2** *ἐπιθυμήσειας* *O*; *-θαμβήσϊας* *M*. — **3** *οἶδε θὰρ οἷα οι χ.* *S*. — *τε* ir. $L^2$; om. *ODM*. — *κατερσαίνονται* $DL^1$ (*τα* ss. $L^2$), ac. *M*. — **4** *ῥίπτοντες* (*ῥ* rubr.) *O* ac. — **5** *ἄντειλε* *O*; *ἀνέτεινε* *DLMS*. — *ῥέξε* *S* (ac. *L*?). — **6** *ναιετάοισι* *M*; *-άεις* *OPR*. — *νεμέθει* *OPR*. — *ἀπείρων* *OΩ*; *-ρου* *PRv*. — **7** *χαῖρ'* *O*. — *κομίζοις* *Ov*; *-ζεις* *Ω*. — **8** *ἀμφαδίη* $L^1$, cr. $L^2$. — *τεᾶς* *PRS*; *τε ἑὰς* *O*. — **9** *δέ τοις* *S*. — **11** *νήματι* *S*. — **12** *ἑίσσεό* (*ἑ* rubr.) *O*. — *μειλισσόμενον* *S* ac. — **14** *δυσφροσύνη* *Ω*; *-νης* *O*. — *μεμελημένον* *M*.

δεινὸν φεῦγε κότον καὶ ἀμειδέα κάλλιπε θυμόν· 8
μή ποτέ μοι φθονέσειας ἀλιτροσύνης ἀλεγεινῆς·
οἱ γὰρ ἀλιτραίνοντες ἀποφθινύθοιντο κακοῖσιν, 9
οἱ δὲ θεὸν μίμνοντες ὅλην κτησαίατο γαῖαν.
ἀλλ' ἔτι βαιόν, ἄφαρ παρελεύσεται ἐλπὶς ἀλιτροῦ, 10
καί οἱ ἀνιχνεύσειας ἕδος, τὸ δ' ἄφαντον ἐτύχθη·
ἄνδρες δ' ἠπιόθυμοι ὅλην κτησαίατο γαῖαν 11
εἰρήνης ἀγαθοῖσιν ἀγαλλόμενοι πυκινοῖσιν.
εὐδικίης θεράποντα φυλάξεται αἰὲν ἀλιτρὸς 12
καί οἱ λυσσητῆρας ἐπιβρύξειεν ὀδόντας·
αὐτὰρ ὅ μιν λεύσσων πανυπέρτατος ἡδὺ γελάσσει 13
γινώσκων, ὅ οἱ ἦμαρ ὀλέθριον εἶσιν ἑτοῖμον.
φάσγανον ἄμφηκες κακοεργέες ἐσπάσσαντο, 14
νευρὴν ἐξετάνυσσαν ἀμαιμακέτῳ περὶ τόξῳ
πτωχὸν ἑλεῖν σπεύδοντες ἀποφθῖσαί τε πένητα,
ἰθυνόους ξιφέεσσι κατασφάξαι μεμαῶτες.
ἀλλά σφεων ξίφος ὀξὺ διὰ στέρνοιο περήσοι, 15
καὶ τόξα στονόεντα, μάκαρ, διὰ λεπτὰ κεάσσοις.
φέρτερόν ἐστ' ὀλίγιστον ἀγακλήεντι δικαίῳ, 16
ἀμπλακίης ἢ πλοῦτον ἀπειρέσιον ξυναγείρειν.
λεπταλέοι τρίβοιντο βραχίονες ἀφρονεόντων· 17
ἀθάνατος κλυτὸν ἴχνος ὑποστήσειε δικαίων.

---

18 κτησαίαντο *S*. — 19 ir. *O*. — 19—22 serius inser. *P* ir. — 20 ἀνιχνεύσει *O*. — 21 δ' om. *P*. — κτησαίατο ir. *O*. — 22 εἰρήνη]ς pc. *L*². — 23 θεράποντας *O*. — 24 ἐπιβρύξειαν *DM*. — 25 λεύσω *S*; om. *O*. — πανυπέρτατε *O*. — ἥδει λάσσει *M* (cr. cum γρʹ im.). — γελάσσει ir. *R*; -άσεισ (ex -άσειν cr.) *O*; -άσει *L*. — 26 ὅ οἱ *Ω*; ὅτι οἱ *O*. — 29 σπεύδοντας *O*. — ἀποφθῖσαι τε *DLM*; -ίσετ(ε)αι *O*; -ίσεταί (-ῖσεταί pc.) *S*; -ίσαιτε *PRbc*; -ίσαι τὲ *a*. — 31 περήσει *OP*. — 32 τόξα τε τὰ στ. Hilberg 95. — στονόεντα *PΩ*; γρʹ τονό (gl. μακρὰ ss.) *P*. — 33 φέρτερόν (-ον) *L*¹*PΩ*; βέλτερον *OL*², cum γρʹ *P*. — ὀλίγον ἀγακλήεντος *O*. — 34 ἢ *L* ac.; ἡ *S*. — 36 ὑποστείσειε *L*. — δικαίους *O*.

αὐτὸς ἄναξ ἄχραντος ὁδοὺς δεδάηκεν ἀμώμων· 18
αἶσ' ἀγαθῶν καὶ κλῆρος ἀεὶ σταθερώτατος ἔσται·
οὔ κεν ἐπαισχύνοιντο δυσηχέα καιρὸν ἀνάγκης, 19
λιμῷ δ' ἐν κρυόεντι κόρῳ βρίθοιεν ἁπάντων.
ἀμπλακίης θεράποντες ἅδην ἀπολοίατο πάντῃ· 20
ἀντιβίων δ' ὅτε κῦδος ὑπερτέλλοι βασιλῆος,
καπνῷ ἀποφθινύθοντι ὁμῶς πανομοίιοι ἔσκον.
χρῃσάμενος κακοεργὸς ἀνὴρ οὐκ οἶδ' ἀποδοῦναι, 21
οἰκτείρει δὲ δίκαιος ἀεὶ καὶ πᾶσιν ὀπάζει.
οἵ μιν ἐπαινήσοντες ὅλην κτησαίατο γαῖαν, 22
οἱ δὲ κακαῖς βάλλοντες ἀραῖς ἀπολοίατο πάντῃ.
νεύμασι θεσπεσίοις ἰθύνεται ἴχνια φωτός, 23
καὶ σφετέρων θεὸς αἰὲν ἐφιμείροιτο κελεύθων·
οὐδ' ὀλοοῖς θραύοιτο πεσὼν περὶ ῥήγμασι γαίης, 24
οὕνεκά οἱ παλάμην βασιλεὺς ἐπίκουρος ἐρείδει.
πρόσθε νέος γενόμην, νῦν αὖτέ με γῆρας ἱκάνει 25
οὐδ' ἐπιδευόμενον θεοτερπέα πάμπαν ἀνέγνων
οὐδέ οἱ ἐλδομένην γενεὴν ζωαρκέος ἄρτου.
οἰκτείρειν δεδάηκε πανημέριός τε δανείζειν, 26
καί οἱ καλλιπέτηλος ἐπ' εὐλογίῃ σπόρος ἔσται.

---

37 δεδάηκας *O*. — ἀμύμων *gm*. — 38 αἶσ' Ω, pc. $L^2$; αἷς *S*; αἶς *DM*; οἶσ *O*. — σταθερώτατος *DLMS*; -τερος (ex -τερον cr. *O*) Ω. — 39 ὃν κεν *M*. — 40 ἐν κρυόεντι *M*Ω (cf. 102, 17); ὀκρυ- *M* im. — 41 πάντῃ *P*; -τη Ω; πάν *S*. — 42 ὅτε $L^1$Ω; ὅτϊ $L^2$. — ὑπερτέλλοιτο *O*. — 43 an -θοντες? — ὅμως $L^1 v^*$. — πανόμοιοι *L*; -ομοιοί *S*. — ἔσκον (ε- *S*) Ω; 'forte ἔστων pro ἔστωσαν, ut 47, 21' $m^*$. — 44 χρῃσάμενος *ab*; χρη- Ω. — 45 ἀεὶ om. $DL^1MS$, ss. $L^2$. — ὀπάζει $L^2$Ω; -ζοι $ODL^1M$. — 46 οἵμην *S*; οἵ- $L^1$, cr. $L^2$. — κτησαίαντο *S*. — 47 κακῇς (-ῆς) et ἀρῇς (-ῆς) Ω. — πάντῃ *PR*; -τη $L^2$Ω; -τες $L^1$. — 48 θεσπεσίης *S* ac. — 50 ὀλοοῖς *PRv*; -οῆς *O*Ω. — περῆγμασι sic *S*; περίγ- (?) *L* ac. — 51 παλάμην om. *S*. — ἐπίκουρον *P*. — 52 αὖτέ (-τε) με $L^2$Ω; αὖτε *O*; ἅτε με $L^1$; ἀτεμέ *S*. — Hom. λ 196 χαλεπὸν δ' ἐπὶ γῆρας ἱκάνει. — 54 ἐλδομένων *M*. — 56 πόρος *L* ac.

*φεῦγε κακορραφίην, ἀγαθῶν δ' ἐμπάζεο ἔργων,* 27
*καὶ χθόνα ναιετάοις. ὅτ' ἄναξ θέμιν ἀμφαγαπάζει,* 28
*οὐδὲ σφωιτέρους ὑπερόψεται ἀθλητῆρας·*
*ἀθανάτου φρουροῖντο διηνεκέεσσιν ἀρωγαῖς,*
*αὐτὰρ ἀθεσμοσύνῃ μεμελημένοι ἐξελάοιντο*
*φῦλά τε δυσσεβέων ἀπολοίατο νηλεοθύμων.*
*εὐδικίης θεράποντες ὅλην κτησαίατο γαῖαν* 29
*καί μιν ναιετάοιεν ἀτερμάντοισι χρόνοισι.*
*θείην εὐσεβέος σοφίην στόμα πάντοτε μέλψει,* 30
*γλώσσῃ δ' εὐδικίην βασιλήιον ἐξαγορεύσει·*
*θεσπεσίου φορέει κραδίην ἐγκύμονα θεσμοῦ,* 31
*οὐδέ οἱ ἴχνια πάγχυ παραβλάπτοιτο πεσόντι.*
*εὐδικίης θεράποντα λίην ποτιδέρκετ' ἀλείτης* 32
*καί μιν ὑπερμενέως ἐπιμαίεται ἐξεναρίξαι·*
*ἀλλ' οὔ οἱ παλάμῃσι θεὸς λείψει μιν ἐέλδωρ* 33
*οὐδὲ δικαζόμενον νίκης χατέοντα μεθήσει.*
*τέτλαθι παμβασιλῆα, φύλασσε δὲ τοῖο κελεύθους,* 34
*καί σε μεταχρόνιον κλήρου χθονίοιο τελέσσει·*
*φῦλα καταφθιμένων ἀλιτήμονα θηήσαιο.*
*εἶδον ἐφ' ὑψίστων ἀναειρόμενον κακοεργὸν* 35
*πολλὸν ὑπὲρ Λιβάνοιο θυώδεος ὑψόθι κέδρων,*
*δύσμορον ἀλλά μιν οὐκέτ' ἐπεφρασάμην παροδεύων,* 36

---

**58** *ναιετάοις Ω*; *-τάεις OPR*; *-τέοις M*. — *ἀμφαγαπάζει PRv*; *-ζοι ΟΩ*. — **59** *ὑπερόψεαι* $DL^1MS$, cr. $L^2$. — **61** *ἐξελάοιντο* $L^1Ω$ (cf. 5, 22. 108, 19); *ἐξαλ-* $OL^2$. — **64** *στόμα πάντ'* ante *ἀτ.* add. $L^1$, del. $L^2$. — **65** *στόμα* ir. $L^2$; om. *DMS*, add. im. *M*. — *πάντη O*, ir. $L^2$. — **66** *γλώσσῃ m*; *-η Ω*. — *ἐξαγορεύσοι O*. — **67** *θεσπέσιον M*; *-εσίην οὐ O*. — **68** *πάντη O*. — *παραβλάπτοι τῶ π. O*. — **70** *ἐξεναρίξαι DM*; *-ξας O*; *-ξειν LR*, ir. *P*; *-ξϊει S*; *-ζειν v*. — **71** *οὔ οἱ OLR*; *οὖοι S*; *ὅνοι DM*; *οὔχ οἱ Pv*. — **72** *δίκης χ. P*, pc. *R*. — **73** *ἔτλαθε S*. — *τοίον O*. — **74** *μετὰ χρόνιον O*; *μεταχθό- DM*. — *χθονίοι S* (ac. *L*?). — *τελέσσαι* ac. (*L*?) *S*. — **76** *ἀναειρομένων S* ac. — **77** *ὕπερ M*. — **78** *οὐκ ἐτέ πεφρασάμϊν S*.

*οὐδέ μοι αὐτό οἱ οὖδας ἐφαίνετο μαστεύοντι.*
*μειλιχίην φρούρησον, ἵν' εὐθέα πάντα νοήσῃς,* 37
*ὡς ἀγάθ' εἰρήνης ὑποφήτορι λείψανα μίμνει.*
*πανσυδίῃ δ' ἀθέμιστος ἀποφθείροιτο γενέθλη·* 38
*δυσσεβέων φθινύθοιεν ἀδευκέι λείψαν' ὀλέθρῳ.*
*ἀλκῆεν δ' ὁσίοισι φάος βασιλῆος ἐτύχθη,* 39
*καί σφισι τειρομένοις ταχὺς ἵξεται ἀσπιδιώτης*
*ἀθανάτην ἐπίκουρον ἀεί σφισι χεῖρα τιταίνων,* 40
*δευομένους τ' ἀδίκοιο βίης ἀπολύσετ' ἀλιτρῶν,*
*ἐκ δὲ κακῶν σῴζοιντο μεμηλότες ἐλπίδι θείῃ.*

## λζ' (37)

*Μιμνήσκων παθέων βροτέων Δαυῖδος ἀμύμων,* 1
*ὧν πάθε καὶ παθέων παννπέρτατος ἔσκε πεπονθώς,*
*ἀμφὶ τριηκοστὸν μέλος ἕβδομον ἴαχε μέλπων.*

*Μή με τεὸς βαρύμηνις, ἀκήρατε, θυμὸς ἐλέγξῃ* 2
*μηδέ με παιδεύσειε τεὴ πολυώδυνος ὀργή,*
*οὕνεκ' ἐμοῖς μελέεσσι τεοὶ κατέπηχθεν ὀιστοὶ* 3
*καί σευ ὅπως δηίην μοι ἐπεστηρίξαο χεῖρα.*
*τίς κ' ἐμὸν ἐξακέσαιτο δέμας σέο μηνίσαντος;* 4

---

79 *οὐδὲ οἱ DM.* — *αὐτῷ* (-*ῶ*) *μοι DMS.* — *φαίνετο R*; *μετεφαί- OP.* — *μαστεύοντα* $L^1S$, cr. $L^2$. — 80 *νοήσας S.* — 81 *ἀγαθ' DMPRS.* — 82 *πανσυδίῃ Pc*; -*δίη Ω*; *πασσυδίη L.* — *ϑ* ante *δ'* add. *S.* — *γενέθλην DMS.* — 83 *ἀδευκέ*]*ϊ* pc. $L^2$. — *ὀλέθρου DMPRS.* — 84 *ἀλκῆ ἐν MS*; -*ὴ ἐν R*; -*ὴ τοῖς* $L^2$ ir.; -*ὴ O.* — *φάος* $L^2Ω$; *φόως* $DL^1MPS$. — 87 *δευομένης* $O(L^1?)$; -*νις* $L^2$. — 88 *ἐλπίδα* $DL^1MS$, cr. $L^2$. — *θείῃ* (-*η*) $L^2Ω$; -*ην* $L^1$; -*ης DM.*

*Υ* 37, 1 *ἀμύμων Ω*; *ἄνακτα O.* — 2 *γρ' παννπέρτατος P* im.; *πέρτατος* (om. *πανυ*) *O*; *ὑπέρτερος L*; *παννπέρτερος Ω*; -*ρον D*; *πὰν ὑπέρτερον M.* — *πέπονθε O.* — 3 *τριακοστὸν DLM.* — *Ψ* 37, 1 *ἀκήρατος O* ac. — *ἐλέγξει O.* — 2 *μὴ δὲ* (om. *με*) *O.* — 4 *δηΐην* $L^1Ω$; *δα-* $L^2$; *δι- S.* — *ἐπεστηρίξαο OPΩ* (Lch[1] 52 et Hilberg 18 coll. 65, 24. 101, 49. 103, 11); -*ξας g*; *ὑπεστήριξας P* ss.; *ἐπ- m.*

*ἢ πόθεν ὀστείοισιν ἐμοῖς ἀνάπαυμα φανείη*
*πάντοθεν ἀμπλακίῃσιν ἐλαυνομένῳ στυγερῇσι;*
*δυσφροσύναι καθύπερθεν ἐμεῦ βεβάασι καρήνου,* 5
*φόρτῳ ἐπαυχενίῳ καὶ ἐπαχθέι εἰσὶν ὁμοῖαι·*
*ἀφροσύνῃ μώλωπες ὀδωδότες ἀμφί μ᾽ ἔσηφθεν.* 6
*δείλαιος γενόμην, κατὰ δ᾽ αὐχένα πάντοτ᾽ ἐκάμφθην,* 7
*ἀσχάλλων κακότητι πανημαδὸν ἤνυον οἶμον,*
*οὕνεκά μευ κατέρυκεν ἀπείριτα παίγνια θυμόν·* 8
*οὔ μευ πανσωλὴν ὀδύνης δέμας οἶδεν ἑλέσθαι.*
*εἰμὶ λίην χθαμαλὸς βεβολημένος ἄλγεσι νούσου,* 9
*νωιτέρης κραδίης ὠρυόμενος στοναχῇσιν.*
*ἄφθιτε, ἀλλ᾽ ἐμὸν αὐτὸς ἐποπτεύσειας ἐέλδωρ,* 10
*οὐδέ σε νωιτέρη στοναχὴ λάθεν εἰδότα πάντα.*
*ὠρίνθην κραδίην, μελέων δ᾽ ἀπεχάζετο κῖκυς,* 11
*ὀφθαλμῶν δ᾽ ἐρατεινὸν ἐμῶν ἐξέφθιτο φέγγος.*
*ἄντα φίλοι πεφόρηντο, πόδας δ᾽ ἔστησαν ἑταῖροι,* 12
*οἱ δέ μευ ἄσσον ἰόντες ἀπόπροθι νοσφίζοντο.*
*ἆ με τόσον βιόωντο φίλον διζήμενοι ἦτορ·* 13
*ἆ πῶς μαψιδίως λάλεον κακὰ μαστεύοντες,*

---

6 *ἤ ποθεν M.* — 7 *ἐλαυνομένων P.* — *στυγεροῖσι O.* — 8 *ἐμῶν O.* — *καρήνου* $L^2$*Ω*; *-ῆ* (ν supra) $L^1$; *-ήνων O.* — 9 *φόρτα* $L^1$*MS*, cr. $L^2$. — *ἐπαυχένια D*$L^1$*MS*, cr. $L^2$. — 10 an *ἀμφ᾽ ἔμ᾽* ? — *μ᾽ ἔθεντο OP.* — 11 *πάντοτε κάμφη* (θ supra) *M.* — 14 *ὀδύναις M* ac. — 15 *βολημένος O* ac. — *νοῦσον M.* — 16 *ὠρυνόμενος O.* — 17 *ὕφθιτε* (*ὓ* rubr.) *O* ac.; ʽutrum scribendum sit *ἄφθιτος* an ex interpunctione veniam accipiat hiatus, non liquet' Volkmann 35 (v. Ritter 15. Scheindler[1] 907). — *αὐτὸν M.* — 18 *πάντη M*, pc. *D.* — 19 *ὠρίνθη κραδίη* Mommsen 263. — *κίκυς Ω*; *κικ]ύς* ir. $L^2$; *κικώ DS*; *-ῶ M.* — 20 *ὀφθαλμὸν M*, ac. *S* — *ἐρατεινῶν O*$L^1$, cr. $L^2$; *-τϊνὸν DS.* — *φέγγος Ω*; *φάος O.* — 21 *πεφόρηντο* scripsi (coll. 17, 21); *ψόφρηντο DM*; *πεφόβηντο Ω.* — *δ᾽* om. *O.* — 22 *οὐ δή μευ O.* — *ἀπόπροθε O.* — 23 *οἵ με τόσσον O.* — 24 *ἆ Ω*; *ὦ O* rubr.

*θήγοντες δολεροῖσι πανημαδὸν αἴσχεσι γλώσσας;*
*αὐτὰρ ἐγὼ γενόμην ὡς οὐκ ἀίοντι ἐοικὼς* 14
*οἷά τε παντοίων ἐπέων ἀδάητος ἐών τις,*
*παντοίης ἀκοῆς ἀδαήμονι φωτὶ ἐοικώς,* 15
*ὅς τε διὰ γλώσσης προφέρειν οὐκ οἶδεν ἐλέγχους.*
*ἐλπὶς ἐμή, λίτομαι, σὺ δέ μευ καλέοντος ἀκούσαις·* 16
*εἶπα γάρ· „ἀντιβίοισιν ἐγὼ μὴ χάρμα γενοίμην·“* 17
*κινήσαντί μοι ἴχνος ἐπέχραον ὑβριστῆρες,*
*ἡμέτερον κρυερῆσι δέμας μάστιξιν ἑτοῖμον,* 18
*οὐδέ μευ ὀφθαλμῶν ἀπολείψεται αἰὲν ἀνίη.*
*δυσνομίην ἐρέων οὐ λήσομαι ἀμπλακιάων.* 19
*δυσμενέες θαλέθοντες ἐμεῦ κρατερώτεροί εἰσι* 20
*καί με περιπλήθουσιν ἀπεχθαίροντες ἀθέσμως·*
*οἵ τ' ἐμοὶ ἀντ' ἀγαθῶν κακοεργέα μισθὸν ἔδωκαν* 21
*καί με δίκης συνέριθον ἐπεσβολίῃσιν ἔβαλλον,*
*τηλύγετόν μ' ἀπέριψαν ἐλεγχέι νεκρῷ ὁμοῖον.*
*μή μευ ἀποσταίης, πανεπίσκοπε, μηδὲ μεθείης.* 22
*πέμπέ μοι, ἄφθιτε, πέμπε τεὴν ἐπίκουρον ὀπωπήν.* 23

---

**25** *λέγοντες* (*λ* rubr.) *O* (*βάζοντες* im.). — *αἴσχεα O*; *αἴχεσι L*. — *γλῶσσας D*; *-αν L*; *γλώσσαις O*. — **26** Hom. *Ψ* 430 *ὡς οὐκ ἀίοντι ἐοικώς*. — *ὡὸν καΐωτϊ M* (cr. cum *ἴσως* im.). — **28** om. $DL^1MS$, add. $L^2$ im. — **29** *τε Ω*; *τις DM*. — *προφέρην S* (ac. *L* ?). — *οὐκ οἶδεν Ω*, *-δε* ss. *P*; *οὐκ ἐπίστατ' O*; *οὐ πίστατ' P*; *οὔ 'πίστατ'* (ex *οὔ πω δ' ἐπ'* cr.) *R*. — *ἐλέγχους* $L^2$*Ω*; *-χης* $L^1S$. — **30** *ἐμοὶ O*. — *λίττομαι ODLS*; *λήττωμαι* (cr. cum *ἴσως* im.) *M*. — *καλέοντα M*; *-τες S*. — **32** *ὑορισ-τῆρες S*; *ὀαρηστ- DM*. — **33** *κρυερῆσι DLMS*, pc. *O*; *-ροῖσι Ω*, ac. *O*. — *ἑτοῖμοιν S*; *-μοι DM*. — **34** *ἀπολείψετ' O*. — **36** *θαλέθονται O*. — *ἐμοῦ P*. — **37** *ἐπεχθαίροντες v*. — *ἀθέσμων M*. — **38** *ἔδωκεν S*, ac. *M*. — **39** *ἔβαλλον* ir. *P*. — **40** add. *ODLMS* et (praemissis verbis *μετὰ τοῦτον τὸν στίχον γράφεται καὶ ἄλλος*, quibus *a* add. *ἐν ἑνὶ τῶν ἀντιγράφων, ὅδε*) *v**; om. *PRv*. — *νεκρὸν O*. — **41** *ἀποστάλης M*.

## λη' (38)

*Δαυίδου κλυτὸς ὕμνος, ὅτ' Ἰδιθοῦμος ἄειδεν* 1
*ἀμφὶ τριηκοστῷ ὄγδοον ἡδὺ μέλος.*

Ἡμετέρην ἀπάνευθε κακῶν ὁδὸν εἶπα φυλάξαι, 2
γλῶσσαν ἀτασθαλίη μευ ἐπὴν πολύμυθον ὀρίνη.
ἡμετέροις φυλακὴν εὐερκέα χείλεσι θῆκα,
θωρηχθεὶς ὅτε δή μοι ἀτάσθαλος ἀντιφερίζοι.
κωφὸς ὅπως χθαμαλός τ' ἀγαθοῖς σίγησα μεμηλώς, 3
εὐνασθὲν δέ μοι ἄλγος ἀνέγρετο δεύτερον αὖτις.
ἔνδοθι θυμὸς ἐμὸς φλογερῷ θερμαίνετο πυρσῷ; 4
ἐν δ' ἄρ' ἐμῇ μελέτῃ καυθήσεται ἀκάματον πῦρ.
εἶπα· „μάκαρ, βιότοιο φίλην φράσον ἄμμι τελευτήν, 5
ἔννεπέ μοι, ζωῆς ὁπόσον θέσπισσας ἀριθμόν,
ὄφρα διαγνοίην, τί νύ μοι περιλείπεται ἄλλο."
ἤματα δή μοι πάντα παλαίτατα θήκαο, ποιμήν, 6
καὶ μάλα ῥίζαν ἐμῆς βιοτῆς ἀχρήιον ἔγνως·
πάντων μαψιδίως μερόπων ζώουσι γενέθλαι.
ἔμπά γε μὴν ἄνθρωπος ὁμῶς δαιδάλματι βαίνει, 7
μαψιδίως κατὰ θυμὸν ὀρινόμενος πεφόρηται·
ἀγνώσσει, τίνι πάγχυ πολὺν βίοτον ξυναγείρει.
ἦ ῥ' οὐκ ἐλπὶς ἐμὴ βασιλεὺς καὶ πύργος ἐτύχθη; 8
πὰρ δ' αὐτῷ βιότοιο λάχον φυσίζοον ἕρμα.

---

*Υ* 38, **1** *ὅτ' ἰδιθοὺμ O*; *ὅτι διθοῦμος M.* — *ἄειδεν* $L^1$, *σεν* ss. $L^2$. — **2** *τριακοστῷ S*; *τριηκοστὸν Ω.* — *Ψ* 38, **1** *ὁδῶν S* ac. — *φυλάξαι OΩ*, pc. *S*; *-ξω v*, ac. *S.* — **2** *πολύμυθος* $DML^1S$, cr. $L^2$. — **3** *ἡμετέρης S* ac. — **4** *ἀντιφερίζοι OΩ*; *-ζει P*; *-ζῃ Rv.* — **5** *χθαμαλὸς* (om. *τ'*) *DMS.* — **6** *ἄλγος* om. *R.* — **7** *θερμαίνοντα πυρσῶν O.* — **8** *ἆρ S*; *ἄρα O.* — *ἐμὴ μελέτη MR.* — **9** *εἰπὲ O.* — *φρά]σον* pc. $L^2$; *φρά* sic *S.* — **10** *ὁπόσων O* ac. — *θέσπισας Ω* (*ισας* ir. $L^2$); *θεσπίσας OMS.* — *ἀριθμὼν M*; *-μοὺς O* ac. — **11** *μοι* om. *S.* — **15** *βαίν]ει* pc. $L^2$. — **17** *βιότον* $L^1$, cr. $L^2$. — **18** *ἄρ'* (*α* rubr.) *O.* — *ἐμοὶ O.* — *βασι]λεὺς* pc. $L^2$; *-λεῦ O*; *βασί* (*λ~* superscr.) *S.* — *ἐτύχθης O.* — **19** *αὐτῷ* (*-ῶ*) *ODLMPR*; *αὐτὸ S*; *αὐτοῦ v.* — *λάχουσι M.* — *φυσίζωον λάχον* $L^2$. — *φυσίζοον PRb*; *-ζωον* $L^1O$ *ac Ω.*

πασάων, βασιλεῦ, μ' ἀπολύσεαι ἀμπλακιάων. 9
ἀνδράσι μ' ἀφραίνουσιν ἐλεγχέα μῶμον ἔδωκας·
ἔτλην κωφός, ἄναυδος, ἐπεὶ σύ με τοῖον ἔτευξας. 10
σεῖο, μάκαρ, μάστιγας ἐμεῦ ἄπο πάμπαν ἐλάσσαις· 11
σεῖο γὰρ εὐσθενέος παλάμης ὕπο θυμὸν ἀχεύω.
ἄνδρ' ὑπὲρ ἀμπλακίης ὀλοῆς παίδευσας ἐλέγχων 12
καί οἱ θυμὸν ἔτηξας ἀμήχανον ἶσον ἀράχνῃ·
ζωὴ μαψιδίη μεροπηίδος ἐστὶ γενέθλης.
εὐχωλῆς ἐπάκουσον ἐμῆς, ἐπικέκλυθι δ' ἀρῆς 13
μηδέ με δακρυχέοντα, μάκαρ, σιγῇ παρελάσσῃς,
οὕνεκ' ἐγὼ ξεῖνος γαίης ἅμα καὶ μετανάστης
καὶ τοκέεσσιν ἐμοῖσιν ὁμῶς μεταδήμιος αὔτως.
ἄμπαυσον καμάτων μ', ἵνα μευ φίλον ἦτορ ἀγείρω, 14
πρίν με μολεῖν, ὅθεν οὔ τοι ἐμοὶ παλινάγρετον ἐλθεῖν.

## λθʹ (39)

*Εἴνατον ἐσθλὸν ἄεισμα τριηκοστῇ περὶ μολπῇ* 1
*φθέγξατο Δαυῖδος τερπόμενος κιθάρῃ.*

Τετληὼς ὀπτῆρα θεὸν καὶ ἀρωγὸν ἐδέγμην, 2
ἡμετέρην δ' ὑπέδεκτο πολύλλιτον οὔασιν εὐχήν·

---

**20** πασάων] γὰρ add. $OL^2PR$. — βασιλεὺς *S*. — μ' om. $DL^1$(add. $L^2$)*MS*. — **21** ἔδωκας *Ocm*Ω*; -κεν *abm*. — **22** ἔπλην $DL^1$(cr. $L^2$)*MS*; πλὴν (π rubr.) *O*. — τεὸν ἔ. *O*. — **23** ἀπὸ *ODMm*. — **24** ὕπο *LSm*; ὑπο *D*; ὑπὸ *Ω*. — **25** ἄνδρες *ODMS*; ἂν $L^1$ (cr. $L^2$ im.). — παίδευσαν *O*. — ἐλέγχων *MΩ*; -χω *DLS*; hoc verbo incipit seq. vs. *DM*. — **26** ἀράχνην *S*; ἀνάχνα *M*. — **29** παρελάσης *O*, ir. $L^2$, im. *D*; -ελάσσϊ *M*; -έλθῃς *D* it. — **30** οὕνεκ' *Ω*; οὕνεκα *O*; εἵνεκ' *LMSv*; εἵ- *D*: v. Naeke$^2$ 59. Schneider$^1$ 187. — καὶ τανάστης *S*. — **31** αὔτως *O*. — **32** καμάτων (-τω *M*) μ' (om. *O*) ἵνα μευ *ODLMS*; -των με ὅπως *PRv*. — **33** οὔ τοι ἐμοὶ scripsi; οὔ τι μοι $L^2$; αὔ τοι *O*; οὔ τι $DL^1MS$; οὐκ ἔνι δ' αὖ *P*; οὐκέτι δὴ *Rv*.

*Υ* 39, 2 ἐφθέγξατο *O*. — τερπόμενος] περὶ add. *S*, ac. *L*. — *Ψ* 39, 1 τετληὼς *Ω* (cf. 68, 13); -ληκὼς *L*. — ἐπῆρα *O*.

σπάσσατο δ’ ἐκ βόθρου καὶ τέλματος ἰλυόεντος, 3
αὐτὰρ ἐμὰς πέτρῃ σταθερῇ στηρίξατο πέζας
ἴχνος ἐν ἀτραπιτοῖσιν ἑαῖς ἐμὸν ἡγεμονεύων.
χείλεσι δ’ ἡμετέροισι νέην ὑπεθήκατο μολπήν, 4
νωιτέρῳ κλυτὸν ὕμνον ἐρισθενέτῃ βασιλῆι·
δειδιότες δέρκοιντ’ ἔλποιντό τε ποιμένα πολλοί.
ὄλβιος, ᾧ τε θεοῦ ὄνομα κλυτὸν ἐλπὶς ἐτύχθη 5
λύσσης ψευδαλέης καὶ μαψιδίης δίχα βουλῆς.
πολλά τοι ἐκτετέλεσται, ἄναξ, περιθαμβέα ἔργα, 6
οὐδέ σεθεν βουλῆσιν ἔφυ πανομοίιος ἄλλος·
ἀγγέλλων κατέλεξα, τά περ πλέον ἦεν ἀριθμοῦ.
δῶρ’ ὑπὲρ ἀμπλακίης θυσίην τ’ ἠρνήσαο πᾶσαν, 7
αὐτὰρ ἐμοὶ βροτέης τεκτήναο σάρκα γενέθλης·
οὐ πυρὶ καρφομένην προσεδέξαο πάγχυ θυηλήν.
τοὔνεκα δεῦρ’ ἱκόμην τελέσαι, πάτερ, ὅττι κελεύεις· 8
ἀμφ’ ἐμέθεν γέγραπται ὑπὲρ βίβλοιο καρήνου.
σὸν τελέσαι μενέηνα, μάκαρ, πραπίδεσσιν ἐέλδωρ 9
καί σευ μεσσατίῳ ἐθέμην ἐν στήθεϊ θεσμόν.
εὐδικίην κλισίῃ πολυηχέι πέφραδον ἀνδρῶν, 10
οὐδέ ποτ’ ἀγγελίης ἐμὰ χείλεα πάμπαν ἐρύξω.

---

**3** σπάσατο Ω. — ἰλυόεντος *PRv*; ὑλήεν- *O*Ω. — **4** αὐτὰρ $L^1$Ω; εὖ (ε῀ rubr.) τὰσ *O*; αὐτὸς $L^2$ ss. — **5** ἐν ἀτραπιτοῖσιν ἑαῖς (ἑὴν *O*) *Sv** (Ritter 8); ἐν ἀτραπητοῖσιν (-πιτῆσιν *L*, -πῆσιν *M*) ἑαῖς *DLM*; ἑαῖς (-σιν *c*) ἐν ἀταρπιτοῖς (ἀταρπη- *PR*, ἀτραπι- *c*) *PRv*. — ἐμὸν ἡγ. χ. δ’ ἡμ. om. *O*. — **6** χείλεσι δ’ *DLMS*; -σιν Ω. — ἡμετέροισι νέην scripsi; -ροισιν (-ρησιν *S* ac.) ἑὴν Ω. — **8** ἔλποιντο (om. τε) *O*. — **10** λ. διψαλέης *O*. — μαψιδίως *O* ac. *R*. — **11** ἄναξ om. *O*. — **13** κατὰ λέξαν *M*. — πλέον’ ? — ἦεν *DLMS*; εἶεν Ω. — ἀριθμοῦ *v**Ω; -μῶ *O*; -μῶν *v*. — **14** ἀμπλακίην *O*. — τ’] δ’ Ω. — ἠρνήσατο *gm*. — **15** ἐμῆς *S* ac. — βροτέης om. *S*. — **17** οὔνεκα (ο rubr.) *O*. — ὅτι *OS*; ὅ, τι *L*. — κελεύοις *O*. — **18** βιβλίοιο $OL^2$: cf. Ritter 23. — **19** μεναίηνα *R*; μενέην *M*. — **20** μεσατίω(ν del.) *S*; μεσσατοῖο *O*. — στήθεσσι *O*; -θεσι *DL*; -θεσιν *S*; στίθεσι *M*. — **21** εὐδοκίην *M*. — ἀνδρῶν $OL^2P$; ἄνδρες $L^1$Ω. — **22** ἀμὰ *M* (cr. cum ἴσως im.).

αὐτὸς ἐμὴν πραπίδεσσι δικαιοσύνην δεδάηκας· 11
οὔ σευ ἀληθείην σκοτίῃ φρενὶ θῆκα καλύψας,
ἀμφαδίην δ' ἀγόρευσα ἀλεξίκακόν σεο φέγγος,
φῆνα τεὸν κλισίαις ἔλεον καὶ ἀληθέα βουλήν·
τοὔνεκα μηδὲ σὺ νόσφιν ἀρηγόνα χεῖρα πεδήσῃς. 12
θάλπε τεῷ μ' ἐλέῳ καὶ ἀληθέι πάντοτε βουλῇ,
οὕνεκά μ' ἄλγος ἔχει περιώσιον ἔνθα καὶ ἔνθα. 13
ἔφθασαν ἀμπλακίαι με, φάος δέ μευ ἔκρυφεν ὄσσων
καί μευ πλειότεραι κεφαλῆς ἐγένοντο κομάων,
ἐκ δ' ὀλιγηπελίης μελέων ἐξέπτατο θυμός.
ἀλλ' ἐπιδευομένῳ μοι ἑκὼν ἐπιτάρροθος ἔλθοις, 14
νωιτέρην ὄσσοισι διοπτεύσειας ἀρωγήν.
αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι· 15
στρεφθείη μωμητός, ὅ μοι κακὰ βυσσοδομεύει·
αὐτίχ' ἕλοι τοῦσδ' αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ. 16
χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι· 17
πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,
ὀσσάτιοι ποθέουσιν ἀλεξίκακόν σεο φέγγος.
ἀμφ' ἐμεῦ ὁρμαίνοις πτωχοῦ, μάκαρ, ἠδὲ πενιχροῦ, 18
μή ποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.

---

23 om. *O*. — 24 οὔ (οὐ) $L^2\Omega$; ὄν *S*; ὅν $L^1$. — σκοτίης $DL^1MS$. — 26 φῆνα Ω; φῆ $D(L^1?)MS$; φήνας $L^2$. — τεὸν $L^1\Omega$; τε *O*; τὲ $L^2$. — κλισίῃς $L^2P$; -ης $L^1\Omega$. — 27 ὕνεκα *O*; item 29. — πεδήσῃς (-ης) *DLPR*; -ήσσοις *O*; -ήσεις *MSv*. — 28 θάλπε τεῷ (τῶ *S*) Ω, im. $L^2$; θαλπέσθω $L^1$. — 29 ἔχει] καὶ add. *O*. — 30 με om. *O*. — φάως *LS*, ac. *R*. — ἔκρυψας ὀμμάτων *O*. — 31 καί μευ Ω, cum γρ´ *M* im.; ἔφθαν *M* it. — κεφαλ]ὴ *O* ir. — 32 ὀλιγηπελέης $DL^1$(cr. $L^2$)*M*; ὀλ- *S*. — 33 ἐπιδευομένων *O*. — ἐπιτάρροθον *M*. — 34 ὄσσοισι (ὅ- *L*) διοπτεύσειας (-σϊας *S*) *v**Ω; -σιν ἐποπτεύσειας *OPRv*. — 35 ἕλοι ὅσοι Ω (cf. 70, 27. Ritter 13); ἕλοινθ' ὅσον *DM*. — 36 Hom. ϑ 273 κακὰ φρεσὶ βυσσοδομεύων. ι 316 κακὰ βυσσοδομεύων. — βυσσοδομεύει *PRv*; -μεύοι *O*Ω (κυδομεύοι *M* ac.). — 37 ἕλη *O*. — τούσδ' s. τοὺς δ' Ω; τοὺς *O*. — ἐμὴν *S* ac. — κεχαρϊώτους *S*. — ἄντην (?) $L^1$, cr. $L^2$; αὕτην *S*. — 38 ὁσίων *O*. — 41 ἠδὲ $L^2P$; ἠὲ *O*Ω; om. $DL^1MS$.

## μ′ (40)

*Κῶμον τεσσαρακοστὸν ἄναξ Δαυῖδος ἔμελψεν.* 1

*Ὄλβιος, ὃς πτωχοῦ περικήδεται ἠδὲ πενιχροῦ·* 2
*οὔ μιν ἀναγκαίῳ ὑπερόψεται ἤματι ποιμήν.*
*φρουρὸν ἔχοι βασιλῆα βίου θ᾽ ἅμα κηδεμονῆα* 3
*καὶ θεόθεν μακαριστὸς ὅλην ἀνὰ γαῖαν ἀκούσοι·*
*οὐδέ μιν ἀντιβίῃσιν ἕλωρ παλάμῃσι λίποιτο,*
*ἀλλὰ καὶ ἐν κακότητος ἄναξ λεχέεσσιν ἀρήγοι·* 4
*δέμνιά οἱ μετέθηκεν, ἔλυσε δὲ κήδεα νούσου.*
*αὐτός, ἄναξ, ἐβόησα τεὴν ἐλεητὺν ἀρωγόν,* 5
*ὄφρά μευ ἐξακέσαιο κακῶν ἀλιτήμονα θυμόν.*
*κήδεά μοι φράσσαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες* 6
*εὐχόμενοι, πότε μευ βιότου μνημήιον ἔρροι.*
*νίσσετο μαψιδίως ὀρόων ματίην τ᾽ ἀγορεύων,* 7
*ἀμπλακίην ξυνάγειρεν ἐμῷ ζηλήμονι θυμῷ,*
*ἐκτὸς ἰὼν ἀγόρευεν ἐμοὶ ξύμπαντας ἀγείρων.*
*πάντες ἐπιτρύζεσκον ἀπεχθέες ἀμφ᾽ ἐμοὶ ἄνδρες,* 8
*ἀμφὶ δέ μοι φράζοντο κακῶν βαρυπήμονα φόρτον*
*μῦθον δυσνομίῃ πεπυκασμένον ἐντύνοντες·* 9
*„μὴ κατακοιμηθεὶς τις ἀεὶ κατὰ νήγρετον εὕδοι;“*
*εἰρήνης βροτὸς οὗτος· ἐμεῖο γὰρ ἐλπὶς ἐτύχθη·* 10
*ὃν τρέφον, ἐχθρὸν ἔχον· πτέρνης δέ με μείονα θῆκεν.*

---

Υ 40 ἔμελψε *ODM*; om. *S*. — Ψ 40, 1 περικήδ]εται ir. $L^2$; -δῖος *S*. — 2 οὔ $L^2Ω$; ὃν $L^1$. — ἀναγκαίων *M*. — 3 ἔχει *DLMS*. — 4 μακαριστὸν *O* ac. — ἀκοῦσαι *M*. — 5 ἀντιβίοισιν *PRv*: cf. 63, 2. — λίποιτο *DLMSv**; μεθείη *OPRv*. — 10 φράσσοντο *M*. — 11 τότε *O*. — βιότοιο *O* (ac. *L* ?). — ἔρροι ex ἄνδρα cr. *S*. — 12 νίσετο *DMS*; νείσετο pc. *MP*; νίσαιτο *L*; λίσετο *R*. — ματίη τ᾽ *O*; -τίῃ τ᾽ *P*; -τιήτην $DL^1MS$, cr. $L^2$. — 14 ντὸς ἰ. *O*. — ξύμπαντες *S* (ac. *L* ?). — ἀγήρων *S*. — 15 ἐπιτρίζεσκον *LPR*; ἀπετρύ- *O*; an ἐπετρύ- ? — 16 κακῶ *S*. — 17 δυσνομίῃ (-η) *Ω*; -νομίην *S* ac.; -μενίῃ *DM*. — πεπυκασμένων *M*. — ἐντείνοντες *O*; ἐντύναντες *L*. — 18 κατακοιμηθείη *O*. — ἀεὶ] δὲ add. *O*. — εὕδοι *LPR*; ἄδει *O*. — 19 ἐμεῖο *DLMS*; ἐμοῖο *Ω*.

*ἀνστήσας μ' ἐλέησον, ἵνα σφίσιν ἄξια δοίην.* 11
*σῆς ἀγανοφροσύνης ἔνθεν, μάκαρ, ἴδρις ἐτύχθην·* 12
*ἐφρασάμην, ὅ μοι οὔ τι μάτην κεχαρήσεται ἐχθρός,*
*οὕνεκ' ἐνηείης μευ, ἄναξ, ἐπίκουρος ἀνέστης* 13
*καί με διηνεκέως σεῦ ἐνωπαδὸν ἐρρίζωσας.*
*αἰνετὸς αἰὲν ἔφυ θεὸς ἄφθιτος Ἰσραήλου·* 14
*αἰώνων αἰῶνας ἀεὶ πανυπέρτατος εἴη.*

## μα′ (41)

**Εἰς πινυτήν ποτε παισὶν ὑπερθύμοιο Κοραίου** 1
**κῶμος τεσσαρακοστὸς ἔην καὶ πρῶτος ἀοιδῆς.**

*Ἠύτε πηγαίων ὑδάτων κεμὰς ἱμείρουσα,* 2
*ὧδ' ἐμὸς ἱμείρει σεῦ, ἄναξ πανυπέρτατε, θυμός.*
*ζωὸν ἐμὸν δίψησε καταβρῶξαι θεὸν ἦτορ·* 3
*τίς χρόνος, εὖτ' ἀναφανδὰ θεὸν βροτὸς ὄψομαι ὄσσοις;*
*ἦμαθ' ὁμοῦ καὶ νύκτας ἔχον γόον οἷά περ ἄρτον,* 4
*πάντοτε βαζόντων· „πῆ δὴ θεὸς ἔπλετο σεῖο;“*
*τῶνδε παρεμνήσθην, πρόχεον δ' ἐμὸν ἀμφ' ἐμὲ θυμόν,* 5
*οὕνεκα θηητὸν κλισίης διελεύσομαι οὖδας*
*ἔνθεν ἕως βασιλῆος ἐπουρανίοιο μελάθρων*
*αἴνου τερπωλῆς τε μετὰ κλυτὸν ἦχον ἑορτῆς.*

---

**21** *ναστήσας O.* — **22** *ἔνθα D* ac. — *ἴδρις* ir. $L^2$; *-οις S.* — **23** *ὅ* $L^1Ω$; *ὅτι* $OL^2PR$. — *μ' PR.* — *οὐτι L*; *οὔ τοι O.* — *ἐχθρ]ός* pc. $L^2$; *ὁ ἐχθρός O*; *ἐχρός S.* — **24** *οὕνεκ'* (*οὔ-* ac.) *ἐνηείης* $L^2$ im.; *ὕνεκ' ἐνείης O*; *οὕνεκεν εἴης* $L^1$; *οὕνεκ' ἐνήείσ S*; *οὕνεκεν ακακίης D*; *οὕνεκεν* (*οὔ- M*) *ἀκ- Ω.* — *μεῦ P*; *με O.* — *ἀνάστης* $L^1$, cr. $L^2$ — **25** *δικαίως σ. O.* — **26** = 71, 40. — **27** subsequitur Ψ 41, 1 expunctus *S**.

Υ 41, **1** *ὑπερθύμϊο O.* — **2** *ἔην O*; *ἔνη DMS*; *ἔνι Ω.* — Ψ 41, **1** *ὑτε O*; *υτε S*S.* — *πηγέων LS*S.* — **2** *δ'* pro *ὧδ' O.* — *ἱμείρει* usque ad *θυμός* om. $L^1$, add. $L^2$ im. — **3** *δίψησα O.* — *καὶ βρῶξαι* $L^1$, *καταβρ-* cr. $L^2$. — **4** *ἀναφανδὸν DLMS.* — *βροτὸν P.* — **5** *ἔχων* $OL^1S$; *-ω* $L^2$. — **6** *πῆ δὲ S.* — **7** *τῶν δὲ O.* — **9** *ἔνθε M.* — *ἐπούρανίοιο O*; *οὐρανίοιο DM.* — **10** *αἴνου* scripsi; *ἴνου* (*α* om. rubr.) *O*; *αἶνου* (*υ* ir.) *P*; *αἴμου DMS*; *αἴ-* $L^1$, *αἴνου* $L^2$; *αἶνου Rv.*

θυμέ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις; 6
ἐλπίς τοι θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανεπίσκοπον ἄλκαρ ὀπωπῆς.
αὐτόματος δεδόνητο μετὰ φρεσὶ θυμὸς ἐμῇσι· 7
τοὔνεκ', ἄναξ, καλέω σε Ἰορδανίης ἀπὸ γαίης
ἔκ θ' Ἑρμωνιίμου· τὸ δέ τοι ὄρος ἔπλετο τυτθόν.
ὀρφναίη τις ἄβυσσος ἀνηΰτεσκεν ἄβυσσον 8
ῥηγνυμένων ξυνιοῦσα τεῶν ὑδάτων ἐπιωγῇ·
κύματά σευ μετ' ἔμ' ἦλθε, βάρυνε δὲ μέρμερα πάντα.
ἦματ' ἄναξ ἔλεον κέλεται, καὶ νυκτὶ φαείνει 9
εὐχωλὴ παρ' ἐμεῖο θεῷ βασιλῆι βιώνης.
εἶπα θεῷ· „τί μευ ὧδε λελασμένος αἰὲν ἐτύχθης; 10
τίπτε κατηφιόων παρανίσσομαι ἔνθα καὶ ἔνθα
ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ;“
δυσμενέες νείκεσσαν, ὅτ' ὀστέα πάμπαν ἔαχθεν· 11
πάντοτέ μοι βάζουσι· „θεός νυ ποῦ ἔπλετο σεῖο;“
θυμέ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις; 12
ἐλπίς τοι θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·
αὐτὸς ἐμῆς τελέθει πανυπέρτατον ἄλκαρ ὀπωπῆς.

---

**11—13** = 27 sqq. 42, 12 sqq. — *δηθύνης* $L^1$, cr. $L^2$. — *ἔνδοθεν O.* — *ὀρίνης* $DL^1MS$, cr. $L^2$. — **13** *ἐμῆς* $L^1Ω$; *ἐμεῦ* $L^2$ ss.; *ἐμοῖ O*; *ἐμοῖο P*; *ἐμοὶ DM.* — *πανεπίσκοπον Ω*: v. 29. 42, 14. — **14** *δεδίνητο* (add. *καὶ*, del.) *O*, cum *γρ´* (sine *καὶ*) *P* ss. — **15** *ὕνεκ' O.* — **16** *τ' ἑρμωνιΐμου* $DL^1M$, cr. $L^2$; *τερμω- S*; *θ' Ἑρμο- bm.* — *δέ τι DLMS.* — **17** *ἀΰτεσκεν DM.* — **18** *ῥηγνιμένων D*; *ῥηγμέ- LS.* — **19** *κύματευ* (im. *ἴσως· κύματα σεῦ*) *M.* — **20** *κέλετι* $L^1S$, cr. $L^2$. — *φαείνοι O*; *-νϊ S.* — **21** *εὐχωλῇ DM*, ac. *LS.* — *ἐμοῖο O.* — **23** sq. = 42, 4 sq. — *κατηφιόωντο S.* — **24** *δυσμενέοντος O.* — *με* om. *OM.* — **25** *πάμπαν ODLMS*; *πάντα Ω*: cf. Volkmann 35. Ritter 15. — **26** *νύ που ODLMPRS.* — **27** sqq. = 11 sqq. — *δηθύνης S.* — *ἔνδοθεν* $O^1$, cr. $O^3$. — *ὀρίνεις* ir. $L^2$. — **28** om. $L^1$, add. im. $L^2$. — *τι θ.* $L^2$. — *αἶνον Ω*; *νόον αἶνον DMS.* — **29** *τελέθει v*, pc. $L^2S$; *-θεις* $ODL^1MPR$; *-θης S* ac. — *πανυπέρτατον*] v. 13. 42, 14.

## μβʹ (42)

*Μείλιχον ἀμφ' ἱερῷ καὶ ἐνηέι τεσσαρακοστᾷ* 1
*Δαυΐδος πινυτὸς δεύτερον εἶπε μέλος.*

*Κρῖνον, ἄναξ, ὅσα δή μ' ἄδικον λωβήσατο φῦλον·*
*ἀνέρος ἐκ δολεροῖο καὶ ἐξ ἀδίκου με σαώσοις.*
*κάρτος ἐμόν, τί με σεῖο τόσον μεθέηκας ἄνευθε;* 2
*τίπτε κατηφιόων μετανίσσομαι ἔνθα καὶ ἔνθα*
*ἀνδρὸς δυσμενέος με καταθλίβοντος ἀνίῃ;*
*φέγγος ἀληθείην τε σέθεν περιλαμπέα πέμποις,* 3
*οἷσι φαεινόμενος τεὸν εἰς ὄρος ἵξομαι ἁγνὸν*
*καί σεο κυδίστοισιν ὁμέστιός εἰμι μελάθροις.*
*βωμὸν ἀγακλήεντα θεοῦ μετελεύσομαι ἤδη,* 4
*ὅς μευ ἐυφρήνειε χάριν νεοθηλέος ἥβης.*
*εὐκελάδῳ φόρμιγγι, μάκαρ, τεὸν αἶνον ἀείσω.*
*θυμέ, τί δηθύνεις; τί δέ μοι νόον ἔνδον ὀρίνεις;* 5
*ἐλπίς τοι θεὸς ἔστω, ἐγὼ δέ οἱ αἶνον ἀείσω·*
*αὐτὸς ἐμῆς τελέθει πανεπίσκοπον ἄλκαρ ὀπωπῆς.*

## μγʹ (43)

*Εἰς πινυτὴν τεκέεσσιν ὑπερθύμοιο Κοραίου* 1
*κῶμος ὅδε τρίτατος καὶ τεσσαρακοστὸς ἐτύχθη.*

*Οὔασιν ἡμετέροις ἠκούσαμεν, ἄφθιτε ποιμήν,* 2

---

Υ 42, 1 *καὶ ἐνηέϊ OL*[2]; *καὶ ἐνήει S*; *καὶ ἐν DM*; *τόδε καὶ ἐν PRv*; *καὶ δευτέρῳ L*[1]. — 2 *εἶπε ODLMS*; *ᾖσε PRv*. — Ψ 42, 2 *σαώσοις DLMS*; *-σεις OΩ*; *-σαις m**. — 3 *τί με Ω*; *τὶ μὴ M*. — *τόσον σεῖο O*. — *τόσον* om. *DLMS*. — *μεθέηκας OPRv*; *ἔθηκας L*; *με ἔθηκας DMS*. — *ἄνευθεν ODLMS*. — 4 sq. = 41, 23 sq. — 5 *καὶ* ante *καταθλ*. add. *O*. — 6 *γγος O*. — 8 *ὁμέριος M* ac. — *ὁμέστιος εἶμι* ('ibo i. e. efficiar') *m**. — 9 *θεὸν μεταλεύσ. M*. — 10 *με O*; *μ S*. — *ἐΰφρήνειε* Volkmann 36, Ritter 16, Scheindler[1] 905; *εὐφρ- Ω*; *εὐσφρ- S*. — 11 *εὐκελάδων DMS*. — *τεὸν μάκαρ O*. — 12 sqq. = 41, 11 sqq. — 13 *οἱ Ω*; *τοι O*.

Υ 43, 1 *πινυτὸν O*. — *ὑπερθύμη* (ss. *μους*) *O*; *-θῦμιο S* — *κοραίον M*. — 2 *ὧδε L*. — *τρίτατα M*.

*ἄμμι φίλοι τὸ πρόσθεν ἀφηγήσαντο τοκῆες*
*ἔργον, ὅ περ τέκτηνας ἐν ἀρχαίῃσι γενέθλαις.*
*χείρ σεθεν ὤλεσε φῦλα καὶ ἐρρίζωσε γονῆας·* 3
*λαοὺς δ' ἐξαλάπαξας, ἑῆς δ' ἐξήλασας αἴης·*
*οὐδὲ γὰρ ἐκλήρωθεν ἑῷ πάρος ἄορι γαῖαν,* 4
*οὐδὲ μενεπτόλεμος δηίων ἐσάωσε βραχίων,*
*ἀλλὰ τεῇ παλάμῃ καὶ σῆς μέγα φέγγος ὀπωπῆς,*
*οὕνεκα σῷ θυμῷ πεπιθὼν σφεας ἤθελες ἴσχειν.*
*αὐτὸς ἄναξ ἐμός ἐσσι, θεὸς δέ μευ αἰὲν ἐτύχθης,* 5
*ὅς τις 'Ιακώβῳ ζωῆς ἐπετείλαο φέγγος.*
*σοὶ πίσυνοι κεράεσσι βίην ἐναρίξομεν ἐχθρῶν,* 6
*οὔνομα σὸν καλέοντες ἐπεγρομένους γελάσαιμεν·*
*οὐ γὰρ ἐφ' ἡμετέρῳ μεγαλίζομαι ἐλπίδι τόξῳ* 7
*οὐδὲ κακῶν τανύηκες ἄορ μ' ἀπάνευθε σαώσοι,*
*αὐτός, ἄναξ, ξυνέεργες, ἀφ' ὧν ἀπελύσαο, ποιμήν,* 8
*μωμητοὺς δ' ἀνέφηνας ἀπεχθέας ἀνέρας ἡμῖν.*
*ἠμάτιον κλέος ἄμμι παρ' ἀθανάτῳ βασιλῆι,* 9
*καί σεο νωλεμέως ἀναμέλψομεν οὔνομα θεῖον.*

---

Ψ 43, **2** *φίλοιτο πρόσθεν M.* — *τοπρ. DPRv*, pc. *L.* — **5** *δ'* post *λαοὺς* $OL^2PR$; om. $L^1Ω$. — *δεξήλασας S*; *δ' ἐξέλασας PR*; *-ήλαξας M*; *δ'* om. *m.* — **7** *μενὸπτόλ. S.* — **9** *πεπιθὼν* $OL^2$; *-ῶν* $L^1S$; *-ὼς Ω.* — *ἤθελ]ες* pc. $L^2$; *ἤθελ' OS.* — **10** *ἐστι* (-ὶ) *DM*; *ἐπὶ* $L^1$ (*ἐσσὶ* ss. $L^2$); *ἐπι S.* — **11** *ἰακώβω* $L^1$, *-βου* $L^2$. — **12** *κεράεσιν S.* — *ἐναρίξομεν* $OL^2$; *ἐναρίζο-* $L^1Ω$; *ἐνἀρίζο- S*; *ἐναρίζω- M.* — **13** *οὔνομα* $L^2Ω$; *οὕνεκα* $L^1$; *οὔ- DS.* — *σῶν S* ac. — *καλέοντες* $L^2Ω$; *-οντ'* $L^1$; *-οντος S.* — *ἐπ' ἐγρομένοις O.* — *γελάσαιμεν Ω*; *-μϊ O*; *-με S*; *γελᾶσαι* $L^1$, *με* add. $L^2$. — **14** *ἡμετέρων S.* — Hom. ψ 174 *οὔτ' ἄρ τι μεγαλίζομαι.* — **15** Hom. Ξ 385 *δεινὸν ἄορ τανύηκες.* — *ἀπάνευθεν* (om. *σαώσοι*) $L^1S$. — *σαώσει* $OL^2P$. — **16** *αὐτὸς Ω*; *καὶ γὰρ P* ir. — *ξυνέεργες, ἀφ' ὧν* scripsi; *ξυνέεργ', αὐτῶν L* (*', αὐ* ir. $L^2$); *-εργον αὐτῶν OM*; *-εργον* cum lac. *D*; *-εργον άτων S*; *τ'* (*τὲ P*) *ὠθούντων ἄμμ' PRv*; *τ' ἄμμ' ὠθούντων* Hilberg 12 — **17** et in fol. $226^r$ ex. et in fol. $226^v$ in. *M.* — *ἄνδρας S.* — **18** *παρ' Ω*, cum *γρ´* im. *M*; *πϋρ LS*; *πῦρ DM.* — **19** *θείων M.*

*νῦν δ᾽ αἶσχος κατέχευας ἀπωσάμενος τόσον ἡμέας* 10
*οὐδὲ κορυσσομένοις μετανίσσεαι ὡς πρὶν ἀρωγός·*
*στρεφθέντες κρυερῶν γεγενήμεθα μείονες ἐχθρῶν* 11
*ἐχθομένοις θ᾽ ἅρπαγμα παραὶ ποσίν εἰμεν ἑτοῖμον.*
*ἡμέας οἷά τε μῆλα μετ᾽ εἰλαπίνῃσιν ἔδωκας,* 12
*ἐκ δ᾽ ἐκέδασσας ἄνευθε πολυσπερέας κατὰ δήμους*
*ἀπρίατόν τ᾽ ἀνάποινον ἀπεκτεατίσσαο λαόν,* 13
*οὐδέ τις ἦεν ἀριθμὸς ἀμοιβαίης χάριν ὠνῆς.*
*γείτοσιν ἡμέας ὠμοτέροισιν ἔθηκας ὄνειδος,* 14
*ὕλην μυκτήρεσσιν ἰδὲ στόμασιν περιοίκων.*
*ἔθνεσιν ἄμμε λάλημα πολύθροον ἐξανέφηνας* 15
*καὶ λαοῖς ψογεροῖς κεφαλῆς κίνημα γελαστόν.*
*ὀφθαλμῶν μευ ἔναντα πανημαδὸν ἔσσυτ᾽ ἔρευθος* 16
*καί με λίην ἐκάλυψεν ἀμειδέος αἶσχος ὀπωπῆς*
*ὑβριστῆρος ὁμοῦ καὶ ἐλεγχέος ἀνέρος αὐδῇ,* 17
*ὄμμασι δυσμενέος καὶ ἐμῆς φύζης ἐλατῆρος.*
*ἀλλ᾽ οὐ τοσσατίων λαθόμεσθα σεῦ εἵνεκα, ποιμήν,* 18
*οὐδὲ τεῶν μήνυμα παρήλθομεν ἁρμονιάων*

---

**20** *δὲ* (om. *αἶσχος* usque ad *οὐδὲ* 21) *M.* — **21** *μετανίσεαι* *LS.* — **22** *στρεφθέντες* $L^2$*Ω*; *-τος* $DL^1MS$. — *μείον᾽* *S.* — **23** *ἐχθομένοις* $L^2$*Ω*; *-όμενοι* $DL^1M$; *-ομένοι*(*τ* del.) *S.* — *θ᾽* om. *O.* — *εἰμεν* *m*; *εἰμὲν* *Ω*; *εἶμεν* *OL.* — *ἑτοῖμον* *Ω*; *ἕτοι-* *O*; *ἑτοίμων* $L^1$, *ον* ss. $L^2$; *ἑ-* *DMS*; *ἑτοῖμοι* *P.* — **24** *οἷα τὲ* *O*; *οἳ ἅτε* *M*; *οἱ ἅτε* *S.* — **25** *δεκεάσσας* *O*; *δὲκέδασας* *S*; *δὲ κέ-* *L.* — *δήμους* pc. $L^2$. — **26** *τ᾽* *L*; om. *Ω*: cf. Rzach$^3$ 408. — *ἀπεκτεατίσσαο* scripsi (*-τίσαο* $L^2P$); *ἀποκτεατίσαο* (σ ss.) *O*; *ἀπεκτίσσαο* *DS*; *-κτίσαο* $L^1R$; *-κτίσαι* *M*; *ἄναξ, ἀπετίσαο* *v.* — **27** *εἶεν* *R.* — *αἰνῆς* *R.* — **28** et **29** spurios add. $L^2$ im.; *γείτοσιν ἄμμε* (*-αι* *R*) *ὄνειδος ἅπασι* (*ἅ-* *P*) *πέριξ τε* (*τε* om. *P*) *γέλωτα* substituunt *PRv* (cf. Volkmann 35); om. $ODL^1MS$. — **30** *ἄμμε* *ODLPS* (Ritter 19); *ἄμμι* *Ω.* — **31** *γελαστόν* $OL^2$ (*-στῶν* $L^1$?), cum *γρ′* ss. *P*; *γελαστῶνος* *DS*; *γϊλ-* *M*; *γελοῖον* *PΩ.* — **32** *ὀφθαλμὸν* $DL^1$(cr. $L^2$)*MS.* — *ἔναντι* *O.* — *ἔσσυτ᾽* *Ω*; *ἔσσετ᾽* *OPR.* — **34** *αὐδὴ* *R.* — **35** *δυσμενέως* *M.* — **36** *λαθόμεθά* (*-α*) *σευ* *ODPRS*; *-μεθα σοῦ* *M.* — *ἕνεκα* *O*; *εἵνεκε* *L*; *-κεν* *S.* — **37** *τεῶν* $L^2$*Ω*; *ἑῶν* *M*; *ἑ-* *DS*; *ἐὼν* $L^1$.

οὐδὲ σέθεν κραδίας ἐτρέψαμεν ἔκτοθι πάμπαν· 19
ἡμείων δ' ἀπάνευθε τεὰς ἔκλινας ἀταρπούς.
ἀδρανέας δαπέδοισι κακῶν τεκτήναο νούσων, 20
καὶ σκιερῇ θανάτοιο κατεκρύφθημεν ὀμίχλῃ.
εἴ ποτε νωιτέροιο λελάσμεθα πάγχυ θεοῖο, 21
εἰ θεῷ ἡμετέρας παλάμας ἐπετάσσαμεν ἄλλῳ,
ἦ ῥ' οὐκ ἄφθιτος αὐτὸς ἀνιχνεύσει τάδε πάντα; 22
αὐτὸς γὰρ βροτέης κραδίης κευθμῶνας ἀνέγνω.
σεῖο χάριν θανάτῳ δεδμήμεθα πάντοτε, ποιμήν, 23
κτεινομένοις γενόμεσθα βίην μήλοισιν ὁμοῖοι.
ἔγρεο, παμβασιλεῦ· τί νύ μοι τόσον ὕπνον ἀωτεῖς; 24
ἔγρεο, μηδέ σεθεν βλεφάρων ἀπονόσφιν ἐλάσσῃς.
τίπτε τεὴν ἔστρεψας ἀγακλήεσσαν ὀπωπὴν 25
μόχθων θ' ἡμετέρων πενίης τ' ἐπελήσαο πάμπαν;
ἡμέτερος κονίῃσι πανείκελος ἔφθιτο θυμός, 26
νηδὺς ἐλεγχήεσσα δύῃ περιπίλναται αἴῃ.
ἔγρεο, παμβασιλεῦ, ἐπαρηγόνα χεῖρα τιταίνων, 27
ῥύεο δ' ἀπρήκτοιο σέθεν χάριν ἡμέας ἄτης.

---

38 *κραδίας ΟΩ*; *-ης DM*; *-αν v.* — *ἐτρέψαμεν ΟΩ*; *ἐτρέψο- M*; *ἐστρέψα- Rv.* — *ἔκτοθεν O.* — **39** *ἀτραπούς O.* — **42** *λελάσμεέα S.* — **43** *ἐπετάσαμεν OL²R*; *πετά- DL¹MS* (*σσα* ss. *M*). — **44** *ἦρ' MP*; *ἆρ' Om.* — **45** *κευθμῶνος M.* — **46** *θανάτου O.* — **47** *γενόμεθα ODPRS*, ac. *M.* — **48** *ἄγρεο O*; item 49. 54. — Hom. *K* 159 *τί πάννυχον ὕπνον ἀωτεῖς*; — *ἀωτεῖς Ω*; *ἰαύεις L.* — **49** *ἄπο νόσφιν DLMPS*; *ἀπὸ ν- Ω.* — *ἐλάσσοις O.* — **51** *θ'* om. *DL¹*(add. *L²*)*MS.* — *πενίης τ' L²Ω* (om. *L¹*); *πενίς τ S*; *πενίης DM.* — *ἐπελήσαο ODm**; *ευπλῆσαο S*; *ἀπελήσαο Ω.* — **52** *θυμόσιν S.* — **53** *ἐλεγχήεσσαν DM*; *-εσαν S.* — *περιπίλναται*] v. Lobeck⁵ 489. — **55** *ῥύεο DLMPS*; *ῥύσεο Ω*: cf. 6, 8. Lobeck⁵ 488. — *ἀπρήκτοιο L¹Ω*; *-τους OP*; *-τους τὲ L².* — *θεοῖο γονὴν* inser. *DL¹MS* (del. *L²*). — *σέθεν Ω*; *σεόθεν DMP.* — post hunc vs. statim *Υ* 44, 1 add., quem suo loco om. *DL¹MS* (cr. *L²*).

## μδ΄ (44)

*Τηλυγέτοιο θεοῖο γονὴν μέλπουσιν ἀγητὴν* 1
*ἔργοις υἱέες αὖτις ἀμειβομένοισι Κοραίου.*
*οὗτος τεσσαρακοστὸς ὁμοῦ καὶ τέτρατος ὕμνος.*

*Ἐσθλὸν νωιτέρη κραδίη τεκνώσατο μῦθον,* 2
*ἔργ᾽ ἐμέθεν βασιλῆι περιφραδέως ἀγορεύσω*
*γλῶσσαν ἔχων καλάμῳ ὀξυγράφου ἀνδρὸς ὁμοίην.*
*κάλλεϊ δ᾽ ἀστράπτεις βροτέης περίαλλα γενέθλης,* 3
*ἐκκέχυται πινυτοῖσι χάρις περὶ χείλεσι σοῖσι·*
*τοὔνεκά σοι θεὸς αἶνον ἀγήραον αὐτὸς ἀνῆψεν.*
*ἄλκιμε, σὸν τανύηκες ἄορ περιβάλλεο μηρῷ* 4
*κάλλεϊ σῷ πίσυνος καὶ ἀγακλέι θάρσυνος ὥρῃ·*
*ἐντανύων δήθυνε καὶ ἀρχεύων βασίλευε* 5
*εἵνεκα μειλιχίης ὁσίης καὶ ἀληθέος ἔργου·*
*σοὶ σέο δεξιτερὴ περὶ θαύμασιν ἡγεμονεύσει.*
*ἀλκήεντες ἔασι τεθηγμένοι αἰὲν ὀιστοί·* 6
*λαοὶ πολλὸν ἔνερθε σέθεν πτήξουσι πεσόντες*
*δυσμενέων βασιλῆος ἐπὶ στέρνοισιν ἑτοῖμοι.*
*νωλεμέως, ἄφθαρτε, ἀμαιμάκετός σεο θῶκος,* 7
*ἰθυπόρον σκῆπτρον σκῆπτρον βασιληίδος αἴσης.*

---

*Υ* 44, 1 v. ad 43, 55. — *μέλπου σὴν ἀγετὴν M.* — **2** *ῤγοις O*; *ἔργ᾽ DL*$^1$(cr. *L*$^2$)*M*; *ἑ- S.* — *ὑέες DMS.* — *ἀμειβομένοις DL*$^1$*MS*, cr. *L*$^2$. — **3** *τέταρτος L*$^1$*M*, cr. *L*$^2$. — *Ψ* 44, **3** *ἔχων O*; *ἔχω Ω.* — *καλάμου O.* — **4** *κάλλεϊ PRv*; *-ει Ω.* — *δ᾽* om. *DM.* — *ἀστράπτεις L*$^2$*Ω*; *ἀπαστράπτω DL*$^1$*MS.* — *περίαλλα OLS* (Volkmann 34); *περὶ* (*-ι*) *ἄ- Ω.* — **5** *ἐκεύχυται S.* — *παρὰ O.* — **6** *οὕνεκά O*; *οὔ- L*$^1$, cr. *L*$^2$. — *ἀγήραος O.* — **7** *σὸν* om. *L*$^1$, ss. *L*$^2$. — *τανύηκεν M.* — *περιβάλλεο L*$^2$*Ω*; *-άλεο O*; *-άλλετο DL*$^1$*MS.* — **8** *πίσυνον O* ac. — *θάρσυνον M.* — **9** *αντανύων O*; *ἐντανύου M.* — *βασίλευεν L.* — **10** *εἵνεκα DM*; *εἱλϊεκα S.* — **11** *σοὶ* scripsi; *σοῖς P*; *σῆς O*; *σὴ Ω*; *σῇ L*; *σῆ S.* — **12** *ἀλκήεντος M.* — **13** *πολλὸν OL*; *-οὶ Ω*; *-ῶν DMS.* — **14** *δυσμενέων L*$^2$*Ω*; *-έος ML*$^1$*S* (ex *-έως* cr. *D*). — *ἑτοῖμος M*, ac. *D.* — **15** *νυνλεμέως S.* — *ἄφθαρτος* Ritter 20. — *ἀμάκετος L*$^1$*S*, cr. *L*$^2$. — *σεῖο S* (ac. *L* ?). — **16** *ἰθυπόρου MR.* — *σκῆπτρον καὶ* (*σκήπτρου R*) *σκῆπτρον O.* — *αἴσης L*$^2$*Ω*; *αἴης L*$^1$.

εὐδικίην φιλέεις, στυγέεις δ' ἀθεμίστιον ἔργον· 8
τοὔνεκά σοι θεὸς αὐτὸς ἑὴν περίχευεν ἀλοιφὴν
χρίσας τερπωλῆς μετόχους παρὰ πάντας ἐλαίῳ·
σμύρνά τε καὶ στακτὴ κασίη θ' ἅμα σῶν ἀπὸ πέπλων, 9
ἐκ νηῶν ἐλέφαντος, ὃ καί σεο θυμὸν ἰάνθης.
θυγατέρες σέο κῦδος ὑπερμενέων βασιλήων· 10
πέπλοις χρυσυφέεσσι πέλας βασίλεια παρέστη
εὖ ἀμπισχομένη πυκινοῖς δαιδάλμασι μορφήν.
κλῦθι, τέκος, λεύσσουσα, φίλον δέ μοι οὖας ἐρείδοις, 11
λαοῦ δ' ἐκλελάθοιο τεοῦ μεγάρων τε τοκῆος,
οὕνεκά σευ γεραρῆς βασιλεὺς ἠράσσατο μορφῆς 12
αὐτός, ὅ τις καὶ πρόσθε σέθεν κρατέεσκεν ἀνάσσων·
καί μιν γουνάσσαιντο Τύρου μειλίγμασι κοῦραι, 13
ἀφνειοὶ χθονὸς ὄμμα λιταῖς τεὸν ἱλάσσαιντο.
ἔνδοθεν εὖχος ἅπαν βασιληίδος ἔπλετο κούρης· 14
χρυσείοις ἀμπισχομένη θυσάνοισι κέκασται.
παρθενικαὶ βασιλῆι γέρας μετ' ἄνασσαν ἀγέσθων· 15
σοὶ γέρας ἰφθίμης βασιληίδος εἰσὶν ἑταῖραι·
χάρματος εὐφροσύνης τ' ἀγαθῆς ἐπὶ βάθρον ἀγέσθων 16

17 εὐδοκίην *M*. — ἔργον *O*$L^2$Ω; ὕβριν *D*$L^1$*MSv**. — 18 οὔνεκά *O*. — 19 τερπωλὴ *O* pc. — 20 τε om. *O*. — καὶ ante κασίη add. *O*. — πέπλα *M*. — 21 νηῶν Ω; κνημῶν *DM*. — 23 χρυσυφέεσσι Ω (χρισιφεέ- in χρυσιφαέ- cr. *M*); -σιφέεσσι *D* (ac. *L*?); -σεφέεσι *S*; χρησυφέεσσι *m*; -ρέεσσι *m**. — 25 τέκνον *O*. — ἐρείδος *S* ac. — 26 δή κε λάθοιο $L^1$, cr. $L^2$. — τε om. *O*. — 27 γεραρῆς βασιλεὺς *DLS* (-λεῦ *M*); βασιλεὺς γεραρῆς *O*Ω. — 28 ὅ τις *D*$L^1$, ac. *O*; ὅς (ὅς *M*) τις $L^2$*M*, pc. *O*; γὰρ Ω. — πρόσθεν σέθεν *O*; -θεν ἔθεν *M*; -θενέθεν *D* ac. — 29 γουνάσαιντο *ODLM*, ac. *S*; -νάσσαντο *v*. — μείλιγμα *O*. — 30 λιτῆς (-ῆς) Ω. — ἱλάσσαιντο *PR*; -άσαιντο *O*; -άσσονται Ω. — 32 χρυσέοις *O*. — ἀμπιχομένη *L*; ἄμπιχος μένη *S*. — 33 γέρας om. it., ss. *P*. — ἀγεύσθων *M*; ἀ- *D*; ἀγεύθων *S*. — 34 et 35 om. *M*. — σοὶ Ω; καὶ *O*. — ἑταῖροι *OR*, cum γρ΄ ss. *P*. — 35 ἀγαθοῖς *S* ac. — βάθρον Ω; -ων *D*$L^1$*S*; βόθρον *O*$L^2$. — ἀγέσθω *O*; ἀγεύσθων *D*$L^1$*S*, cr. $L^2$.

ὀρνύμεναι μετὰ νηὸν ἐρισθενέος βασιλῆος.
ἀντὶ τεῶν πατέρων υἱοί σεθεν ἡβώουσι· 17
τοῦσδε καταστήσειας ὅλης χθονὸς ἡγεμονῆας.
μνησαίμην μάλα σεῖο διηνεκέεσσι γενέθλαις, 18
εἰς γενεῶν γενεὰς σέθεν οὔνομα καλὸν ἀείσω.
τοὔνεκά σ᾽ ὑμνήσουσι, μάκαρ πανυπέρτατε, λαοὶ
ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ ἀλλήκτοισι γενέθλαις,
ἔνθεν ὁμοῦ καὶ ἔπειτα καὶ εἰς αἰῶνας ἰόντας.

## με′ (45)

*Κῶμος ὑπὲρ κρυφίων, ὧν εἰς φάος ἤγαγε φόρμιγξ* 1
*θεσπεσίη, πέμπτος καὶ τεσσαρακοστὸς ἐτύχθη.*

Ἀθάνατος θεὸς ἕρκος ἐμὸν καὶ κάρτος ἐτύχθη, 2
ἀμφιπολευούσῃσι βοηθόος ἡμέας ἄταις·
τοὔνεκεν οὐ πτήξαιμεν ὀρινομένης μάλα γαίης 3
οὐδὲ μετερχομένων ὀρέων ἐν στήθεσι πόντου.
ἠχήεις ῥοθίοισιν ἑοῖς ὀρυμαγδὸς ἀέρθη, 4
οὔρεα θεσπεσίῳ περὶ κάρτεϊ δινήθησαν.
εὐφραίνει ποταμοῖο θεοῦ πτολίεθρον ἐρωή, 5
ὕψιστος κλισίην σφετέρην ἄχραντον ἔθηκεν.
οὔ οἱ ἀπολλήξειε θεὸς περὶ μέσσα θαάσσων· 6

---

36 *νηῶν O.* — 37 *υἱοὶ Ω; ἀγαθοὶ υἱοὶ O.* — *ἡβώωσιν DM; βεβρίθασι O.* — 38 *τούσδε OLP; τοὺς δὲ Ω.* — 39 *γενέθλης DM.* — 40 *εἰς O* pc.; *εἰ* ac. *O*; *εὐ LM*; *ἐς Ω.* — *γενῶν L.* — *γενεᾶς DMS.* — 41 *οὕνεκά O.* — *σ᾽* om. $L^1$, add. $L^2$. — *ὑμνήσω σε S.* — 42 *ἀλήκτῃσι (-ησι) DMS.*

*Υ* 45, 2 $\overset{\pi}{\text{πέτος}}$ *M.* — *Ψ* 45, 1 *καὶ* om. *O.* — 2 *ἀμφιπολεμοῦσῃσι S*, cr. im.; *-πολεύουσι M.* — *ἄτῃς (-ης) Ω.* — 3 *οὕνεκεν O.* — *οὐμπτήξαιμεν L; οὐ πτήξομεν O.* — *ὀρινομένοις M.* — 5 *ἠχείης O; ἠχὴ εἰς M.* — *ὀρυμαγδὸς b** (ind.), Hoeschel.; *ὀρυγμαδὸς Ω (ὁ- L); ὀριγ- DM.* — 8 *σφετέρην* om. $L^1$, add. $L^2$ it. et $L^{2*}$ im. — *ἄχραντον* $L^2$*Ω*; *ἀχράντων O; ἄφθαρτον* $DL^1M$. — *ἔθηκεν Ω (-κε v); οὔει* add. $L^1$, del. $L^{2*}$. — 9 *οὔ (ὃν* ac. *M) οἱ ἀπολήξειε (-ξει O) DMPS; ἀπολήξειε* $L^1$ (sed v. supra); *οὔ τοι οἱ ἐκλήξειε* $L^{2*}$ ss. et $L^2$ it.; *οὐδέποθ᾽ οἱ λήξειε Rv.* —

*ἐξ ἠοῦς ἐπίκουρον ἔχει πανεπίσκοπον ὄμμα.*
*κλῖναν ἀνακτορίαι βριαραί, κλονέοντο δὲ φῦλα·* 7
*ἠύτησε διαπρύσιον, δεδόνητο δὲ γαῖα.*
*ἀρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός,* 8
*αὐτὸς Ἰακώβου πρόμαχος θεὸς ἄμμιν ἐτύχθη.*
*δεῦτε, φίλοι, βασιλῆος ἰδώμεθα θέσκελα ἔργα,* 9
*ὅσσ᾽ ὑπὲρ εὐφόρβου σημήια τεῦξεν ἀρούρης.*
*παύων δηιοτῆτας ὅλης ὑπὲρ ἄντυγα γαίης* 10
*τόξον συντρίψειε καὶ ἀσπίδα θοῦριν ἐάξει*
*καὶ θυρεοὺς μαλεροῖο καταφλέξει πυρὸς ὁρμῇ.*
*„φράζεσθε σχόμενοι, θεὸς ἄφθιτος οὕνεκ᾽ ἐτύχθην,* 11
*ἔθνεσιν ὕψιστος καὶ ὅλης καθυπέρτερος αἴης.“*
*ἀρχὸς ἐπουρανίων σθενέων πέλει ἄμμιν ἀρωγός,* 12
*αὐτὸς Ἰακώβου πρόμαχος θεὸς ἄμμιν ἐτύχθη.*

## μϛʹ (46)

*Τοῦτο μεγασθενέων τεκέων ἐτέτυκτο Κοραίου* 1
*μείλιχον ἀμφ᾽ ἕκτῳ καὶ τεσσαρακοστὸν ἄεισμα.*

*Παίσατέ μοι χείρεσσιν ὁμὸν κρότον, ἔθνεα πάντα,* 2
*τερπνίστῃ βασιλῆα θεὸν κελαδήσατε φωνῇ,*
*οὕνεκεν ὕψιστος φοβερός θ᾽ ἅμα μοῦνος ἐτύχθη* 3

---

*θοάσσων bcgm.* — **10** *ἐπίκουρον Ω*; *-σκοπον O.* — *πανεπίσκον M* ac. — **11** *κλονέοντο $L^2$Ω*; *-νόεντα $L^1$S.* — **12** *ἠΰτησε D$L^1$$L^2$MPS*; *ἀΰ- O*; *ἤϋσεν Ω*; *ἤϋσεν δὲ* Ritter 8 (cf. 33, 11. Hom. *Θ* 227 *ἤυσεν δὲ διαπρύσιον*). — *δὲ* om. it., ss. *P.* — **14** om. *M* (v. 23). — **15—23** om. *DE$L^1$S*; add. *$L^2$Ω.* — **16** *ὕπερ M.* — **17** *ἰαύων $O^1$*, cr. *$O^3$.* — **18** *ἀέξει O.* — **19** *καταφλέξειε $L^2$.* — **20** *ἐτύχθης $L^2$.* — **21** om. *O.* — *καθυπέρτερον $L^2$* ac. — **22** sq. = **13** sq. — *ἀρχὴς M.* — *ἀρωγὴς M* ac. — **23** *ἐτύχθης $L^2$.* — post hunc iterat 15. 22. 23 *O.*

*Υ* **46, 1** *ἐτέκτϊτο S.* — *κοραίων M*; *κυραίου S.* — post **2** add. rubr. *παίσατέ μοι χείρεσιν*: pro lemmate *DM.* — *Ψ* **46, 1** *έσατέ S.* — *ὁμὸν* (ss. *γρ´ ὁμοῦ*) *P.* — **2** *φωνήν S.* — **3** *θ᾽ Ω* (*τ* ac. *S*); *δ᾽ O.* — *μοῦνος DLMS*, cum *γρ´* ss. *P*; *πᾶσιν OΩ.*

*γαίης παντοδαπῆς μετὰ τέρμασιν ἐμβασιλεύων.*
*λαοὺς ἄμμι δάμασσε, ποσὶν δ' ὑπεθήκατο δήμους·* 4
*λεξάμενος πόρεν ἄμμι φίλον καὶ ἐνηέα κλῆρον,* 5
*μοῖραν Ἰακώβοιο θεῷ καταθύμιον αἰεί.*
*εἰσανόρουσε θεὸς βοόων ἐπινίκιον οἴμην,* 6
*εὐκελάδου σάλπιγγος ἀνέδραμε κοίρανος ἠχῇ.*
*ἡμέτερον φόρμιγγι θεὸν φορμίζετ' ἀοιδαῖς,* 7
*ἡμέτερον βασιλῆα σοφαῖς ἀναμέλψατε μολπαῖς.*
*οὕνεκα κοιρανέει πάσης θεὸς ἄφθιτος αἴης,* 8
*μέλψατέ μοι πινυτῇ κραδίῃ καὶ ἐχέφρονι θυμῷ.*
*ἀθάνατος μέγα κάρτος ὅλων κτεατίσσατο λαῶν,* 9
*αὐτὸς ἐπ' ἀχράντοιο θεὸς θώκοιο θαάσσει.*
*ἡγηταὶ ξυνάγερθεν ὁμῶς θεῷ Ἀβραάμου,* 10
*ἄντα θεοῦ θώρηχθεν ὑπερβασίῃ χθονὸς ἀρχοί.*

## μζ' (47)

*Υἱοῖς Κοραίου τερπνὸν ἐγράφη μέλος,* 1
*εἰς δευτέραν δ' ἔμελψαν αὐτὸ σαββάτων.*
*τόδ' ἕβδομον τεσσαρακοστὸν ἦν ἅμα.*

*Αἰνετὸς ἀθάνατος καὶ δὴ μέγας ἔπλετο μοῦνος* 2
*ἄστυ περὶ σφέτερον καὶ ὄρος πανακήρατον αἰεί.*

---

**4** *παντοδαπῆς ΟΩ; -ποῖς PRv.* — *μετατέρμϊα O.* — **5** *ποσὶ OD*, ac. *M.* — *ὑπέκατο S.* — **6** *λεξάμενος L²Ω; δεξ- DL¹MS.* — **7** om. *L¹*, add. *L²* im. — **8** *εἰσἀρόρουσε O; ἀνώρουσε L¹*, cr. *L².* — *βοάων O; -ώων S* ac. — *οἴμην DL¹M (οἶ- S); ὕμνον L²Ω.* — **9** *κήρανος L; κέλαδος (-θος* ac.) *O.* — *ἠχῆ (-ῆ) OP; ἠχώ Ω; -ώς S.* — **10** om. *DMS.* — **12** *κοιρανέοι DM.* — **13** *θυμῷ (-ῶ) DLMPSv*; μύθῳ (-ω) ORv.* — **14** *κράτος OPR.* — *κτεατίσσατο OPv; -τίσατο L; -τίσσαο R; κτελτίσατο S; κατεκτήσατο DM.* — *λαῶν* om. *L¹*, add *L².* — **15** *θαάσσει DLMS; θάσσει O; θοά- Ω.* — **16** *ξυνέγερθεν O.* — *ἀβραάμ O.*

*Υ* 47, **1** *ἐγράφει O.* — **2** *ἔμελψεν L.* — *αὐτοὶ Rv.* — **3** *τόδ' O; τὸ δ' Ω; ἆσμ' P.* — *ἦ L¹S*, cr. *L².* — *ἅμα Ω; τόδε P; ᾆσμα R.* — *Ψ* 47, **1** *μόνος ἔ. μέγας DMS.* — **2** *περι LS; παρὰ O.*

*πάντοθεν εὐρύνων χάρμα χθονὶ πουλυβοτείρῃ,* 3
*οὔρεά τοι Σιῶνος ὑπὸ πλευραῖς βορέαο,*
*ἄστυ πολυκλῆεν μεγαλοσθενέος βασιλῆος,*
*ἀθάνατος πύργοισιν ἑοῖς ἀρίδηλος ἐτύχθη,* 4
*εὖτ' ἐπιδευομένοις ἐπιτάρροθος ἕζεται αὐτοῖς.*
*γαίης ἦλθον ἅπαντες ἀγειρόμενοι βασιλῆες·* 5
*ὄμμασι δερκόμενοι κραδίῃ περιθάμβεον αὐτοί,* 6
*ὀρνύμενοι κλονέοντο, τρόμος δ' ἐπελήλυθε πάντας,* 7
*εἴκελα τικτούσῃ πυκινὰς ὠδῖνας ἕλοντο*
*ἠὲ βίῃ, ὅτε νῆας ἕλοι Θαρσῖδος ἀήτης.* 8
*οὐκ ἄρα βάξις ἔην· μύθοισι γὰρ ἔργον ὀπηδεῖ·* 9
*ἀμφὶ θεοῦ κλυτὸν ἄστυ, θεοῦ σθενέων βασιλῆος*
*αὐτός οἱ ἀστυφέλικτον ἐπήξατο πυθμένα ποιμήν.*
*σῶν λαῶν ἀνὰ μέσσον, ἄναξ, ἐλεητὺν ὀπάζοις.* 10
*ἠύτε δ' ἀμφιβόητον, ἄναξ, τεὸν οὔνομα μίμνει,* 11
*ὧδ' ἔστω τεὸς αἶνος ὅλης ἐπὶ πείρατα γαίης·*
*δεξιτερὴ βέβριθε δικαιοσύνης σέο, ποιμήν.*
*κλεινὸν ὄρος Σιῶνος ἐυφροσύνῃσι μελέσθω,* 12
*παῖδες Ἰουδαίης ἐρατῆς πολυγηθέες ἔστων*
*εὐαγέων, ἄχραντε, τεῶν χάριν εὐνομιάων.*

---

**3** *χάρμα OΩ*; *-μὰ ἐν R*; *-μ' ἐν Pv*. — *πολυβοτείρη O*; *-ροι S*. — **4** *ὑπὸ OΩ*; *ἀπὸ v*. — *πλευρῆς* (*-ῆς*) *Ω*. — **5** *βασιλῆες S*. — subsequitur 8 infra iteratus $DL^1M$ (del. $L^2$). — **6** et **7** om. *S*. — **7** *ἐπιδευομένοις L*, ac. *D*; *-νης Ω*, pc. *D*. — *ἕζεται L*; *ἓξ- D*; *ἔξ- M*; *ἴξ- O*; *ἵξ- Ω*, cum *ἴσως M* im. — *αὐτοῖς L*; *-ῆς Ω*. — post 8 add. 6, sed ipse expunxit *M*. — **10** *κλονέοιντο P*. — *ἐπελήλυθεν ἅπαντας O*; *-θα πάντας S* ac. — **11** *πικυνὰς L*. — *ἕλοντο OLS* (*ἓ- D*, ac. *M*); *-οιντο PRv*. — **12** *ὅτε* om. it., add. im. *L*. — *ἕλοι* $L^2$*Ω*; *ἕλη O*; *ἓλθοι* $L^1$. — *θαρσίδος LPR*; *-ῆδος ODMS*. — **16** *τῶν O*. — *μέσον DS*; *-ων O*. — *ἐλεητὺν Ω*; *-ητὴν* (*-ϋτὴν* al. m.) *M*; *-ητὺς DS*. — an *ὀπάζεις* ? — **17** *ἠὔτε δ' Ω*; *οὔδ' O*. — *μίμνη D* ac. — **20** *κλεινὸς R* ac. — *ἐυφρ.* usque ad *Ἰουδαίης* om. *M*. — *ἐϋφροσύνῃσι* (*-νησι*) *Lv*, pc. *P*; *εὐφρ- Ω*, *P* ac. — **21** *ἰουδαίας PRv*. — *ἐρατῆς LPv*; *-τεινῆς OΩ*; *-τῆς πάμπαν R*.

*σπεύσατέ μοι Σιῶνα περισταδὸν ἀμφιβαλέσθαι* 13
*καί οἱ ὑπὲρ πύργων λιγέως ἀγγείλατε μύθους·*
*ἀμφὶ δέ μιν κραδίας καὶ ἑῷ περὶ κάρτεϊ θέσθε,* 14
*ἕρκεα δὲ σφετέρου κράτεος διαμοιρήσασθε,*
*ὄφρά κέ τις γενεῇσιν ἐπεσσομέναις ἀγορεύσῃ.*
*οὕνεκεν αὐτὸς ἀεὶ βασιλεὺς ἅμα καὶ θεός ἐστιν* 15
*ἐκ προτερηγενέων ἐπ' ἀτερμάντοισιν ἀνάσσων,*
*νωλεμέως ἐν πᾶσιν ἀγήραος ἄμμε νομεύσοι.*

## *μη'* (48)

***Ἡδὺ μέλος σθεναροῖσιν ἐμέλπετο παισὶ Κοραίου,*** 1
***τεσσαρακοστὸν ὁμῶς τε καὶ ὄγδοον ἔλλαχ' ἀριθμόν.***

*Κέκλυτε, μυρία φῦλα, τά μοι νόος ἔνδοθι κεύθει·* 2
*γαίης ἐνναετῆρες ἐμοῖς ἐπέεσσι μελέσθων,*
*ἄνδρες γηγενέες βροτέης θ' ὅσα φῦλα γενέθλης* 3
*ἀκτέανοί τ' ἀναμὶξ καὶ ὅσοις μέλει ἄσπετος ὄλβος.*
*νωίτερον σοφίην ἱερὴν στόμα μυθολογεύσει,* 4
*ἡμετέρης κραδίης μελέτη πινυτὴν ἀγορεύσει.*
*ποικίλον ἀμφ' αἶνον ἀριήκοον οὖας ἐρείσω,* 5
*ἐκ λιγυρῶν μελέων πυκινῆς διαμάρψομαι οἴμης.*

---

23 *ἀμφιβαλέσθω* *DMS*. — 24 om. *DMS*. — 25 *ἐῶ* *M*; *ἐῷ* *P*. — *ποτὶ* *M*, ac. *D*. — *θέσθαι* ac. *LRS*. — 26 *κάρτεος* *O*. — 27 *κέ τις* *DLMS*; *καί τις* *O*; *δὲ καί τις* ac. *R*; *δέ τις* *Pv*, pc. *R*; *γέ τις* *m**. — *ἐπεσσομένης* (-ης) *Ω*; *ἐπ' ἐσσο-* *O*; *ἐπεσο-* *DLMS*. — *ἀγορεύσ]η* pc. *R*; *-σοι* *O*; *-σει* *M*. — 28 *βασιλεῦ* *M*. — *θεὸς ἐστίν* $OL^2P$; *-ὸς ἐσσί* $DL^1MS$. — 29 *προτερηγενέων* $DL^1MS$ (cf. 106, 65); *-έρη γενέων* *O*; *-έρης γενεῶν* $L^2$; *-έρων γενεῶν* *PRv*. — *ἐπ'* om *O*. — 30 om. *O*. — *νομεύσοι* *DMS*; *-εύει* *L*; *-εύσει* *Ω*.

*Υ* 48, 1 *σθεναρῇσιν* *O*, ac. *S*. — 2 *ἔλλαχ'* *P*; *ἔλαχ'* *OLS*; *ἔλχ'* *DM*; *ἕλκει* *Rv*. — *Ψ* 48, 1 *κέκλυται* *O*, ac. *M*. — *φῦλ' ἅ μοι ν. ἔνδοθε* *O*. — *κεύθοι* *O*; *κελεύθων* *S*. — 2 *ἐπέεσσι* *Ov*Ω*; *μελέεσσι* *Rv*. — 5 *ἱερὴν* *O*; *ἱερὸν* *Ω*. — 7 *αἶνον*] v. Rzach[3] 411. — 8 *πικυνῆς* *DLMS*. — *διαμάρψομαι* *Ov*Ω* (cf. 68, 32); *-μείψομαι* *Rv*.

τίπτ᾽ ἔτι ῥιγεδανὸν τρομέω καὶ ἀμήχανον ἦμαρ; 6
πτέρνης ἀμπλακίη με δυσήνιος ἀμφιπολεύσει,
ἀνέρες ἀφνειοὶ κρατερῷ περιθάρσυνοι ὄλβῳ, 7
οἷσιν ἐπὶ κτεάτεσσιν ὑπέρβιος ἔπλετο θυμός.
ἔνθα κασίγνητος μερόπων ἀναφαίνετ᾽ ἄποινον, 8
ἔνθα θεὸν γενέτην ἱλάσσεται εἵνεκα κόσμου
τιμὴν ἀθανάτης ψυχῆς ποινὴν ἀποτίσας· 9
νωλεμέως μόχθησε, βίος δέ οἱ οὔ ποτε λήξει· 10
εὖτε σοφοὺς θνήσκοντας ἴδοι, κακότητα πατήσοι. 11
ἄφρων ἀφραδέως καὶ νήπιος εἷς ἓν ὀλεῖται,
ὄλβον δ᾽ ἀκλήροις ἑτέροις λείψουσι μελάθρων·
νεκροκόμοις τύμβοισι καὶ οὐ ναίουσι μελάθροις, 12
τύμβους ὥστε μέλαθρα διαμπερὲς οἰκήσουσιν,
ἠνεκέως καλύβῃσιν ἑὰς φθίσουσι γενέθλας·
ἐκ γαίης ὄνομ᾽ ἔσχον, ὅθεν τίκτοντο δαμέντες.
νήπιος, οὐδ᾽ ἐνόησε βροτὸς γεράεσσι μεμηλώς· 13
τετραπόδεσσιν ἔικτο, φυὴν δ᾽ ἠσπάζετο τοίην.
οὐλοὸν ἥδε κέλευθος ἐπὶ σφίσι δίκτυον εἴη, 14
καὶ τότε δὴ γλώσσῃσιν ἐπαινήσουσιν ἑῇσιν.
εἰσάμενοι μήλοις Ἀίδην συμφράδμον᾽ ἕλοντο· 15

---

**9** τίφθ᾽ ἔτι $DL^1$, cr. $L^2$; τίφθ᾽ ἔτι *S*; τίφθἔνϊ (ss. πτ) *M*. — ῥιγεδανῶν (ss. ὀ) *S*. — **10** δυσήνοος $L^1$, cr. $L^2$; δυσμήνιος *gm*. — **11** περὶ θάρσυνοι *bcm*. — **12** οἷσι δ᾽ *PR*. — ἐπεκτεάτεσσιν *PR*; ἐπιτακτεάτεσσι *S*. — θυμῷ *S* ac. — **13** om. *M*. — ἔνθα *OΩ*; οὐχὶ *PRv*. — ἄποινος *D*. — **14** ἔνθα *OΩ*; οὐχὶ *PRv*. — θεὸν om. $O^1$, οὐ ss. $O^3$. — **15** ἀθανάτοις *DLMS*. — **16** νωλεμαῖος (-αίως pc.) *S*. — **17** ἴδῃ *DM*. — κακότητι *O*. — πατήσοι *OP*, pc. *R*; -σει *Ω*. — **18** ἕν᾽ *m**. — **19** ὄλβον δ᾽ ἀκλήροις scripsi; ἀκλήροις (ἀ om. *O*) δ᾽ ὄλβον δ᾽ *OPR*; ἀκλήροις ὄλβον δ᾽ *Ω*. — **20** spurium add. $ODL^1$ (notam ·: praescripsit $L^2$) *MSv** (adn. ad 19 μετὰ τοῦτον τὸν στίχον εὑρίσκεται καὶ ἄλλος *v**, add. *a** ἐν ἑνὶ τῶν ἀντιγράφων, ὅδε); om. *PRv*. — νέουσι *S*. — **21** ὥσπερ *M*. — **23** ἐκ $L^2Ω$; καὶ $DL^1MS$. — ὄνομα *P*. — **24** γενάεσι μεμηλών *S*. — **25** ἔοικτο *O*. — **26—43** om. *MS*. — **28** αἰσάμενοι *O*; εἰσσά- *D*. — συμφράδμον᾽ *Ω* (σὺν φραδμον᾽ *O*); -μονες *MPRSv*. — ἕλοντο *ODP*; ἕ- *L*; εἷλον *Ω*, pc. *R*.

τοὔνεκα πευκεδανὸς θάνατός σφεας ἶφι νομεύσοι,
ἰθυνόων δ' ἠῶθεν ὑπὸ ζυγὸν αὐχένα θεῖεν·
εἰν Ἀίδῃ κείνων ἀχρήιος ἔσσετ' ἀρωγή,
εὐπραγίης δ' ἠμάξαντ' ἄκρης αἶσχος λυγρόν.
ἦτορ ἐμὸν θανάτοιο θεὸς λύσειεν ἀνάγκης. 16
μή ποτέ μοι πλοῦτον μερόπων περιδείδιθι θυμῷ, 17
ἀνέρος εὖτ' ἀγαθοῖσιν ἐπιβρίσειε μέλαθρον·
οὐ γὰρ ἀποφθίμενος σύμπαντ' Ἀίδην δὲ κομίσσοι 18
οὐδέ οἱ ἄσπετον εὖχος δμῶς καταβήσεται οἴκου.
μοῦνον ἐπὶ ζωοῖσι φίλον σθένος αἰνετὸν ἔσται, 19
καί σε μάλ' αἰνήσειεν, ὅταν τί οἱ ἐσθλὸν ἀνύσσῃς.
ἀρχαίην πατέρων γενεὴν μετελεύσεται αὔτως 20
ὀρφναίην βιότοιο δύην καὶ ἀφεγγέα ναίων.
νήπιος, οὐδ' ἐνόησε βροτὸς γεράεσσι μεμηλώς· 21
τετραπόδεσσιν ἔικτο, φυὴν δ' ἠσπάζετο τοίην.

## μθ′ (49)

Δαυίδου ἔνατον καὶ τεσσαρακοστὸν ἄεισμα. 1

Γαῖαν ὅλην καλέεσκε θεῶν θεὸς εἰς ἓν ἀγείρας
ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δυσμάς·
ἐκ Σιῶνος ἑῇ περιλάμπεται εἴδεος ὥρῃ. 2
ἀθάνατος μερόπεσσι θεὸς ἀναφανδὰ παρέσται 3

---

29 οὔνεκα *O*. — ἶφι *Ω*, ss. *D*; ἀμφι *D* it. — νομεύσοι *Ω*; -εύοι *ODP*; -εύει *L*. — 32 spurium add. *L*[2]; κύδεος ἀθανάτου σφετέροιό τε πάμπαν ἀπώσθεν serius substituit *P*; om. *Ω*. — 36 ἀποφθινόμενος *D*. — κομίσει *DL*. — 38 ἐπεὶ *D*. — σθενέος *O*. — 39 οἱ om. *O*. — 40 αὔτως *D*; αὖ- *Ω*. — 41 δύη *L*; δύ cum lac. *R*. — 42 sq. = 24 sq.

*Υ* 49 ἔννατον *OD*; ἔνν- *L*; ἔν- *MS*. — τεσσαρακὸν *M*. — Ψ 49, 1 θεὸς θεῶν *PR*. — ἀείρας *O*. — 3 ἑῇ (ἑῆ) *L*[1]*Ω*; ἑὴ *L*[2]*R*; αἰεὶ *O*. — ὥρη *OL*; ὤ- *R*; ὥρως *S*. — 4 θεὸς usque ad ἀγνώσσων 5 om. *S*. — ἔσσεται post θεὸς add. *L*[1], del. *L*[2]. — ἀναφανδὰ usque ad θεὸν 5 om. *DM*. — παρέστη (?) *L* ac.

*οὐδέ τις ἀγνώσσων θεὸν ἔσσεται· οὐ γὰρ ἐάσει.*
*τοῖο ποδῶν προπάροιθε διίξεται αἰθόμενον πῦρ,*
*ἀμφὶ δέ μιν βέβρυχε μέγα σπέρχουσα κατάιξ.*
*οὐρανὸν ἀστερόεντα πέλας μύθοισι καλέσσει* 4
*καὶ χθόνα πουλυβότειραν, ὅπως λαοῖσι δικάζοι.*
*ἀθανάτῳ θεράποντας ἑοὺς ξυναγείρατε πάντας,* 5
*ὅσσοι συνθεσίην θυσίης ἕο πιστώσαντο,*
*ὄφρά οἱ ἀγγελέωσι δικαιοσύνην ἐρατεινήν,* 6
*οὕνεκα τιμήεις βασιλεὺς μετὰ πᾶσι δικάζει.*
*κέκλυθι, φῦλον ἐμόν, λέξω δέ τοι, ᾗ θέμις ἐστί·* 7
*κλῦθί μευ, Ἰσραῆλε· σὲ γὰρ περίαλλα διδάξω·*
*αὐτός τοι θεός εἰμι, θεὸς δέ τοι αὐτὸς ἐτύχθην.*
*οὔ νύ σε μαψιδίῃσι θυηπολίῃσιν ἐλέγξω,* 8
*σεῖο δὲ καρφομένην θυσίην ἐπιδέρκομαι αἰεί.*
*οὐκ ἀλέγω μόσχων, οὓς ἐν μεγάροις ἀτιτάλλεις,* 9
*οὐδὲ τεῆς ἀγέλης ἀρνήσομαι ἴφια μῆλα·*
*πάντα γὰρ αὐτὸς ἔτευξα, τά τε τρέφει οὔρεσιν ὕλη,* 10
*πάντα γὰρ αὐτὸς ἔτευξα, τά περ δρυμὸς ἔλλαχε φέρβειν*
*ἠδ' ὅσα που μεμέληται ὀρεσσινόμοισι βοτῆρσιν.*
*οὐδέ μέ που πετεηνὰ δι' ἠέρος ἄφθονα λήθει,* 11

---

5 *ἀγνώσσων* usque ad *ἐάσει* om. *L*[1], ss. *L*[2]. — *θεὸς O.* — 7 *σπέρχου OS.* — 8 *καλέσει ODLS*, ac. *M.* — 9 *δικάζει S.* — 11 *ὅσοι DS*, ac. *M*; *ὅσσοις L.* — *θυσίη σεο L.* — 12 *ἀγγελέωσι*[ v. Lobeck[5] 488. — 13 *τιμήσεις R*; *τιμείης LS.* — *βασιλεῦ M.* — *δικάζοι OL.* — 14 *ᾗ Ω*; *ᾗ ODP*; *ᾗ S*; *εἰ L.* — 15 *κέκλυθί* (-ι) *μ. ODMS.* — *ἰσραῆλου S.* — *περίαλλα ΟΩ* (Volkmann 34, Ritter 21); *περὶ ἄλλα MPRv.* — 16 *αὐτός τϊ DMS*; *αὖτις L.* — *δέ τοι L*; *δέ σοι Ω.* — *ἐτύχθω M.* — 17 *θυηπόλησιν O*; *-λήησιν M.* — 19 *ἀντιάλλεις O*[1], cr. *O*[3]. — 20 *οὐδὲ DMSv**; *ἐκ δὲ ΟΩ.* — *ἴφια μῆλα* Hom. E 556. — 21 *τάπερ δρυμὸς ἔλλαχε φέρβειν b*c** (sed v. ad 22). — *οὔρεος O.* — 22 spurium add. *ODLMSa** (adn. *ἐν ἄλλῳ παρεισβέβληται καὶ ἄλλος στίχος ἰσοδυναμῶν, οὗτος a**); om. *Ω.* — *δρυμὸς* non est Apolinarii. — 23 *ἠδ' S*; *εἶδ' O*; *οὐδ' DM.* — 24 an *οὐδ' ἐμέ*? — *πετεεινὰ L.* — *ἠέρος ODLS*; *ἤρεος M*; *αἰθέρος Ω.* — *ἄφθονον ἀλήθει M.*

ἀλλὰ καὶ ἀνθοφόρου με περιστέφει ὄλβος ἀρούρης.
σεῖο δὲ πεινάων δευήσομαι οὔ ποτ' ἀρωγῆς· 12
πάντα γὰρ ἡμετέρη τεχνήσατο θεσπεσίη χείρ.
οὐ δέχομαι ταύρους, τράγεον δ' οὐ πίομαι αἷμα· 13
ῥέξον θεῷ θύος ἡδύ· θύος γάρ οἱ αἶνος ἐτύχθη· 14
ὑψίστῳ δὲ τεῶν ἀπόδος χάριν εὐχωλάων.
εἰ δ' ἐπιδευόμενος καλέεις μ' ἐπίκουρον ἀνάγκης, 15
εἰμί τοι ἐσθλὸς ἀρωγός, ἀτὰρ σύ μευ εὖχος ἀείσεις.
δὴ τότ' ἀλιτραίνοντι θεὸς προσεφώνεε τοῖα· 16
„τίπτέ μευ εὐδικίας ἐρικυδέας ἐξαγορεύεις
καί μευ συνθεσίην φορέεις περὶ χείλεσι σοῖσιν;
οὐκ αἰεὶ στυγέεις μελεδήματα καλὰ νοῆσαι 17
καὶ χάριν ἡμετέρων ἠρνήσαο πάντοτε μύθων;
οὐ πόδα ληιστῆρι κακόφρονι σύνδρομον ἔσχες, 18
ξυνὸς μαχλοσύνης μοιχῶν ἀνεφαίνεο μοίρῃ;
ξυνὸς μαχλοσύνης μοιχαρέα μοῖραν ὀφέλλων;
ἆ τεὸν ὡς βέβριθε κακορραφίῃ στόμα λάβρον, 19
γλῶσσα δὲ δυσφροσύνῃσι περιπλέκεται δολερῇσι·
ἀμφὶ κασιγνήτοιο καθεζόμενος κάκ' ἔβαζες 20
καί σεθεν υἱέι μητρὸς ἀμήχανον ἔπλεκες ἄτην.

---

**26** πετεειν άων $L^1$; πεϊνάων $L^2$. — **27** χεῖρα *S*. — **28** τράγιον *DLS*; -ηον in -ϊον cr. *M*; -ειον *R* pc. — πίωμαι *O*. — **29** ῥέξον $ODL^2MPRS$; -ξε $L^1$; -ζε *v*. — **31** καλέοις *O*; -έης *DMS*. — **32** εὖχος $L^2\Omega$; αἶνον $DL^1MS$. — ἀείσεις $L^2\Omega$; -σῃς $D(L^1?)MS$. — **33** τότε *DMS*. — ἀλιτρεύοντι *O*. — **34** εὐδικίας $L^2\Omega$; -κίης $DL^1MS$. — **35** φορέοις *O*; -έειν (?) *L* ac. — περὶ *Ω* (cf. 44, 5); παρα *O*. — **36** οὐκ αἰεὶ *ODLMS*; οὐ καὶ εἰ *M*; αἰεί τοι *Ω*. — **37** πάντα μ. *O*. — **38** οὐ *OΩ*; καὶ *Pv*, pc. *R*. — κακόφρονα $L^1$, cr. $L^2$. — **39** κοινὸς *O*. — μαχλοσύνης *PRv*; -νῃ *OΩ*. — ἀνεφαίνετο *LP*. — μοίρῃ *OLMP*; μοῖρῃ *S*. — **40** spurium add. *DMSv** (cum adn. μετὰ τοῦτον γράφεται καὶ ἄλλος στίχος, ὅδε *v**); om. *OLPRv*. — μαχλοσύνῃ *DMS*. — μοιχαρέα *Sv**; om. in lac. *DM*. — ὀφέλων *M* ac. — **41** ἆ scripsi (coll. 87, 19); ὢ *L*; ὠ *S*; om. *ODM*; καὶ *Ω*. — λάβρον $L^1$; λαῦρον $OL^2PR$. — **42** δολεροῖσι(ν) *DL*. — **43** κασιγνήτοισι *DM*. — **44** ἔπλεκ' $O^1S$, cr. $O^3$; -κεν *DM*.

ταῦτα μὲν αὐτὸς ἔρεξας, ἐγὼ δέ τοι ἥσυχος ἦα. 21
ᾠίσθης ἀθέμισθ', ὅτι τοὶ φρένας ἔσσομ' ὁμοῖος·
ἀμπλακίας στήσω σεῦ ἐναντίον αἰὲν ἐλέγχων.
σύνθεσθ', ἀθανάτοιο λελασμένοι, ὅσσ' ἀγορεύω, 22
μή ποτ' ἀφαρπάξειεν, ἀμύντορος οὐ παρεόντος.
θῦμά μοι ὄλβιστον πέλεται καταθύμιος αἶνος· 23
ἦδ' ὁδὸς ἀθανάτοιο βίην ζωαρκέα φαίνει."

## ν′ (50)

a Μαχλοσύνης Νάθανος ἀτασθαλίην ἀναφαίνων 1. 2
εὐφροσύνην στοναχαῖς καὶ δάκρυσιν ἔσβεσε τέρψιν
ἀντιθέῳ βασιλῆι, θεοῦ δ' ἐλεήμονα θυμὸν
μυρόμενος καλέων βροτέας προύθηκε κελεύθους,
ὄφρά κεν ὀψιγόνοισι σαόφρονα μῆτιν ὀφέλλοι.
τοῖο δὲ πεντηκοστὸς ἀλεξίκακος πέλει ὕμνος.

b Ἔρωτι Δαυὶδ ἀπρεπεῖ εἴξας ποτὲ 1. 2
κλοπῆς ἑάλω δεμνίων ἀλλοτρίων,
εἶτ' αὖ ἀνεῖλε τὸν γυναικὸς εὐνέτην.
Νάθαν δὲ πειθήνιος ὀφθεὶς τῷ θεῷ
ἥει τιτρώσκων τοῖς ὀιστοῖς τῶν λόγων
καὶ τῶν ἐλέγχων φαρμάκοις καταστύφων.
ὁ δ' εὐγενείας οὐκ ἀναξίως τρόπων
αἴσθησιν ἥττης ἀκλεοῦς λαβὼν τάχος
τὸν μειλίχιον ἐξιλάσκει δεσπότην,

---

46 ἀθέμιστ' *OLS*; -σθε $M^1$, -στε ss. $M^2$. — ὁμοίως *S* ac. — 47 σευ $DL^1MS$; φεῦ $L^2$ ss. — 48 σύν]θεσθ' $L^2$ pc.; -θεσθ' (τ ss.) *M*. — ἀνάτοιο λελλασμ. *S*. — 49 ποθ' *L*. — ἀφαρπάξει *O*; -ξειας *DMS*. — 50 θῦμά $L^2Ω$; κτῆμά $L^1$. — αἶνος *DLMS* (cf. 146, 2); ὕμνος *Ω*. — 51 ἧδ' *Ω*; ἠδ' *b*; ὧδ' *O*.

$Υ^a$ 50 post $Υ^b$ ponunt *PRv* (cum adn. ἄλλως δι' ἡρωϊκῶν ἐπῶν. ν̄ος *P*). — 1 ναθᾶνος *O*; νάθαν]ος add. $L^2$. — 2 εὐφροσύνην *OL*; -νης *Ω*. — στοναχοῦ *O*. — δάκρυα *O*; -ρης *S*. — ἔβεσε $M^1$, cr. $M^2$; ἔσβε $O^1L^1S$, σε add. $O^3L^2$. — 5 ὀφέλλοι *Ω*, pc. $M^2S$; -έλ]οι pc. *O*; -έλλει *S* ac. — 6 τοῖο δὲ $L^2Ω$; τοῖς δὴ $L^1$. — πέλεν *P*. — $Υ^b$ ante $Υ^a$ habent *PRv* (cum titulo Σ et ἐπιγραφὴ τοῦ ψαλμοῦ δι' ἰάμβων *P*); om. *OΩ*.

*καὶ οἶκτον αὐτὸν συγκινεῖ πρὸς τὸν μέγαν*
*ᾆσμα κραδίης συντριβῇ μέλψας τόδε.*
*πεντηκοστὸν πέφυκεν ὁ ψαλμὸς μέλος.*

*Δευομένῳ μοι, ἄναξ, περιώσιον ἵλαος εἴης* 3
*καί μευ δυσνομίην ὀλέσοις οἰκτίρμονι βουλῇ·*
*ἀμπλακίην ἀπόνιψον ἐμὴν πλέον ὕδατι νίζων,* 4
*ἡμετέρης ἀπάνευθεν ἀτασθαλίης με καθαίροις,*
*οὕνεκα δυσνομίην μευ ἐγὼ πραπίδεσσιν ἀνέγνων* 5
*καί μευ ἀτασθαλίη πέλεται κατεναντίον ὄσσων.*
*ἤλιτον εἰς σέ, μάκαρ, καὶ σεῦ πέλας ἄλγος ἔτευξα·* 6
*ὄφρ' ὅσιος μύθοισι τεοῖς μετὰ πᾶσι φανείης,*
*ἐν δὲ δίκῃ μοῦνος προφερέστερος ἔσσεαι ἄλλων.*
*καὶ γὰρ δυσνομίῃ με πατὴρ ἔσπειρε πιθήσας* 7
*καί μ' ὑπ' ἀτασθαλίῃσιν ἐκύσσατο πότνια μήτηρ.*
*ἠνίδε τ' ἀτρεκίην ἀμετάτροπον ἀμφαγαπάζεις* 8
*καὶ σοφίης κρυφίης με τεῆς ἐδίδαξας ἀταρπούς.*
*ὑσσώπῳ καθαρόν με περιρραίνων τολυπεύσεις* 9
*καὶ πολὺ λευκότερον χιόνος τελέσεις με λοέσσας.*
*ἄγγελος εὐφροσύνης καὶ χάρματος ἄμμι φανείης,* 10
*ὀστέα τειρομένων ἐπὶ σοὶ κεχαρήσεθ' ἅπαντα.*
*ἀμπλακίης μευ ἄνευθεν ἀποστρέψειας ὀπωπὴν* 11

---

10 *αὐτὸν R.* — 12 *πεντηκοστὸν πέφυκεν PR*; *πέφυκεν* (*-κε c*) *πεντηκοστὸν v.* — *Ψ* 50, 1 *λυομένῳ* $O^1$, *αειο-* $O^3$. — 2 *ὀλέσοις PRv*; *-σης L*; *-σεις OΩ*. — 3—6 om. *O*; stigmavit *L*. — *ὕδατα S.* — 4 *ἡμετέροις S.* — *καθαίρεις PR.* — 5 *ἀνέγνω PR.* — 6 *ἀτασλήη* (*ϊ* ss.) *S.* — 7 *ἀλιτῶν* $O^1$, *ἤλ-* $O^3$. — 8 *ὅσιος* $L^1$, *ον* ss. $L^2$. — 11 *με PR.* — *ὑπ' ἀσθαλίῃσιν R*; *ὑπατασλίῃσιν S.* — *ἐκύσατο PRv*; *ἐκίσσ- O.* — 12 add. $L^2$ im.; om. $L^1$Ω. — *ἠνίδε τ'* scripsi; *ἠνὶ δὲ* $L^2$: v. Schneider[1] 281. — 13 *κρυφί]ης με* ss. $L^2$; *-ας με S.* — *δίδαξας* $DL^1S$, cr. $L^2$. — 14 *περριραίνων O*; *περιρ- LM*; *περριρραίνον* (*περι-* pc.) *S.* — *τολυπεύσοις DM.* — 15 *λευκότερον* $L^2$Ω; *-ρόν* (*-ρον*) *με* $DL^1MS$. — *με λοέσσας* om. $L^1$, add. $L^2$. — *λοέσας O*; *λοεύσας DMPRS.* — 16 *εὐφροσύνην O* ac. — 18 *ἄνωθεν DMS.*

*καί μευ παντοδαπὰς ἀεσιφροσύνας ἀμαθύνοις.*
*ἄχραντον κραδίην μοι, ἄναξ, ἐν στήθεσι τεύχοις,* 12
*νωιτέροις δ' ἴθυνον ἐυσταθὲς ἔγκασι πνεῦμα.*
*μή με τεῆς ἀπάνευθεν ἀπορρίψειας ὀπωπῆς* 13
*μηδ' ἅγιόν σεο πνεῦμα ἐμεῦ ἀπὸ πάμπαν ἐρύκοις.*
*δός μοι τερπωλὴν φάεος παλινάγρετον, ἐσσήν,* 14
*πνεύματι δ' ἀρχεύοντι βίην στήριξον ἐμεῖο.*
*εὖ διασημήναιμι τεὰς ἀνόμοισι κελεύθους,* 15
*πρὸς δὲ σὲ πάντοθεν αὖτις ἐπιστρέψουσιν ἀλεῖται.*
*φέγγος ἐμῆς βιοτῆς ἀνδροκτασίης με σαώσοις·* 16
*εὐδικίην μευ γλῶσσα τεὴν περιγηθήσειε.*
*χείλεά μευ, μάκαρ, οἶγε, δίκην δ' ἀνὰ σεῖο βοήσω.* 17
*εἰ θυσίην ἐπέτειλας, ἐγὼ προΐαλλον ἑτοίμην·* 18
*ἀλλ' οὐ καρφομένοισιν ἰανθήσῃ θυέεσσιν.*
*ἀθανάτῳ θυσίη πνεῦμα χθαμαλὸν μεμέληται,* 19
*ἦτορ ἄναξ χθαμαλὸν καὶ μείλιχον οὐκ ὀνόσαιτο.*
*ὄλβιά μοι Σιῶνι, μάκαρ, καταθύμια δοίης,* 20
*εὖ δ' Ἱερουσαλῆς κλυτὰ τείχεα τεκταίνοιτο·*
*δή ῥα τότ' εὐδικίης θυσίην πραπίδεσσιν ἕλοιο* 21

---

**19** *ἀεσσίφρονας O.* — **20** *καρδίην P* ac. — *μοι* om. *D.* — **21** *νωΐτέροις* $L^1$, *-ροισΐ* $L^2$. — *δ' ODLMS*; om. *Ω.* — *ἐΰσταθὲς Lv*; *εὐ- OD*; *ευ- S*; *ἰδ' εὐ- PR*; *ἐΰσταθῦς M.* — *ἐγκάτοις O*; *ἔγκατα DMS.* — **22** *ἀπορρίψης με S.* — **23** *ἀπὸ Om* (cf. 30, 33); *ἄπο Ω.* — **24** *με DS*, ac. *M.* — **25** *ἀρχεύον· S*; *-εῦον D.* — *ἐμοῖο O.* — **26** *εὖ* $L^2$*Ω*; *καὶ* $L^1$. — *διασήμῄναιμοι O.* — *ἀνόμοϊ S.* — **27** *αὖθις Ω.* — **29** *με D*$L^1$*MS*, cr. $L^2$. — *τεῇ OS* ac. — **31** *ἐπέτειλας ODLMv**; *ἐνετείλω PRv.* — **33** interpolatum esse ci. Scheindler[2] 436; *πνεῦμα γὰρ ἀθ. χθ. θυσ. μεμ.* Hilberg 95. — *θυσία* et *μεμήληται DLMS.* — **34** *ἄναξ Ω*; *μάκαρ DM.* — post *χθαμαλὸν* del. *καὶ μεμήληται S.* — **35** *μάκαρ καταθύμια PRv* (cf. Hom. *χ* 392); *μακάρτατα θύματα O*; *-τατε* (*-τατα* $L^2$) *θύμια D*$L^1$*S*; *μάκαρ τά τε θ- M.* — **36** *ἱερουσαλὴμ L*; *-λῆς γῆς M* ac.

ϑῦμά τε καρφόμενον καὶ ἄνω σπέρχουσαν ἀυτμήν·
δὴ τότ' ἐπιρρέξουσι τεῷ μόσχους περὶ βωμῷ.

## να' (51)

*Δαυίδου πινυτῆς ϑεοτερπέος, εὖτέ μιν ἔγνω* 1
*Δωῆχος κακόχαρτος, ἀτὰρ μετέπειτα Σαούλῳ* 2
*πέφραδεν, ὡς Δαυῖδος ἐς ἀϑανάτου μόλε νηόν,*
*εὐμενέος δ' ἤντησεν Ἀβιμελέχου μεγαϑύμου.*
*τοῖο δὲ πεντηκοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.*

Τίπτέ μοι, ἀλκήεις, σφετέρῃ κακότητι πέποιϑας 3
δυσνομίην πραπίδεσσι πανημαδὸν ἐκτολυπεύων;
ἀμφὶ δέ τοι γλώσσῃ ἀϑεμίστιον ἔβλυσας ὕβριν. 4
ὧδε δόλον ποίησας ἅτε ξυρὸν ὀξὺ τεϑηγός,
ἀντ' εὐεργεσίης φιλέων κακότητα βαρεῖαν, 5
ἀντὶ δικαιοσύνης ἀϑεμίστια πάντ' ἀγορεύων,
γλώσσης μῦϑον ἅπαντα δολόφρονος ἀμφαγαπάζων. 6
ἔνϑεν ἄναξ καϑελεῖ σε διαμπερὲς εὖχος ἀπούρας· 7
ὡς δ' ὅρπηκα ταμών σε τεῶν ἀπονάσσεται οἴκων,
σεῖο δ' ἀποσπάσσειεν ἀπὸ χϑονὸς ἀκλέα ῥίζαν.
εὐδικίης λεύσσοντες ὑποπτήξουσ' ὑποφῆται, 8
τοῖα δ' ὁμῶς ἐρέουσιν ἐπ' αὐτῷ μειδιόωντες·

---

38 καρφόμενος *O*. — σπέρχουσ' *DM*; -χου *OS*; -χον $L^1$, cr. $L^2$. — 39 δὴ ῥα (ῥὰ *S*) τότ' *ODMS*. — ἐπιῤέξουσι *DS*; ἐπιρέ- *M*.

*Υ* 51,1 add. $OL^2$; om. *Ω*. — πινυτοῦ *O*. — 2 δωῆχος $OL^2D$; -ήχος *M*; -ῆκος *P*; δοῆχος $L^1S$; Δώηγος *v*. — αὐτὰρ *O*. — 3 ἐς om. *DM*. — 4 εὐμενέως *DLMS*. — ἤντησεν $L^2Ω$; ἄν- $M^1$ (in ἄϋ- cr. $M^2$); ἤντϊσε *S*; ἦν ἐς $L^1$. — μέγα ϑῦμα *R*. — 5 πεντηκὸν *R*. — ἔφη *PR*. — *Ψ* 51, 1 ἀλκΐη *O*. — πέποι]ϑας pc. $L^2$; πέποιϑη (η suprascr.) *D*. — 2 πραπίδεσι *S*. — 3 γλώσσῃ *LRa**; -η *Ω*; γλῶσση *S*; -α *R* ac. — ἔβλυσας $D(L^1?)MSv$*; ἔβλυσεν (ἔ- *M*) $L^2Ω$. — ὕβριν *Ω*; ὕδωρ *OP*. — 4 ποιήσας *ODS*. — τεϑηγὼς $DL^1M$, cr. $L^2$. — 7 ἀμφάγαπάζων *S*; ἀμφαγαπάζεις *PRv*. — 9 ὅρπηξ καταμών *R*, — 10 ἀποσπάσειεν *Ω*. — ἀκλεᾶ $ODL^2MPR$; ἄκλεα $L^1S$: cf. Nauck[4] 471. — 11 ὑποπτήξουσιν *DMPRS*. — 12 ὅμως *DM*. — αὐτῷ (-ῶ) *Ω*; -τὸν *O*; -τοῦ *gm*.

„ἀθάνατον θεὸν οὗτος ἔχειν ἠρνήσατ᾽ ἀρωγόν, 9
θυμῷ δὲ κτεάτεσσι περὶ σφετέροισι πεποίθει
αἰεὶ μαψιδίοισι βίην κεκορυθμένος ἔργοις.“
αὐτὰρ ἐγὼ περὶ θεῖον ἕδος βρύω, ὥς τις ἐλαίη, 10
θεσπεσίην ἐλεητὺν ἐμοῖς ποτιδέγμενος ὄσσοις
καὶ νῦν καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.
ὧν χάριν ἐξετέλεσσας, ἄναξ, τεὸν αἶνον ἀείσω 11
πάντοτε σοῖς ὁσίοις ὄνομα γλυκὺ σεῖο δοκεύων.

## νβʹ (52)

*Δαυίδου πινυτῆς ὑπὲρ ἀντιθέου μαελήτου.* 1
*τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ δεύτερος ὕμνος.*

Οὐκ εἶναι θεὸν εἶπεν ἑοῖς ἐν στήθεσιν ἄφρων· 2
αἴσχεα τεκταίνοντες ἑοῖς ἐξέφθιθεν ἔργοις,
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
ἄφθιτος οὐρανόθεν βρότεον σκοπιάζετο φῦλον 3
ὀψόμενος, τίς ἄνακτα θεὸν διζήμενος εἴη.
πάντες ἀποκλίναντες ὁμοῦ κλονέοντο κακοῖσιν, 4
ἐργατίνης οὐκ ἔστιν ἕως ἑνὸς εὐνομιάων.
οἵ δ᾽ ἀγαθῶν ἀγνῶτες, ἀεὶ συμφράδμονες ἄτης, 5
λαὸν ἐμὸν κατέδοντες ὅπως θρεψήνορα σῖτον,
ἀφραδέως ἐλάθοντο θεὸν βασιλῆα λίτεσθαι.

---

**13** οὔ τοι *M*. — **14** κτεάτεσι *L* ac.; κατεάτεσι *S*. — σφετέροισι *Ω*; -ρῃσι *O*; -ροισι θεοῖσι *S* ac. — πεπόθει *D*. — **15** μαψιδίοισι *Ω*; -ίῃσι *O*; -οίῃσι *S*. — **16** ὥς *Ω*; ὅς *LS*. — ἐλαία *O*; -ῳ *S* ac. — **20** ὁσίης $L^1$, cr. $L^2$.

*Τ* 52, **1** πινυτῆς *DMS*; -ῦ *L*; -υτοῦ (del. θεοτερπέος εὗτε μιν ἔγνω) *O*; -υτοῦ *Ω*. — μαλήτου *O*; μελ- *S*. — **2** τοῖο $L^2Ω$; τοῖς $DL^1MS$. — πεντικοστὸν $M^1$, πεντη- $M^2$. — δεύτερον *M*. — *Ψ* 52, 1 = 13, 1. — ἐνὶ στ. *ODMS*. — **3—7** fere = 13, 3—7. — **4** φῦλλον *DM*; φολοῦ *S*. — **5** ὀψόμενός τις *DS*. — (θεὸν om.) ἐκδιζήμενος *S*. — **6** ἀποκλίνοντες *O*. — κλονόεντο *S*. — **8—11** fere = 13, 16—19. — συμφράδμον᾽ *S*. — **10** ἀφραδέως *O*; -δέες δ᾽ *L*; -δέες *Ω*: cf. Rzach[3] 415. — λιτέσθαι *Ω* (sed v. ad 13, 18); λιτᾶσ- *O*.

δειμαίνεσκον ἄδην, ὅτε δείματος οὐ χρέος ἦεν· 6
ὀστέα πάντα κέδασθεν, ὅσοις μέλει ἄνδρας ἰαίνειν,
καί σφισιν ἄφθιτος αὐτὸς ὀνοσσάμενος πόρεν αἶσχος.
τίς πόροι ἐκ Σιῶνος ἐπίρροθον Ἰσραήλου; 7
λαοῦ ὅταν στρέψειε θεὸς καταδούλιον ἦμαρ,
τῆμος ἀγαλλέσθω περιώσιον Ἰσραῆλος.

## νγ' (53)

Τῆνδε θεῷ κελάδησεν ἄναξ Δαυῖδος ἀοιδήν, 1
Ζειφαίων ὅτε φῦλον ἀτάσθαλον ἦγε Σαούλῳ, 2
παρθέμεν ἀγγελίην ἀποφώλιον, οὐδ' ἱκετάων
φείσατο· Δαυῖδον δὲ μετὰ σφίσι φάντο κεκρύφθαι.
τοῦδε μέλος τρίτατον καὶ πεντηκοστὸν ἐτύχθη.

Οὔνομα σόν, βασιλεῦ, με κακῶν ἀπάνευθε σαώσοι, 3
καί μ' ἀναμετρήσας περὶ σὸν σθένος ὧδε δικάζοις.
εὐχωλῆς ἐπάκουσον ἐμῆς, πανυπέρτατε ποιμήν, 4
μύθοις ἡμετέροις ἀριήκοον οὖας ἐρείδοις,
οὕνεκά μοι ξεῖνον δηίων θωρήξατο φῦλον 5
καί μευ ἀνιχνεύεσκον ἑλεῖν μενεδήιοι ἦτορ,
οὐδὲ νόῳ βασιλῆος ἐπεμνήσαντο θεοῖο.

---

11 χρεὸν *DM*. — χρέον εἶεν *S*. — 12 πάντο *S*; πάντ' οὐ $DL^{1}M$, cr. $L^{2}$. — κέδασθεν *DM*; -στεν $L^{2}S$; δάστεν $L^{1}$; κέδασται *Ω*. — μέλειν *S* ac. — 13 ὀνωσάμενος *DLMS*. — 14—16 = 13, 23—25. — ἐπίρροθος *O*. — 15 καταδούλιον *LMS*; κατὰ δ- *Ω*; κάτα δ- *m*. — 16 περιώσιον $OL^{2}P$; -σιος $L^{1}Ω$ (ex -ριος cr. *M*). — ἰσραήλου *S*.

*Υ* 53, 1 θεοῦ *P*. — ἀοιδήν om. $L^{1}$ (sed v. 2), add. $L^{2}$. — 2 ἄοιδι add. $L^{1}$, del. $L^{2}$. — ζειφαίων *DL*; ζυ- *M*; ζϊφάων *O*; ζειφαῖεν *S*; ζηφαῖον δ' *PR*; -φαίων δ' *v* (om. δ' *c*). — 3 παρθέμεν scripsi; -θέμην *M*; -θέμιν $ODL^{1}$; πὰρ θέμιν $L^{2}Ω$. — 4 φείσατε *S*. — δαυίδου $L^{1}$ (-ον cr. $L^{2}$); -υῖδος *M*; -βῖδος *R*. — δὲ om. *DM*. — κεκρύφθ]αι pc. *R*; -φθο $M^{1}$, cr. $M^{2}$. — 5 τοῦδε *OΩ*; τοῦ δὲ *cg*. — *Ψ* 53, 1 οὔνεκα σῶν β. *O*. — σαώσοις *O*. — 2 σοὶ *M*. — 4 ἀριήκοος *S*. — 5 ξείνων *O*. — 6 με *O*. — 7 νόον $DL^{1}M$; -ων *S*.

ἤτοι ἐμοὶ καλέοντι θεὸς ἐπιτάρροθος ἔσται 6
καί μευ ἄναξ βιότοιο διηνεκέως προμαχίζοι.
κήδεα δυσμενέεσσιν ἀποστρέψειας ἐμοῖσι· 7
σεῖο δ' ἀληθείῃ, βασιλεῦ, σφεας ἐξαλαώσοις.
αὐτὰρ ἐγώ σοι θῦμα νόῳ ποθέοντι κομίσσω· 8
οὔνομά σευ μέλψω, βασιλεῦ, — ἀγαθὸν γὰρ ἐτύχθη —
οὕνεκα παντοίης μευ ἐλύσαο θυμὸν ἀνάγκης, 9
δυσμενέων δ' ἀνέφηνας ἐμοῖς ὅσσοισιν ὄλεθρον.

## νδ' (54)

*Δαυίδου πινυτῆς θεοτερπέος ἄξιος ὕμνος* 1
*πεντηκοστὸς ἐὼν ἀγαθοῖς ἐπὶ τέτρασιν ἄλλοις.*

Εὐχωλῆς ἐπάκουσον ἐμῆς, πανυπέρτατε ποιμήν, 2
μηδέ μευ ἱκεσίην ἀγανόφρονα πάγχυ παρέλθοις·
δέρκεο, νωιτέρην δὲ μετ' οὔασι δέχνυσο φωνήν. 3
χωόμενος πυκινοῖς μελεδήμασι θυμὸν ὀρίνθην
δυσμενέος φθογγὴν ἀίων καὶ μόχθον ἀλιτροῦ, 4
οὕνεκεν ἀμπλακίας μοι ἐπικλίνεσκον ἀνιγράς,
πικρὰ δὲ λυσσώοντες ἐπὶ φρεσὶ μῆνιν ἔθεντο.
ἀμφ' ἐμοὶ ἡμέτερον ταραχῇ βεβολημένον ἦτορ, 5
ῥιγηλὴν θανάτοιο βίην τρομέεσκον ἰοῦσαν·

---

8 ἤτοι *m*; ὅτι *O*. — ἐμὴ *S*. — θεὸς *Ω* (cf. 49, 4. Ritter 29. Rzach[3] 406); θεὸς δ' *L*. — **9** προμαχίζοις *O*; -ζει *S* ac. — **11** ἐξαλαώσοις *Ω*; -σεις (η ss.) *O*. — **12** κομίσω *DL*; -ίσῳ *M*; -ήσω *S*. — **13** οὔνομά σου *ODLS*; -μα σὸν *Ω*. — γὰρ $L^2$*Ω*; γ' $L^1$. — **14** ἐλύσαο *DLMS*; λύ- *O*; ἐρύ- *Ω*. — **15** ἀνέφηνας $L^1$*Ω*; -νεν $L^2$.

*Τ* 54, **1** δαυῖδος $DL^1MS$, cr. $L^2$. — πινυτῆς *DMS*; -ῦ (τ ss.) $L^1$; -υτοῦ $L^2$*Ω*. — **2** ἀγαθοῖσιν ἐ. *O*. — περὶ *D*; περι *MS*. — *Ψ* 54, **2** ἱκεσίην om. it., ss. *P*. — **4** μελεδήμασι *OΩ*; κελαδή- *PRv*. — **5** δυσμενέος *Ω*, pc. *O*; -έων *L*, ac. *O*. — ἀλιτρῶν *L*. — **6** ἐπικλίνεσκον $L^1$*Ω*; -ινέεσκον $L^2$. — **7** λυσσώοντες *Ω* (Lobeck[7] 211); -ώωντες Sternbach 67. — **8** ταραχὴ $ODL^1M$, pc. *S*; -χὴν *S* ac. — **9** ῥιγηλὴν $L^2$; -λοῦ $L^1$*Ω*.

δεῖμα τρόμος τ' ἔμ' ἐπῆλθε, κάλυψε δὲ νήχυτος ὄρφνη. 6
εἶπα δέ· „τίς κεν ἐμοὶ πτέρυγας πόροι οἷα πελείης, 7
ὄφρα δέμας καμάτοιο ποτώμενος ἀμπαύσαιμι;“ *
τῆλε φυγὴν ἐθέμην, ἐν δ' ἤνυον αὖλιν ἐρήμῳ. 8
ἀδρανίης ἀλκτῆρα μένον ταναῆς τε θυέλλης. 9
γλώσσας σφωιτέρας μηρυσάμενος βάλε πόντῳ· 10
ἀμπλακίην ἐνόησα ἐπεσβολίην τ' ἀνὰ ἄστυ,
πύργους ἠματίη νυχίη θ' ἕο κυκλώσειεν· 11
μεσσόθι δυσνομίην φορέει καὶ μόχθον ἀνίης,
μηδὲ πόνος δολόεις σφετέρων λείποιτο κελεύθων. 12
εἴ μ' ἐχθρὸς στυφέλιξεν ὀνείδεσιν, ἦ τάχ' ἀνέτλην 13
καί κεν ἀπεχθομένοιο λόγων ἀλέεινον ἐρωήν.
ἀλλά, καθηγητὴρ καὶ γνώριμε πάντοθ' ὁμόφρον, 14
οὐκ ἄφνω θαλίης παρὰ σοὶ πασάμεσθα μελιχρῆς; 15
ἦ ῥ' οὐ δῶμα θεοῖο φίλα φρονέοντες ἔβημεν;
εἴθ' ὀλοῶν ἔλθοι θάνατός σφισιν ἄξιος ἔργων, 16
εἰς δ' Ἀίδαο βέρεθρον ἔτι ζώοντες ἵκοιντο,
οἵ ῥα μέσαις φρονέουσιν ἀτασθαλίας καλύβῃσιν.
αὐτὰρ ἐγὼν ἐβόησα, θεὸς δέ μευ ἔκλυεν αὐδῆς· 17

---

**10** δεῖμα, τρόμος Quint. Sm. 12, 399. — τ' ἔμ' ἐπῆλθε scripsi; τ' ἔμ' ἦλθε *O*; μετέμ' ἤ- *L*; μετεμῆ- *S*; μετ' ἐμ' (ἔμ' *m*) ἤ- *Ω*. — νήχυτος] v. Lobeck[8] 1, 202. — **11** πόροιο *S*. — πελείη *DLS*; an -είῃ? — **14** μένον *DL*[1]*MS*; -νειν *L*[2]; -νων *Ω*. — **15** μηρυσάμενος *L*; μηρι- *O*; μοιρη- *P*; μερυ- *S*; με ῥυ- *DM*; μερι- *R*; σὺ μερισσάμενος *v*. — βελε *M* ac.; ἔνθεο *R*: v. Lch[5] 302. — **16** ἄστη *D*; ἄτ sic *S*. — **17** ἠματίῃ νυχίῃ θ' ἕο *v*; -τίῃ -χίῃ τέ ἑ Ritter 33. — **19** τόκος ex πόνος cr. *P*. — λείποντο *M*. — **20** στυφλέεξϊν *S*. — ὀνείδεσσιν *OM*[2]*P*; ὀνήδεσιν *M*[1]. — ἦ τάγ' ἂν ἔτλην *O*; ἠτ' ἀγαν έτλην *S*. — **22** ὁμόφρον *O*; -ων *Ω*. — **23** ἄφνω scripsi (etiam de εἰς ἓν cogitans, coll. 48, 18 cum *Σ*, et de αἰεὶ); ἄμφω *Ω*. — **24** ἦρ' *LM*; ἦρ *S*; ἆρ' *O*. — αὐ *M*. — δόμα *S*. — **25** εἴθ' *Ω*; εἴθ' ὀλο εἴθ' *D*; εἰθ' ὀλο εἰθ' *S*. — ἔργων *Ω*; ἑ ων *O*; αἰων *PR* (θρήνων ss. *P*): v. Lch[5] 301. — **26** ἤκοιντο *L*; οἴκ- *S*; οἴκ- *D*. — **27** μέσαις *L*; -σῃς (-σης) *Ω*; -σϊς *S*; -σας *O*. — φρονέουσιν *O*; φορέ- *Ω*.

ἐξ ἠοῦς ἐρέω κατά θ' ἕσπερα καὶ μέσον ἦμαρ· 18
γήρυος ἡμετέρης ἐπακούσεται ἀγγέλλοντος.
εἰρήνῃ κραδίην ἀπολύσεται ἆσσον ἰόντων, 19
οὕνεκά μοι πολέεσσι πεποιθότες ἀντεφέροντο.
κείνους εἰσαΐων γενετὴρ κόσμοιο μαραίνοι· 20
οὐ γὰρ λύτρόν ἔχουσι καὶ οὐκ ἀλέγουσι θεοῖο.
τεῖνεν ἀμοιβαίοις παλάμην σπέρχουσαν ἐπ' ἔργοις· 21
οἵ δέ οἱ ἁρμονίην νημερτέα θέντο βέβηλον
καί οἱ ἐμοιρήσαντο δυσάντεα μῆνιν ὀπωπῆς· 22
ἐγγύθεν ἀθανάτου σκοπιάζετο μῆτις ἄνακτος.
τῶν δ' ἐγένοντο λόγοι ἁπαλώτεροι ἤ περ ἔλαιον,
ἀλλ' ὀλοαῖς βολίδεσσι μετὰ σφίσιν ἔσκον ὁμοῖοι.
ἀθανάτῳ βασιλῆι τεὰς ἐπίπεμπε μερίμνας, 23
καί σευ ἀεὶ κήδοιτο διηνεκέως τ' ἀτιτάλλοι·
οὔ ποτε τιμήεντι σάλον τεύξειε δικαίῳ.
ἀλλά σφεας κατάγοις, βασιλεῦ, μετὰ βόθρον ὀλέθρου· 24
ἀνδροφόνοι δολεροί τε βίου κατὰ μέσσον ὄλοιντο,
αὐτὰρ ἐγὼ βασιλῆος ἐπ' ἐλπωρῇσι βιῴην.

## νε΄ (55)

*Οὐδὲ φυγὼν Δαυῖδος ἑῶν ἐπελήσατο λαῶν,* 1
*ἀλλὰ θεὸν λιτάνευεν, ὅπως περιφείσεται ἀνδρῶν,*

---

**29** κατά θ' scripsi; καθ' *ODLMS*, ac. *R*; τε (τὲ *a*) καθ' *R* pc., *Pv*. — ἕσπερα *v* (cf. Hom. ρ 191); ἑσπέρα *S*; -ραν *DLMPR*; ἑπέραν *O*. — καὶ *Ω*; ἢ *P*, ir. *R*. — **30** γήρ]υος ir. *L*². — ἐπάκούσαται (ε supra α) *M*. — **31** εἰρήνῃ *Dv*; -νη *Ov***Ω*. — **32** σοι *S* ac. — **33** κεῖνος *M*¹, cr. *M*²; κείους *S*. — **35** ἀμειβαίοις *LS*; ἀμοιβαίην *D*; -βαίων οις *M*¹ (οἷς *M*²). — **36** οὐδέ οἱ *O*. — νημετέρα *R*; -τέα *a*; ἡμερτέα *S*. — **37** δυσμενέα *O*. — **38** σκοάζετο *M*¹, cr. *M*². — μῆνις *O*. — **39** τῶν δ' ἐγ. *Ω*; τοῦ δ' ἐγ. *DM*; τοῦδε γ. *LS*. — ἤ περ *Ω*; ἠπὲρ *S*; ὑπὲρ *L*. — **41** μερίμνοις *M*¹, cr. *M*². — **42** διηνεκέος *M*. — ἀτιπάλλοι (ν supra τ) *O*. — **43** μητίεντι *L*. — δικαίων *S*. — **44** βασιλεὺς *S*. — **45** ἀνδροφόνου *S*. — βίον *M*. — μέσον *DLMS*; μόγον *O*. — **46** ἐφ' ἐλπωρῇσι *OM*; ἐφελ- *DS*.

*T* 55, **1** et in fol. 115ᵛ et in fol. 117ʳ *L*. — ἀπελήσατο *O*. — λαὸν *S* ac. — **2** θεῶν *M*¹, cr. *M*².

*οἳ νόον ἐντὸς ἔθεντο θεουδείης ἐρατεινῆς.*
*κεῖνος μὲν λίγα μέλπεν ἐπ' ἀλλοδαπῇσιν ἀρούραις,*
*Γετθαῖοι δέ μιν ἄνδρες ὑπερβασίῃσιν ἑλόντες*
*ἦγον ἑῷ βασιλῆι· θεὸς δέ ἑ ῥύσατο μόχθων.*
*τοῖο δὲ πεντηκοστὸν ἔφυ καὶ πέμπτον ἄεισμα.*

*Ἵλαθί μοι· μάλα γάρ με καταστείβει ποσὶν ἀνήρ,* 2
*μόχθοισίν μ' ἐβάρυνε πανημέριον πολεμίζων.*
*ἠμάτιος πέζῃσιν ἀπεχθομένων πεπάτημαι,* 3
*ὑψόθεν ἐξ ἠοῦς πολέες τεύχουσι κυδοιμούς·*
*οὔ τιν' ὑποδδείσαιμι, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης.* 4
*εὐεπίῃ βασιλῆα πανημαδὸν ὑμνοπολεύσω·* 5
*οὐ τρομέω βροτὸν ἄνδρα· θεός νύ μοι ἐλπὶς ἐτύχθη.*
*νωιτέρους στυγέεσκον ἐνὶ φρεσὶ πάντοτε μύθους* 6
*αἰεί [τ'] ἀμφ' ἐμέθεν κακὰ κήδεα μητιάασκον.*
*ἐγγύθι ναιετάοντες ἑὰς κρύψουσι μενοινὰς* 7
*πτέρνης ἡμετέρης φυλακὴν ποιούμενοι αἰεί.*
*ὡς δ' αὐτοὶ λοχόωντες ἐμὸν μένον ἦτορ ὀλέσσαι,*
*ὧδε κότῳ καθέλοις κρυερῷ κακοεργέα φῦλα,* 8
*χωόμενος κραδίῃ κατάγοις ὑψαύχενα δῆμον.*
*ἡμέτερόν σοι, ἄναξ, γλυκερὸν βίον ἐξαγόρευσα,* 9
*καί μευ θήκαο δάκρυ τεῶν κατεναντίον ὄσσων.*
*ἐχθροὶ ὑποσχεσίῃσι τεαῖς στρεφθεῖεν ὀπίσσω,* 10

---

3 *ἐντὸς Rv*; *ἐκτὸς OΩ*. — *ἔθεν O*. — *θεουδείης* $O^1$, *θειου-* $O^3$ — 4 *κοῖνος S*. — *μὲν Ω*; *μὴ M*. — *ἀλλοδαποῖσιν DM*. — 6 *δέ ἑ ῥύσατο DPR*, pc. *O*; *δὲἑ ῥύ- O* ac.; *δέ ἐρύ- L*; *δὲ ἐρύ- S*; *δ' ἐρύ- M*; *δ' ἐρρύ- v*. — 7 *τοῖο OΩ*; *τοῦτο Rv*. — Ψ 55, 4 *ὑψόθϊ O*. — 5 *ὑποδδείσαι μευ O* ac. — 6 *εὐεσίῃ S*; *εὐσεβίῃ O*. — 7 *οὐ* $L^2$ (ut 22); *τί Ω*. — *τρομέω βροτὸν Ω*; *τάρβος ὡς τὸν DMS*. — 8 *μύθον DM*. — 9 *τ'* addidi; *δ'* Scheindler[1] 905. — *κήδεα ODLP*; *μή- Ω*. — 12 *ὧδ' O*; *ὧδ' P*. — 14 *κατάγοις* $M^2$*Ω*; *καλείοις* $M^1$. — 15 *ἡμέτερόν σοι DLS*; *-ρον σὸν M*, cum *γρ´ P*; *ἡμετέροισιν O*; *-τέρην σοι Pv*; *-τέρην R*. — *γλυκερὸν βίον ἐξαγόρευσα* scripsi; *γλ- β- ἐξαγορεύσω DLMS*, cum *γρ´ P*; *γλυκερῇ β- ἐξαγορεύσω O*; *-ρὴν ἤγγειλα βιώνην PRv*. — 16 *με* $M^1$, cr. $M^2$. — *δάκρυον S* ac.

εὖτε τεήν, βασιλεῦ, ἐπαρηγόνα χεῖρα καλέσσω·
ἔγνων, ὅττι θεὸς πανεπίσκοπος ἔπλευ ἐμεῖο.
μέλψω θαρσαλέως θεοτερπέα κῶμον ἄνακτι, 11
παμβασιλῆι ἔπος καταθύμιον ὑμνοπολεύσω.
οὐ τρομέω βροτὸν ἄνδρα· θεός νύ μοι ἐλπὶς ἐτύχθη. 12
εἰσί μοι εὐχωλαί, ἅς τοι, μάκαρ, αἶνον ἀείσω, 13
οὕνεκά μευ λύσας θανάτου βαρυώδυνον ἦτορ, 14
ὀφθαλμοὺς δὲ γόοιο, πόδας δ' ἐξείλεν ὀλίσθου.
ζωόντων βασιλῆι θεῷ μέγα φέγγος ἅδοιμι.

## νς' (56)

*Καὶ τόδε Δανίδου τὸ μελύδριον, εὖτε Σαούλου* 1
*ἄπρηκτον μανίην ἀσπασίως προφυγὼν*
*ἴαχε πεντηκοστὸν ὁμοῦ καὶ ἕκτον ἄεισμα,*
*εἰς σπέος ἑζόμενος ὁ πρὶν ἀριστοπόνος.*
*μηδέ ποτε φθείροις ἀγαθοῦ μελεδήματα φωτὸς*
*εἰς στηλογραφίην ἱερὰ γραψαμένου.*

Ἵλαθί μοι, βασιλεῦ πανεπίσκοπε, καί μ' ἐλεαίροις, 2
οὕνεκά σοι φίλον ἦτορ ἀεὶ περιθάρσυνον ἴσχω
σῇσι περὶ σκέπαϊ σκιερῷ πτερύγεσσι πεποιθώς,
εἰσόκεν ἀχράαντος ἀτασθαλίη με παρέλθοι.
ὕψιστον καλέσαιμι θεὸν βασιλῆα λιτῇσιν, 3

---

18 om. *M*. — τεὴν om. it., ss. *P*. — 19 ἐμοῖο *OP*. — 20 θαρσαλέω(ο)ς *S*. — 23 εἰσί $L^2$Ω; εἰ σύ $L^1$; εἰ σοί *S* ac. — 24 βαρυώδυνοι *M*. — 25 γόνοιο ex γόνοιον cr. *S*. — δ' *DMS*; om. Ω. — ἐξείλεν ΟΩ; -λε' *v*. — ὀλίσθον *M*. — 26 ᾅδοιμι sic *L*; ἅ- Ω; ᾅ- *bgm*; ἀείσω *P*: cf. Σ et Hesych. εὐάρεστον· πάνυ ἀρέσκοντα.

Υ 56, 1 μελύδριον *OD*$L^2$*M*; -ίδριον $L^1$Ω. — σαούλω *O*; -οῦλον *P*. — 3 καὶ πέμπτον ἅ. *D*. — 4 ὃ *L*. — 5 et 6 add. *ODLMPS*; om. *Rv*. — μηδ' ἔπο *S*; μὴδ' ἔπι *DM*. — φθείρης *L*, ac. *S*. — μελεδήματος φωνῆς *M*. — Ψ 56, 1 μευ *O*. — καί μιν (ην) *S*. — 4 ἀχράαντος (ν) *P*. — 5 θεὸν Ω; ἐν *S*. — βασιλέα *OR*; -εῖα *S* ac.

*ἄφθιτον, οὗ σύμπαντα φέρω φυσίζοα δῶρα.*
*αὐρανόθεν προϊείς με κακῆς ἐσάωσεν ἀνάγκης* 4
*καί με καταστείβοντας ὀνείδεσι δῶκεν ἀλείτας.*
*πέμψεν ἀληθείην καὶ ἑὴν οἰκτίρμονα βουλήν,*
*ῥύσατο δὲ σκύμνων ὀλοῶν μέσον ἦτορ ἐμεῖο.* 5
*αὐτὸς ἐκοιμήθην κρυερῇ τεταραγμένος ἄτῃ·*
*ἀνέρες, οἷς ἀσπίς τε καὶ οἷς βέλος εἰσὶν ὀδόντες,*
*ὀξείη δὲ γλῶσσα πανείκελός ἐστι μαχαίρῃ.*
*ὄρσ' ὑπὲρ οὐρανίων δαπέδων, πανυπέρτατε ποιμήν,* 6
*καί σεθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.*
*ἡμετέραις ἔπλεξαν ἀμήχανα δίκτυα πέζαις* 7
*καὶ θυμὸν κατέκαμψαν ἐμὸν μογέοντα κακοῖσι·*
*κάππεσον εἰς βόθρον, τὸν ἐμῶν θέσαν ἀντίον ὄσσων.*
*θυμὸς ἑτοῖμος ἐμός, πανεπίσκοπε, θυμὸς ἑτοῖμος·* 8
*κῦδος ἐμὸν μέλψει σε καὶ ἐν ψαλμοῖσιν ἀείσει.*
*ἔγρεό μοι, σοφίης γεραρὸν καὶ ἀγήραον εὖχος·* 9
*ἔγρεό μοι, φόρμιγξ καὶ ἐμῶν ψαλτήριον ὕμνων·*
*ἐμμαπέως ἠῶθεν ἀνεγρόμενος κελαδήσω.*
*ἀμφιβόητον ἔπος σόν, ἄναξ, λαοῖσι βοήσω* 10
*καὶ δήμοις πολέεσσι λυροκτύπον αἶνον ἀείσω·*
*οὐρανίων ἐλεητὺν ἔχεις καθύπερθε πυλάων,* 11
*καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.*

---

**6** *ἄφθινον O* ac.; *ἄμφιτον DM.* — *φυσίζοα v*; *-ζωα OΩ.* — **7** *προΐεις OR.* — **9** *ἀληθείη O.* — **10** *ἐμοῖο O.* — **12** *ἄνε- οἷ S.* — **14** (= 28. 107, 10) *ὦρσ' O*; *ὅρος DM*¹*S* (*ἴσως· ἕως M*² im.). — *ὑπερουρ. DMP(S).* — **15** *ἄσπετον Ω*; *ἄφθιτον P.* — *ἱκάνοι L*²*v*; *-νει OL*¹*Ω.* — **16** *ἡμετέραις PRv*; *-ῃς OL*; *-ης Ω.* — **17** *μογέοντες O.* — **18** *ἐμὸν LS*, ac. *O.* — **19—29** fere = 107, 1—11. — **20** *ψαλμοῖς R.* — *ἀείσοι O.* — **21** add. *L*²*Ω*; om. *DL*¹*MS.* — *ἄγρεό O*¹, cr. *O*³; item 22. — *σοφίας gm.* — **22** *ἐμῶν* om. *L*¹, ss. *L*². — **23** *καλὰ δήσω M.* — **24** *σόν* scripsi (coll. 107, 5); *σοι OΩ.* — *ἄναξ*] *καὶ* add. *S.* — **25** *λυροκτύπον DM*, pc. *S* (*-πων* ac.); *λιγυρὸν κτύπον O*; *λυρόκτυ- Ω.* — *αἶνον* om. *O.* — **27** *ἀ. σφέων O.* — *κατέναντι OL.*

ὅρσ' ὑπὲρ οὐρανίων πυλέων, πανυπέρτατε ποιμήν, 12
καί σεθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.

## νζ' (57)

Στήλης ἧς μενέχαρμος ὑπὲρ Δαυῖδος ἔγραψε 1
μηδέ ποτε φθεῖραι πρὸς τέρματι καλὸν ἄεισμα·
οὗ πάρα πεντηκοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος.

Ἦ ῥά που ἀτρεκέως ὁσίους ἀγορεύετε μύθους 2
καὶ θέμιν ἰθεῖαν, μερόπων, ἰθύνετε, παῖδες,
ἀμπλακίην πραπίδεσσιν ἐπὶ χθονὶ τεκταίνοντες, 3
πλεξάμενοι παλάμῃσι κακορρέκτοις ἀθέμιστα;
ἀλλότριοι πρὸ τόκοιο θεοῦ γεγάασιν ἀλεῖται 4
ἐκ γαστρός [τ'] ἀλάληνται ἀεὶ ψευδὲς λαλέοντες,
ἰοβόλοις ὀφίεσσι πανείκελα μηνιόωντες, 5
ἀσπὶς ὅπως κωφή, τῇ περ κότῳ οὔατ' ἔβυσεν,
ἥ ῥ' οὐκ ἰητῆρος ἐπαείδοντος ἀκούει, 6
φαρμακόεν δέ οἱ οὐ μέλεται σοφοῦ ἀνέρος ἄλκαρ.
τῶνδε θεὸς συνέτριψεν ὑπὸ στόμα πικρὸν ὀδόντας, 7

---

**28** ὤρσ' *O*; ὄρος $DM^1S$ (ἴσως· ἕως $M^2$ im.). — ὑπερουρ. *DLMP*. — **29** ἱκάνει *O*.

*Υ* 57, **1** στήλην *L* (cf. *Υ* 58, 1). — ὕπερ *Pv*. — **2** φθεῖρε $L^1$, cr. $L^2$; -είραι *P*. — τέρματα *PR*. — **3** οὗ παρὰ *O*; οὐ παρα *DS*; οὐ παρε *MR*; τοῖο δὲ *P*. — *Ψ* 57, **1** ἢ ῥά *O*; ἥ ῥά *M*; $\overset{η}{ρ}$ά *S*. — **3** πραπίδεσιν *S*. — **4** κακορρέκτης *O*. — **5** γεγόνασιν *O*. — **6** γαστρός τ' *v*; -ὸς *OΩ*. — ἀλάληται *M*; -ηντε $L^1$, cr. $L^2$. — ψευδὲς *OΩ*; -δῆ *PRa*; ψεύδη *bcgm*. — **7** om. *S*. — πανείκελον *O*; -λα $L^1$, -λοι $L^2v$. — **8** τῇ περ κότῳ om. *D* in lac. — κότωον *S*; κότος *m**. — ἄτ' *DS*. — **9** ἥ ῥ' *L*; ἧρ' *M*; ἣ ρ' *O*; ἤρ *S*. — ἥ ῥά τε ἰητ. ἐπάδοντος οὐχὶ ἀκ. *R*. — ιητῆρος *S*; ικτ- *DM*; εὐϊκτ- *L*. — ἐπαείδοντος *v* (cf. Hom. ρ 519); ἐπαείον- *DLMS*; ἐπαΐον- *O*; ἐπαείδοντος οὐκ *DMS*; ἐπάδοντός τι *P*. — ἐπακούει *O*. — **10** φάρμακον *O*. — δέ οἱ οὐ Ritter 19; δ' οὔ οἱ *OLPRm*; δ' οὔ οἱ οὐ *M*; δ' οὐ (lac.) οὐ *D*; δ' οὔ οὐ *S*; δὲ οὔ οἱ *v*; δ' οὔχ οἱ Scheindler[1] 907. — σοφοῦ $L^2Ω$; συυ $L^1$. — **11** τῶνδε *OΩ*; τῶν δὲ *DMRv*. — ὀδόντ]ας pc. *R*; -των *O*.

γαμφηλὰς ὀλοῶν βασιλεὺς ξυνέαξε λέοντων.
μωμητοὶ τελέθουσι, μάτην ἅτε νίσσεται ὕδωρ· 8
τόξον ἄναξ τανύσειεν, ἕως νούσοισι δαμεῖεν.
κηρῷ τηκομένῳ ἴκελοι τήκοιντο κακοῖσιν, 9
ἠελίου λελάθοιντο πυρὸς προμολόντος ἐπ' αὐτούς.
ὑμετέρην πρὶν ῥάμνον ἑὰς διαΐδμεν ἀκάνθας, 10
αἶψα καταβρώξειεν ὅπως ζώοντας ἀρειῇ.
εἰσορόων ὅσιος κεχαρήσεται ἔκδικον ἦμαρ, 11
αἵματί που νίψαιτο φίλας περὶ χεῖρας ἀλιτροῦ
ἐξερέων, ὅτι καρπὸς ἀγακλέος ἐστὶ δικαίου, 12
ὡς θεὸς ἐν γαίῃ βροτέων πέλει ἔκδικος ἔργων.

## νη′ (58)

*Στήλης ἧς ἐπίγραμμα γράφων Δαυῖδος ἀμύμων* 1
*ἀρχόμενος θέσπιζεν ἔχειν τέλος ἀψεγὲς ὕμνων,*
*ὁππότε Σαοῦλος κραδίην ἀμνήμονα μόχθων*
*τοῖο φέρων, προτέρων δὲ λελασμένος ἁρμονιάων,*
*πέμψεν ἀριστοπόνοιο δόμον γαμβροῖο φυλάσσειν,*
*ὄφρά οἱ ἀντ' ἀγαθῶν θάνατον γέρας αἰνὸν ὀπάσσοι.*
*τοῖο δὲ πεντηκοστὸς ἔφυ καὶ ὄγδοος ὕμνος.*

Ἄφθιτε, δυσμενέων με κακῆς ἐξάρπασον ἄτης, 2
ἐκ δὲ κορυσσομένων μοι ἐλεύθερον ἦμαρ ὀπάζοις.

---

**12** *βασιλεῦ M.* — **14** *δαμεῖ]εν* add. *$L^2$*. — **15** *τοικομένω ἴ. τοίκοιντο S.* — *τήκοντο MP.* — **16** *λελάθοιντο ODS*; *δὲ λάθοιτο M*; *λελάθοντο Ω.* — **17** *ἡμετέρων $L^1$* (ss. *ην $L^2$*). — *ἀΐδμεν O.* — **18** *ἀρειή P,* pc. *R*; *ἀρ ἦ O.* — **19** *ἔνδικον O.* — **20** *αἵμασί O.* — *φίλοις O.* — **21** *ἐξερέω O.* — **22** *θεὸς Ω*; *θεῷ L*; *ἐν θεῷ* (-ῶ) *DMS.* — *γαῖα O.*

*Τ* 58, **1** *στήλην P*; *-λη DMR.* — *ἧς $L^1$Ω*; *εἰς $L^2$v.* — **2** *ἀρχόμενος Rv*; *-ομένοις OΩ*; *-ομένοι M.* — *μέλος O.* — *ἀψεγὲς OLS*; *ἄψογον Ω.* — **3** *ἀμνήμονα $L^1$Ω*; *-νος O$L^2$*. — **4** *δε MS*; om *PR.* — *λελασμένως L* ac.; *-σκένος S*; *λεσάμενος M.* — **5** *δόμων DLMS.* — *γαμβροῖς S.* — **6** *ἀθάνατον O.* — *αἰνὸν DLPbcm*; *αἰὸν M*; *αἶνον aΩ.* — *ὀπάσοι O*; *-σση L*; *-σσης S.* — **7** *ἔφη P,* ac. *S.* — *Ψ* 58, **2** *κορυσσομένον S.*

ἀλλὰ καὶ ἀνδροφόνων μ' ὀλοῶν ἄπο ῥίμφα σαώσοις, 3
ἐργατίνῃσιν ἀτασθαλίης μὴ θοῦ μ' ὑπὸ χεῖρα,
οἵ πρὶν ἀνιχνεύεσκον ἐμὸν βαρυώδυνον ἦτορ. 4
κάρτιστοί νύ μοι ἄνδρες ἐπιβρίθεσκον ἐρωῇ,
οὐ περὶ δυσνομίαις οὐδ' ἀμπλακίῃσιν ἐμῇσι.
δυσνομίης ἀπάνευθε δραμὼν ὁδὸν εὗρον ἑτοίμην· 5
ἐγρόμενος, βασιλεῦ, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον.
καὶ σύ, ἄναξ σθενέων Ἰσραήλοιό τε ποιμήν, 6
ἔθνεσι παντοδαποῖς πανεπίσκοπον ὄμμα τιταίνοις.
μηδὲ κατοικτείρειας ἀτασθαλίης θεράποντας.
ὥραις ἑσπερίῃσιν ἐπιστρέψουσιν ἄπαστοι 7
καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
τῶν φθογγὴ μὲν ἄπυστος, ἀτὰρ περὶ χείλεσιν ἆορ, 8
ὄφρά τις εἰσαΐοι· σὺ δ' ἄρα σφέας ἡδὺ γελάσσαις, 9
φῦλα βροτῶν ὀνόσαιο κακῶν χάριν ἀμπλακιάων.
κάρτος ἐμὸν βασιλῆι μεγακλήεντι φυλάξω, 10
οὕνεκά μευ θεὸς αἰὲν ὑπερμενέως προμαχίζει.
ἀμφιβάλοι μ' ἐλεητὺς ὑποφθαμένη βασιλῆος· 11
ἡμετέροις δαμάσειας ὑπ' ὀφθαλμοῖσιν ἀλείτας,
μὴ κτείνων, ἵνα σεῖο νόμου μὴ πάγχυ λάθοιντο, 12

---

3 ἄπο (sic $L^2P$, ἀπὸ $L^1$, ἀπο O) ῥίμφα (ῥι- O) σαώσοις OLP; βαρυώδυνον ἦτορ Ω. — 4 add. $L^2$ (cf. 6, 16. 93, 8); om. Ω. — 5 οἳ OPm; οἱ Ω. — ἀνίχν. O; ἀριχν. S. — ἐμὸν βαρυώδυνον ἦτορ OLP; ἄναξ (sic v, om. DMRS) ἄπο (sic M, ἀπὸ Rv, ἀπο DS) ῥίμφα (ῥι- S) σαώσοις Ω. — 6 νύ μοι om. $M^1$, add. im. $M^2$. — ἀρωγῇ O. — 7 δυσνομίῃς (-ης) Ω. — 8 δυσνομίῃς O. — δραμὸν MS. — 9 ἀγρόμενος βασιλεῖ O. — παρά μ' L; παρ' ἐμὸν (ω supra) O. — ἔργου DM. — 10 ἰσραήλοιο ὅτε S. — 11 παντοδαπῆς S. — τιταίνοις $L^2$Ω; -νεις $OL^1$. — 12 κατοικτίρειας $L^1$, cr. $L^2$; -τείριας S. — ἀτασθαλίας P. — 13 ὥρῃς (-ης) Ω; ὥρη S. — 15 φθογγῇ O; -οὶ S. — ἄπυστοι M. — χείλεσιν $L^1$Ω; -ρεσιν $L^2$; -χείλεα O. — 16 γελάσαις Ogm; -σεις DM; -σϊς S. — 17 βροτέων DS; -τίστων M. — 19 προμαχίζοι DMP. — 20 ἐλεητῆς M; -τὰς S. — 21 ἡμετέρους $ODL^1MS$, cr. $L^2$.

ἀλλὰ βίῃ μεγάλῃ καὶ κάρτεϊ ῥεῖα κεδάσσαις
καί σφεων ἠνορέην δαπέδῳ πελάσειας, ἀμύντωρ,
ἀμπλακίην στόματος σφετέρου χειλέων θ' ἅμα μῦθον· 13
σφωιτέραις μεγάλῃσιν ὑπερβασίῃσιν ἀλῷεν,
ἀφραδέως ἀλῷεν ὑπερβασίῃσιν ἑῇσιν,
ὧν τέλος ἐξ ἀρῆς καὶ ψεύδεος ἀγγέλλοιτο·
πεῖρας χωομένοισι μόλοι καὶ τέρμα βίοιο· 14
ἴστωσαν, θεὸς οὕνεκ' Ἰακώβου βασιλεύει
παντοδαπαῖς ἄντυξιν ἀνακτορίην χθονὸς ἴσχων.
ὥραις ἑσπερίῃσιν ἐπιστρέψουσιν ἄπαστοι 15
καὶ κυσὶ πειναλέοις ἴκελοι πόλιν ἀμφιέποιεν.
οἶδε κεδασθήσονται ἐνηέα δόρπον ἑλέσθαι, 16
ἢν δὲ μάτην τρύζωσι κορεσσάμενοι κατὰ θυμόν.
αὐτὸς ἀγακλῆέν σευ, ἄναξ, σθένος ὑμνοπολεύσω, 17
ἠῶθεν δ' ἐλέῳ κεχαρήσομαι, ἄφθιτε, σεῖο,
οὕνεκά μευ θεός ἐσσι καὶ ἔκδικος ἐσθλὸς ἐτύχθης
καί μευ ἔφυς κακότητος ἐν ἤματι πύργος ἑτοῖμος.
ὄρχαμε, φορμίζω σε, ἐπεὶ σύ μευ ἔπλευ ἀρωγός· 18
νωίτερος βασιλεὺς ἐλεημοσύνη μευ ἐτύχθη.

---

**24** *δαπέδων O.* — **25** *μύθων O.* — **26** *σφωϊτέρης* (-ης) $L^2$*Ω*; -*ροις* (?) $L^1$; *καὶ σφωϊτέρης O.* — *ἀλῴεν Ω*; *ἀλῶεν OL*; *ἑῇσιν D*; *ἐ- M.* — **27** spurium add. *OLS*; om. *Ω.* — *ἀλῶεν S*; *ἀ- L*; *ἑλοῖεν O.* — **28** *ὧν Ω*; *οὗ O.* — *ἀρης* $L^1$; *αρῆς* $L^2$; *ἀρειῆς PR.* — *ἀγγέλλοιντο PR*, ac. *D*; -*έλοιτο DMS.* — **29** *πεῖρας Lv*; *πεί- PR*; *χεῖ- O*; *πεῖραρ DMS.* — **30** *βασιλεύσει O.* — **31** *ἴσχω DL*, pc. *S*; *ἔσχῳ M.* — **32** sq. = 13 sq. — *ἐπὲρΐησιν S.* — **33** *πειναλέεις S* ac. — *ἴκελοι* om. it., ss. *P.* — **34** *οἶδε S*; *οἷδε ODP*; *οἳ δὲ* $L^2$; *οἱ δὲ* $L^1$*Ω.* — *διασκεδασθήσονται DM.* — **35** *τρίζωσι Sv.* — *κορεσάμενοι S*; *κορυσσόμ- m*.* — **36** *ἀγακλῆέν σευ L*; -*εν σεῦ ODM*; -*εν σεῖο PRv*; *ἀγάκληέν σευ S.* — *ἄναξ σθένος Ω*; *ἄναξ O*; *σθένος PRv.* — *ὕμνον πολεύσω S.* — **37** *δ'* om. *S.* — *ἐλαίω DLS*; -*ωσε M.* — **38** *ἐστι S.* — *ἐσθλὸς O*; *αὐτὸς Ω.* — **41** *βασιλεῦ M.*

## νϑ′ (59)

Ἐπίγραμμα τοῦτο πραγμάτων ὑπὲρ χαρὰν 1
ὑπὲρ τὸ νομισθὲν τῷ βασιλεῖ πεπραγμένων.
καὶ γὰρ παρελθὼν τοὺς Παλαιστίνης ὅρους 2
καὶ τἄλλ᾽ ἐφεξῆς τῶν Σύρων τὰ χωρία
τὴν Μεσοποταμίαν πυρπολεῖ κατὰ κράτος.
τὸν Σώβαλον δὲ τὸν Σύρον κατασπάσας
ἐπέταξε πορθεῖν τῷ στρατηγῷ συντόμως
αὖϑις μεταστρεφθέντι τῶν λοιπῶν λεῶν·
Ἰώσαφος δὲ σὺν θεῷ πάλιν αὐτῶν
εὐθὺς πατάσσει τὴν φάραγγα τῶν ἁλῶν
ἀνδρῶν φονεύσας χιλιάδας δυώδεκα.
ὡς δ᾽ εἶδεν ἀλλοίωσιν ἀγαθῶν πραγμάτων
Δαυῖδος, ἐνεφορεῖτο θείου πνεύματος,
ὕμνει δὲ πεντηκοστὸν ἀμφ᾽ ἐνάτῳ μέλος.

Ἡμέας, ὦ βασιλεῦ, καθελὼν ἐξώσαο πάντη, 3
χωσάμενος δ᾽ ἐλέησας ἀμαιμάκετον μετὰ μῆνιν.

---

*T* 59 versus ordinatos ut supra praebet *S* solus; hoc modo 1. 8. 2. 9. 3. 10. 4. 11. 5. 12. 6. 13. 7. 14 disponunt *OLDM* (quorum in archetypo duas columnas iuxta collocatas exstitisse ex ipsa confusione patet); hunc ordinem 1—6. 8—13. 7. 14 restituerunt *PR*; multo peiorem 1. 8. 2—5. 9—11. 6. 12. 13. 7. 14 *abcgm*. — **1** πραγμάτων *Ω*; χαρμάτων it., γραμμάτων im. *S*. — χαρὰν *OΩ*; -ᾶς *Rv*. — **2** βασιλῇ *S*. — πεπραγμένων *Ω*; -νον *O*; πραγμάτων *L*. — **3** παλαιστίνην ὅρους *L*. — **4** τἄλλ᾽ *ODMS*; τἄλλ᾽ *Ω*; τἄλ᾽ *O*; τ᾽ ἄλλ᾽ *P*. — ἐφέξῆς *S*; ἐφ᾽ ἐξῆς *L*. — **5** πυρπολῶν *O*. — κράτως *R*. — **6** σώβαλον *OΩ*; Σόβ- *v*; σάβ- *M*. — **7** στρατηγῶ(ν del. m. 2) συντόμος *M*. — **8** μετὰ σ. *a*, ac. *M*. — -στρεφέντι *L*. — τῷ λοιπῷ λαῷ *R*. — λαῶν *O*. — **9** ἰώσαφος *ODLMS* (cum ἐν ἄλλοις *P* im.); ἰώαβος *PRv*. — πάλιν σὺν θεῷ αὐτῶν *O*. — πάλιν αὐτῶν *Ω*; αὐτῶν πάλιν *P*; αὐτὸς πάλιν *Rv*; an πάλιν ἀντῶν s. μολὼν? — **10** εὐθὺς *OΩ* (cum γρ′ *P* im.); ἰδὼμ *P*; ἐδὼμ *Rv*. — an ἐπάτησε? — τὴν φάραγγα (-αγκα *M*, -ιγγα *S*, -αγγαν *L*) *Ω* (cum γρ′ *P* im.); τῇ φάραγγι *PRv*. — **11** δυώδεκα *PR*; δυό- *DLS*; δύο δέκα *M*; δώδεκα *Ov*. — **12** εἶδεν *ODLMS*; οἶ- *Ω*. — ἀλλοίωσ ἀγ. *O*; -ωσιν τῶν ἀγ. *DM*. — **14** ὕμνει *OΩ*; ὑμνεῖ *MPRv*. — ἀφ᾽ *ODM*. — ἔνατον *O*. — μέλει *L*. — *Ψ* 59, **1** πάντη (-η) *OLP*; -τα *S*; -τας *Ω*, pc. *R*. — **2** χωσάμενον *S*. — μετὰ om. *DMS*.

*γαῖαν ὅλην ἐδόνησας ἀφειδείῃσιν ὀρίνων·* 4
*εἴθέ οἱ ἰήσαιο, τά περ ξυνέαξας ἑλίξας.*
*σοῖσι, μάκαρ, λαοῖσι σιδήρεα δῶκας ἰδέσθαι,* 5
*μνήμονα παντοίης οἶνον πόρες ἄμμιν ἀνίης.*
*σῆμα πόρες δμώεσσι βίην τόξου ἀλέασθαι.* 6
*ὄφρα τεοὺς θεράποντας ἀφαρπάξειας ἀνάγκης,* 7
*δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς.*
*εἶπεν ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον·* 8
*„τερψάμενος Σίκημα θοῶς διαδάσσομαι ἤδη*
*καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων.“*
*ἡμέτερος Γαλαᾶδος, ὁμῶς δ' ἐμός ἐστι Μανασσῆς,* 9
*Ἔφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη,*
*αὐτὰρ ἐυκλειὴς βασιλεὺς ἐμός ἐστιν Ἰούδας,*
*ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μωᾶφος ἀμύμων·* 10
*ἐκτείναιμι πέδιλον ἐμὸν πρόπαρ Ἰδουμαίης·*
*ποσσὶν ὑφ' ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.*
*ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα* 11
*ἠὲ καὶ ἰθυντῆρ' Ἰδουμαίης μετὰ δήμους·*

---

**3** *ἀμφι*(ex *ει* cr.)*δείησιν S*; *ἀμφι*(*-ὶ* cr. $M^{2}$)*δίνησιν* $DM^{1}$. — **4** *ἔνθέ οἱ O*. — *ξυνέξας ἑλύξας O*. — **5** *σοῖσι OΩ*; *σοῖς R*; *σεῖο v*. — *μάκαρ* om. *PR*. — *σιδήρεα*] *δώρεα* add. *PR*. — **6** *πόρεν* $L^{1}$, cr. $L^{2}$. — **7** *τόξον M*. — *ἅλασθαι O*. — **8—26** fere = 107, 12—30. — **10** *συμφράδμονα PRv*; *-μονι ODLM*; *-μωνι S*. — *μύθω O*. — **11** *δερψάμενοι* $O^{1}$ (*δ* rubr., *τ* cr. $O^{3}$). — *σίκημα PΩ*; *-ῦμα O*; *-*$\overset{ει}{ῖ}$*μα P* pc. — **13** *γαλαάδος* $L^{2}Ω$; *-λάδος* $L^{1}$; *-λάάδος P*. — *Γαλαᾶδ ἔσθ' ἡμέτερος δὲ M*. Hilberg 12: cf. ad 107, 17. — *ὁμῶς δ' ἐμός ἐστι DMPS* (*-ὸς ἔστι L*); *ὁμῶς δ' ἡμέτερος O*; *θ' ἡμέτερος δὲ Rv* (*-ρός τε m**). — **14** *ἐφρέμος O*; *ἔπρε- S*; *ἔφρ'* (*ὄ-* cr. $M^{2}$) *ἐμὸς* $M^{1}$. — **15** *αὐτὰρ ὅγ' P*; *αὐτάρ γ' Rv*. — *ἑϋκλείης L*; *εὐ- Ω*; *εὐκλειὴς bm*. — **16** *ἐφ' ὑ S*. — *μωᾶφος O*; *-άφος S*; *-άβος L*; *μώαβος Ω*: cf. 82, 12. 107, 20. — **17** *ἐντείναιμι c*. — *πρόπαρ* scripsi; *προπάροιθ' Ω*. — *ἰδουμαίης DMR*; *ἰδου- LS*; *ἰδο- P*; *Ἰδυ- v*; *ἰδουμαίους O*. — **18** *ὑφ' Om*Ω*; *ἠφ' S*; *ἐφ' Rv*. — *ἡμετέρης S*. — *δαμάσσης O*; *-εις PR*. — **19** *εὔπυργον O*. — **20** *ἰθυντῆρα Ω*; *ἰθυνῆτρα S*. — *ἰδουμαίης ἰθυντῆρας* sic *O*.

ἦ ῥ' οὐκ αὐτός, ἄναξ, ἡγήσεαι, ὁ πρὶν ἐάσας; 12
οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός;
τειρομένοις ἐπίκουρος, ἄναξ, ἀναφανδὰ φανείης, 13
ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίζοις.
ἐν κρατερῷ βασιλῆι βίην τελέσωμεν ἑτοίμην, 14
δυσμενέων δ' ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.

## ξ′ (60)

Ἑξηκοστὸν ἔγραψεν ἄναξ Δαυῖδος ἄεισμα. 1

Ἱκεσίης ἐπάκουσον ἐμῆς, πανυπέρτατε ποιμήν, 2
καί μοι ἐπ' εὐχωλῇ τηλεσκόπον ὄμμα τανύσσαις.
δευόμενος βοάασκον, ἄναξ, περάτων ἄπο γαίης· 3
ἀχνυμένης μ' ἀνάειρας ἐμῆς κραδίης ἐπὶ πέτρην,
ἡγητὴρ ἐμὸς ἔσκες, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης, 4
πύργος ἐμὸς μετὰ δῆριν ἐπερχομένων ὀλετήρων.
σῇσι, μάκαρ, καλύβῃσι διηνεκέως παραμίμνω, 5
καί σεο θεσπέσιον πτερύγων σκέπας ἀμφιπυκάζοι,
οὕνεκα νωιτέρων, μάκαρ, ἔκλυες εὐχωλάων. 6
κλῆρον ἀγακλήεντα τεοῖς δμώεσσιν ἔδωκας·
ἦμαρ ἐπ' ἦμαρ ἄνακτι πόροις βιότοιο κελεύθους, 7

---

**21** ἦρ' *M*; ἦρ *S*; ἆρ' (ἆ rubr.) *O*. — οὐχ *DMS*. — ἡγήσεαι Ritter 22; -σαιο *Ω*. — ὁ om. *ODLMS*, ac. *R*. — ἐάσας $OM^1PR$; ἐάσσας $M^2Ω$; ἐάσσης (ss. ας) *S*; ἐλάσσας Ritter 22. — **22** ἐλεύσ]εαι ir. $L^2$; -σαιο *D*, cum ἴσως $M^2$ im. (-αιο $M^1$ it.); -σαι *S*. — **23** μ(rubr.)ειρομένοις *O*. — ἀναφανδὸν *DS*; -τόν $M^1$ (α ss. $M^2$). — **24** μερόπου $M^1$, cr. $M^2$. — ἐγγυαλίζοις $DL^1S$ (ξαι ss. $L^2$); -ξοις *OΩ*. — **25** καρτερῷ $L^1$, cr. $L^2$. — τελέσομεν *O*. — ἑτοίμην *Ω* (cum γρ′ ss. *P*); ὁμοίην *OP*. — **26** ἀθερίζοι *PΩ*, ac. *S* (γρ′ ρίσοι ss. *P*); -ξοι *D*, pc. *S*.

*Υ* 60 ἄνεισμα *M*. — *Ψ* 60, **2** τηλεσκόπον *DLM* (ex -ων cr. *S*); τηλοσκό- *O*; τηλέσκο- *Ω*. — τανύσσαις *Ω*; -ύσαις *OPR*; -ύσεις $DM^1$ (ἴσως· τανύσσοις $M^2$ im.); -ύσσϊς *S*. — **3** ἄπο *m*; ἀπὸ *Ω*. — **4** ἀνάειρε *O*. — πέτρην *Ω*, pc. *L*; -ης *PR*; -ων *L* ac. — **5** ἐτύχθην *a*. — **7** παραμίμνων *O*. — **8** σεῖο *P*. — ἀμφιπυκάζοι *OL*; -ζοιν *S*; -ζοις *Ω*. — **10** ἀγακλέοντα τεης (ss. οῖ) *S*.

*ἐκ γενεῆς γενεὴν δὲ θεοῦ πέλας ἔμπεδον εὕροι.* 8
*τίς τοι ἀληθείην ἔλεόν θ' ἅμα μαστεύσειε;*
*πάντοτ' ἐμὸν βασιλῆα φίλῃ φόρμιγγι βοήσω,* 9
*εἰσόκεν εὐχωλὰς τίσω, μάκαρ, ἦμαρ ἐπ' ἦμαρ.*

## ξα′ (61)

*Ἰδιθούμου κῶμον ὑπὲρ Δαυῖδος ἔγραψε* 1
*τόνδ' ἑξηκοστὸν μελέων καὶ πρῶτον ἀείσας.*

*Ἦ ῥ' οὐχ ἡμέτερον δεδμήσεται ἦτορ ἄνακτι;* 2
*καὶ γὰρ φέγγος ἐμὸν πέλεται βασιλῆος ἀρωγή,*
*οὕνεκά μευ θεὸς αὐτός, ἐμῆς δ' ὑπερίσταται ἀλκῆς,* 3
*ἄλκαρ ἐμόν, τὸ καὶ οὔ τί ποτ' ἔλπομαι εἶναι ἀλείτης.*
*μέχρι τεῦ ἀνδρὶ μάχεσθε ὁμῶς τ' ἐναρίζετε πάντες* 4
*τοίχῳ κεκλιμένῳ ἴκελοι φραγμῷ τε πεσόντι;*
*ἔδραμον ἐν δίψῃ, σκέψαντο δέ μ' ἀκλέα τεῦξαι,* 5
*εὐχόμενοι γλώσσῃσιν ἀρὰς στέρνοισι πάτασσον.*
*θυμὲ πέπον, βασιλῆι θεῷ δέδμησο πεποιθώς,* 6
*οὕνεκεν ἐλπωρῆς μευ ἔφυ φυσίζοον ἕρμα·*
*αὐτὸς γὰρ θεός ἐστιν ἐμὸς σωτήρ τε τέτυκται,* 7

---

**12** *πέλας* ex *παῖδας* cr. *S*. — **13** *τίς τοι* $L^2$; *τίς οἱ* *Ω* (v. Rzach$^3$ 371); *τὶς ἦ* $L^1$. — *ἔλεόν* (*-ον*) *θ'* *Ω*; *-ος θ'* *O* (ac. *P*?); *ἐλθόνθ'* *DMS*. — *ματεύσειεν* $M^1$, *μαστ-* $M^2$. — **15** *ἐπῆμαρ* *DS*.

*Υ* 61 om. *O*. — **1** *ὕπερ* *v*; *ὑπερ* *DS*. — **2** *ἄεισμα* *D* ac. — *Ψ* 61, **1** *ἦρ'* *M*; *ἆρ'* (*ἆ* rubr.) *O*. — **2** *πέλεται* $L^2$, *μέ-* $L^1$; *βού-* *O*; *τελέθει* *PRv*; om. *DMS*. — *βασιλέως* *O*. — *ἀρωγῆ* *S*. — **3** *με* *M*. — **4** *οὔ τί* *Pbc*; *οὔ τι* *OLm*; *οὐ τί* *Ra*; *οὔ* *DMS*. — **5** *μάχεσθαι* *DMS*. — *πάντες* *LPR*; *-τα* *Ω*. — **6** *ἴκελοι* (*ῖ-* *OL*) *Ω*; om. *DMS*; *ἴκελος* *m**. — *ἴ. καὶ φραγμῷ* *DMPRS*. — *τε* om. $DM^1PR$, add. $M^2$. — *ὠσμένῳ* (ss. *πεσόντι*) *P*. — **7** *δίψῃ* *Rv*; *-ει* $OL^2P$; *δίκη* $DL^1MS$. — *σκέψαντό με δυσκλέα* *P*. — *μ' ἀκλέα* *v* (*-εᾶ* *L*); *μ' ἀγαλέα* (*γ* pc.) *O*; *μ' ἀνακλέα* *R*; *με ἀκλεᾶ* *DM*; *με ἀκλεὰ* *S*. — **8** *ἀρὰς* *OL*; *ἄρασσον* *DMS*; *ἀραῖς* *Ω*. — Hom. *N* 282 *ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει κῆρας ὀιομένῳ*. — *στέρνοισι πάτασσον* $DLM^2$ (*-ασον* $M^1$) *S*, cum *γρ'* *P* im.; *-σιν ἔπαιον* *OPRv* (*ἄρασον* ss. *P*, v. supra). — **9** *πέπον* *OΩ*; *πέσον* *Rv*. — *θεοῦ* *M*. — **10** *οὕνεκ'* *O*. — **11** *γάρ ἐστιν θεὸς* $O^1$, cr. $O^3$. — *τε* om. $O^1S$, add. $O^3$.

*ἄλκαρ ἐμόν· τίς κέν με φίλης ἐλάσειε τιθήνης;*
*κῦδος ἐμὸν καὶ φέγγος ὑπ' ἐννεσίῃσιν ἄνακτος·* 8
*ἐλπὶς ἐμὴ βασιλῆα μένει καὶ κάρτος ἀρωγῆς.*
*παντοδαπὴ δήμων κλισίη, θαρσήσατ' ἄνακτι,* 9
*σφωίτερον δ' ἀναφανδὰ θεῷ περιχεύσατε θυμόν,*
*οὕνεκά τοι ἐπίκουρος ἀεὶ θεὸς ἄμμιν ἐτύχθη.*
*ἔμπά γε μὴν μερόπων ἁλίη σύμπασα γενέθλη,* 10
*φύτλη ψευδαλέη μερόπων ἀδίκοισι ταλάντοις,*
*ἐκ φρενὸς ὥρμηθεν κενεαυχέες εἰς ἓν ἰόντες.*
*μηδέ ποτ' ἀμφ' ἀδίκοισι νόον μεμελημένον ἴσχειν* 11
*μηδὲ μετ' ἀλλοτρίοις ἀγαθοῖς θέμεν ἅρπαγα θυμόν,*
*μηδὲ ῥόον πλούτοιο πολυκτεάνοιο ποθεῖτε.*
*εἶπεν ἅπαξ βασιλεύς, δύο δ' ἔκλυον οὔασι τοῖα,* 12
*ὡς θεοῦ ἔπλετο κάρτος ὁμῶς τ' ἐλεητὺς ἄνακτος·* 13
*πᾶσι σὺ μισθόν, ἄναξ, ὀπάσσοις ἀντάξιον ἔργων.*

## ξβ′ (62)

*Δαυίδου κλυτὸς ὕμνος Ἰουδαίης ἐν ἐρήμῳ* 1
*ἑξηκοστὸς ὁμοῦ καὶ δεύτερος οὗτος ἐτύχθη.*

*Νύκτα μετ' ἀμφιλύκην σέ, μάκαρ, μάκαρ, ἀμφιχορεύσω·* 2

---

**12** *κέν* (*κεν*) *Ω*, cum *ἴσως* $M^2$ im.; *μὲυ* $M^1$. — *ἐλάσει O.* — **13** *ὑπ' Ω*; *ἐπ' m**. — **15** *παντοδαπὰ DMS.* — *κλισήϊ θαρσηδ' ἀτ' S.* — *θαρσήσατ'* om. in lac. *D.* — *ἄνακτι ΟΩ*; *-τα DMS*: cf. 77, 75. — **16** *ἀναφανδὸν DMS.* — *θεῷ* om. *O.* — **17** om. *DMS.* — *οὕνεκά τοι Ω*; *ἔμπα γε μὴν OL* (ex 18). — **18** om. *O.* — *ἁλίη* usque ad *μερόπων* 19 om. *S.* — *σύμπαντα DM.* — **19** *υτλη O.* — *ἀδίκοιςσϊ D*; *-κησι* $L^1$, cr. $L^2$. — *ταλαν* (τ supra) *O.* — **20** *κενϊαυχέες O*; *κενὲαυχέος S.* — **21** *ἄμφαδικῆσιν* (οι supra) *S.* — **22** *μὴ δὲ μετ' ΟΩ*; *μὴ δέ τ' ἐπ' P*, im. *R*; *μηδέ τ' ἐπ' v.* — *ἀλλοτρίης S.* — *ἴσχειν ἁρπάγματα θυμόν R*, cr. im. — *ἀγαθοῖς ΟΩ*; *-θῶν v.* — *θέμεν Ω*; *ἴσχειν O.* — **23** *πλούτοιο ΟΩ*, pc. *R*; *-τοισι R* ac., *v.* — **24** *ἅπαξ* $L^2$*PRv*; *ἄναξ* $L^1$*Ω.* — **25** *ὥς γε P.* — *θεὸν M.* — *κράτος P.* — *ὁμῶς τ'* scripsi (coll. 5); *ὡς O*; *ὡς δ' DLMPS*; *ἰδ' ὡς Rv.* — **26** *ὀπάσοις ΟΩ* (*ὁ- S*); *-σεις PRv*; *-σῃς gm.*

*Υ* 62, 1 *ἰουδαίης OL*; *-αίοις DMPS*; *-αίας Rv.* — *Ψ* 62, 1 *μά-*

καὶ ψυχή σ' ἐπόθησεν ἐμὴ καὶ σὰρξ ἔτι μᾶλλον
τρηχεῖαν καὶ ἄνυδρον ἀνὰ χθόνα πολλὸν ἐρήμην·
σοί, μάκαρ, εἰν ἁγίῳ μάλα θάρσυνος ὧδε φαάνθην 3
ἰσχανόων δύναμίν τε τεὴν καὶ κῦδος ἰδέσθαι.
κρείσσον' ἔχεις ἐλεητύν, ἄναξ, βιότοιο κελεύθων· 4
χείλεσιν ἡμετέροισι τεὸν κλέος ὑμνοπολεύσω.
ὧδέ σε κυδαίνοιμι διαμπερές, εἰσόκεν ἕρπω, 5
σοὶ δ' ἐπιθαρσήεις παλάμας εἰς ὕψος ἀείρω.
οἷά τε πιαλέης πλησθήσομαι ἦτορ ἀλοιφῆς, 6
χείλεα δ' εὐφροσύνης ἐμέθεν στόμα πάντοτε μέλψει.
εἰ σέθεν ἐν λεχέεσσιν ἐμοῖς μεμνημένος ἦα, 7
σοῖσι μάλ' ἐξ ἠοῦς μεληδήμασι θυμὸν ἔβοσκον,
οὕνεκεν ἄμμιν ἄναξ ἐπιτάρροθος ἐξεφαάνθης· 8
καί σεο γηθήσαιμι περὶ πτερύγων ἀλεωρῇ.
ἴχνεϊ σῷ συνοπηδὸν ἐμὸν φίλον ἦτορ ἐρείσθη, 9
καί σεο δεξιτερή μευ ὑπερμενέως προμάχησεν·
οἱ δὲ μάτην μάστευον ἐμὸν διὰ θυμὸν ὀλέσσαι, 10
νερτερίων ὑπένερθεν ἱκοίατο ῥίμφα βερέθρων·
χειρῶν ἁρπαλέων ξίφεος μέλπηθρα τετύχθων, 11
δεινὸν ἀλωπήκεσσιν ἕλωρ καὶ δασμὸς ἔσονται.

---

καρ, μάκαρ *LPRv*; μάκαρ *ODMS*. — **2** καὶ om. *M*. — σε πόθησεν *OS*. — post 2 add. καὶ (expunct. $L^2$) ψυχὴ διψαλέη ποθέω (-θῶ *O*)· σαρξὶ δ' ἔτι μᾶλλον *O*, im. $L^2$. — **3** πολλὴν *DMS*. — ἐρήμ]η pc. *M*. — **4** μάλα om. *O*. — **5** ἤδεσθαι *S*. — **6** κρείσσον' $L^2 m^*$; κρεῖσσον *Ω* (κεῖ- *M*). — **8** ἠδὲ σὲ (ἠ et " rubr.) *O*. — κυδαίνυμι *PR*; -νομϊ ex -νομοι cr. *S*. — **9** ἐπὶ θαρσήεις (ή pc.) *O*; ἐπιθαρσήει ex -σΐη cr. *S*. — **12** ἐμῆς *S* ac.; ἐμεῖο *P*. — **13** μελεδήματα *DMS*. -- ἔβοσκεν *S*; -κε *DM*. — **15** πτ. ἐν ἀλεωρῇ *LS*: cf. Lobeck[5] 406. — **16** συνοπηδὸν *LM*; ξυνο- *Ω*; ξυνό- *S*. — φίλον om. *O*. — ἐρείθη *O*; -εῖσθαι *LMS*. — **17** ὑπερμενέος *M*. — προμάχησε *O*; -ϊσεν *DLMS*. — **18** οἱ *Ω*; an οἳ? — μάτην om. $O^1$, add. $O^3$ im. — **19** ὕπερθεν ($L^1$?)*S*; -θε *DM*. — **20** ξίφος *O*; -φρος *M*. — τετύχθω *OPR*; -θεν *S* ac. — **21** δεινῶν *DS*, ac. *MR*. — ἀλωπήκεσσι *O*; -κεσιν *L* ac.; ἀλωπήκεσιν *DS*; ἀλοήκ- *M* ac.

αὐτὰρ ἄναξ θεῷ ἀμφὶ φίλην φρένα γηθήσειε, 12
πᾶς δέ οἱ ὀμνύμενος κλέος ἄφθιτον αἰνετὸς ἔσται·
πᾶν γὰρ ἀπεκλείσθη λάβρον στόμα λωβητήρων.

## ξγ′ (63)

*Δαυίδου λιγυρὸς μεγαλοσθενέος βασιλῆος* 1
*ἑξηκοστὸς ὁμοῦ τρίτατός θ᾽ ἅμα κῶμος ἐτύχθη.*

Ἱκεσίης ἐπάκουσον, ἄναξ, ὅτε σεῖο λιτοίμην· 2
θυμὸν ἐμὸν λύσειας ὑπ᾽ ἀντιβίης μελεδώνης.
ἔκρυψάς μ᾽ ἀπάνευθε κακῶν ἀγεληδὸν ἰόντων 3
πληθύος, οἷσι μέμηλε νόῳ ἀθεμίστια ἔργα,
οἳ γλώσσας θήγεσκον ἑὰς ξιφέεσσιν ὁμοίας, 4
ἔργα δὲ ῥιγηλῷ πρόεσαν πανομοίια τόξῳ,
ὥς κεν ὀιστεύσωσιν ἀναίτιον ἀνέρα λάθρῃ, 5
οὐδέ μιν ἐξαπίνης κραδίῃ δείσουσι βαλόντες.
ἔμπεδον ἐστήριξαν ἀναιδέα δήνεσι μῦθον, 6
δίκτυον ἐσκέψαντο δολοφροσύνῃσι καλύψαι.
εἶπον· „τίς κεν ἴδοι σκότιον σφέων ὄμμασιν ἔργον;“
θυμῷ ἀνιχνεύεσκον ἀλιτροσύνην ἀλεγεινήν, 7
οἱ δ᾽ ὀλιγηπελέεσκον ἀπείριτα μαστεύοντες.
νειόθεν ἴδμονα μῆτιν ἔχων προσελεύσεται ἀνήρ,
ὅς ῥ᾽ ὑψιβρεμέταο βίην βασιλῆος ἀείροι. 8
ὧδε βολὰς προέηκαν, ὅσον καὶ νήπιος υἱός,

---

**23** *κλέα* $M^1$, cr. $M^2$.

*Τ* 63, **1** *λιγυρὸν* *O*, ac. *D*. — **2** *ἐτύχθης* *DM*. — *Ψ* 63, **1** *ὅταν* *O*. — **2** *θυμὸς* *M*. — *ἐμὸν* om. *DMS*. — *λύσεν* *O*. — *ὑπ᾽* $L^1Ω$; *ἀπ᾽* $L^2$. — *μελεδώνης* *OΩ*; *-ῶνος* *PRv*. — **3** *κρύψας* *O*. — *ἰόντα* *S* ac. — **4** *νόων* *DLMS*. — **5** *ἑὰς* *PR*; *ἃς* *O*. — **6** *ῥιγηλὰ* *DM*. — *μαομοίϊα* *M* ac. — **8** *λαβόντες* *S*. — **9** *μῦθον* $L^2Ω$; *θυμὸν* $L^1$. — **12** *θυμῷ δ᾽* *Ω*. — **13** *ὀλιγοιελέεσκον* (?) $L^1$ (*π* ss. $L^2$); *ὀλιπελ-* *S*. — **14** *ειόθεν* (*κεῖὄθεν* rubr. cr.) *O*. — **15** *ὡσ ρ᾽* (*ω* rubr.) *O*. — *ὑψιβρεμέτα*]o add. $L^2$; *-τας* *M*. — **16** *δε* (*ἠδὲ* rubr. cr.) *O*. — *βολὰς* *OL*; *βουλὰς* *DMS*; *βέλη* *PRv*. — *νήπιον* *S*; *-οι* *P*. — *υἱόν* $OL^1S$, cr. $L^2$; *-οί* *P*.

ἠπεδαναῖς γλώσσῃσιν ὑπέρβια μυθίζοντες. 9
πάντες ἅμ' ὠρίνθησαν, ὅσοι σφέας εἰσοράασκον·
τίς μερόπων οὐκ εἶδεν, ἰδὼν δ' οὐκ ἔτρεσε θυμῷ; 10
καὶ πολυκυδήεντα θεοῦ διαπέφραδεν ἔργα
τέχνας ἀθανάτης παλάμης πραπίδεσσι δοκεύων.
τερπέσθω βασιλῆος ἐπ' ἐλπωρῇσι δίκαιος· 11
ἰθυνόοις δ' ἅμα πᾶσιν ἀέξεται αἶνος ἀπείρων.

## ξδ′ (64)

Μέλπέ μοι, Ἰεζεκιῆλε, καί, Ἱερεμία, βόησον, 1
πῶς τότε δούλιον ἦμαρ ἐπήλυθον οἱ μετὰ γαῖαν,
ὥς ποτε νηὸν ἄνακτος ἀποπρολιπόντες ἔβησαν·
μέλψατε τιμήεσσαν ὀδυρόμενοι βασιλῆος,
λαὸς ἐυκλειής, σφετέρων χάριν ἀμπλακιάων.
ἑξηκοστὸς ὁμῶς καὶ τέτρατος ὕμνος ἐτύχθη.

Σοί, μάκαρ, ἐν Σιῶνι μεταπρέπει ἄσπετος ὕμνος, 2
ἐν δ' Ἱερουσαλῆ φορέοις παλινάγρετον εὐχήν.
πᾶν βρότεον λίτεταί σε γένος, σὺ δὲ κέκλυθι, ποιμήν· 3
κλῦθι λιτῆς, σὲ δὲ πᾶσα λιτάζεται ἀνδρομέη σάρξ.
ἠνορέης λαθόμεσθ' ἐπέων ἀίοντες ἀθέσμων, 4
νῶι δὲ θυμὸν ἔχοις ἐλεήμονα δυσφροσύνῃσιν.

---

17 μυθίζοντες (αι supra ες) O. — 20 πολυκλυδήεντα O; -κηδήεντα L; -κυδέαντα DS; -κυδέντα M. — διαπέφραδον L. — 21 τέχνης OPR. — ἀθανάτῃς L; -τοις S ac. — παλάμῃς L. — πραπήδεσι S.
Υ 64, 1 μοι ODLMS; μ' Ω. — ἰεζεκιῆλε OΩ (ἱε- D); -ῆλ S; ἐζεκιῆλε LM recte? — ἵερε μῖα O; ἱεμία D. — 2 ἐπήλυθον OL²; ὑπ- L¹Ω. — 3 ἄνακτα MPR. — ἀποπρολιπόντες ODMm; ἄπο πρ- LPR; ἀπὸ πρ- Sv. — 4 post 5 posuit O ac. — βασιλείαν P. — 5 λαὸς ODL¹MS; -ὸς γ' L²; -ός τ' Ω. — εὐκλειὴς bcgm; -είης Ω; -είεις DM; -ήεις O. — 6 τέταρτος M; δ̄ος L. — ἐτύχθην DS. — Ψ 64, 2 δὲ gm. — ἱερουσαλὴμ L; ὑερουσαλῆ S. — φορέοις OΩ; -εις PRv. — 3 notam :· praescripsit L²; versus prope sequentem ferri nequit. — βρότειον O. — λίττεταί ODMS; λίται P ac. — 6 νῶϊ (νόϊ M¹; ἴσως· νῶϊ M² im.) δὲ Ω; τῶνδε (τ rubr.) O. — ἔχοι]ς add. L².

ὄλβιος, ὃς παρὰ σοὶ προλελεγμένος οἰκία ναίει, 5
σοῖσι παρ' αὐλείοις κλισίην πήξοιντο μελάθροις.
σεῖο δόμων ἀγαθοῖσι φίλον πλησοίμεθα θυμόν·
ἄχραντός σεο νηός, ἐπ' εὐδικίῃσιν ἀγητός. 6
ἀλκτὴρ καὶ βασιλεῦ, ξυνῆς ἐπικέκλυθι φωνῆς,
γαίης ἐλπὶς ὅλων περάτων καὶ νόσφι θαλάσσης,
ἠνορέῃ σκιόεντα, μάκαρ, σέθεν οὔρεα τεύχων, 7
ἀπροτίοπτον ζῶμα τεὴν ἐξωσμένος ἀλκήν,
ὃς μέγεθος κλονέεσκες ἀμετρήτοιο θαλάσσης· 8
τίς φορέειν σφετέροιο βίην σθένοι οἴδματος ὁρμήν;
φῦλα βροτῶν κλονέοιντο, φέροιντο δὲ δείματα θυμῷ 9
πείρατα ναιετάοντες, ὅπως σφίσι πήξαο τέκμωρ,
ἠοῦς ἀντολίην καὶ ἑσπερίην ἅμα τέρψιν.
σκεψάμενος νιφάδεσσιν, ἄναξ, ἐμέθυσσας ἄρουραν, 10
θήκαο δ' ἀφνειὴν ἀγαθῶν ἐγκύμονα καρπῶν·
ἀθανάτου ποταμὸς πυκινοῖς βέβριθε ῥεέθροις·
καί σφισιν ὥς τε θεὸς βρῶσιν προέηκας ἑτοίμην.
καρποτόκους εὔφρηνον, ἄναξ, σέθεν αὔλακας αἴης, 11
εὔζωον δέ οἱ οὖδας ἄγοι πολυειδέα καρπόν,
αἰθερίαις ψεκάδεσσι γανύσσεται ἀντέλλουσα.

---

7 ναίει Ω; νέοι m*. — 8 πήξοιντο ODL$M^2$S; -ουντο $M^1$; -οιτο Ω. — 9 σοῖο LS. — δόμον L; -ου PR. — πλησοίμεθα L$M^2$; -σόμεθα O$M^1$Ω; -σώμεθα bcgm. — 12 ὅλων $L^2$Ω; -ως O; -ης D$L^1$MS. — 13 τεῦχον S ac. — 14 ὀπροτίοπτον (ὀ rubr.) O. — ἀλκὴν ζῶμα τ. ἐξ. ἀπρ. Hilberg 111. — 15 μεγέθοιο O. — κλινέεσκες OP. — 16 φορέην D ac.; -έ$\overset{οι}{ει}$ν S. — βίην Ω; λίην m*. — σθένει bgm. — οἴματος D; ὄμμα- M. — ὁρμή (-ῇ ac.) O; ὀργὴν M. — 18 ναιετάασκον L ac. — 19 ἀνατολίην D($L^1$)$M^1$S. — an τε καὶ? — τέρψιν OΩ; -ψεις PRv. — 20 σκεψάμενοι DMS. — ἐμέθυσας Ω; -σεν OP. — 21 θήκατο P. — καρπόν DMS. — 22 ποταμοῦ ὃς $L^1$, cr. $L^2$. — πυκνοῖς DLS; -νὸς M. — βέβρυῦθε O; -βρυῦχε P; -βραχε R. — 23 σφιν OP; σφι DLMS. — ἑτοίμην om. DS. — 25 ἄγει OL. — 26 αἰθερίῃς (-ης) Ω; -ερίοις $L^2$; -έριος D$L^1$MS. — γαννύσεται DMS; γανύ- OL. — ἐντέλλ. $L^1$ ac.

*σῆς, ἄνα, μειλιχίης ἔτεος στέφος αἰνήσειας,* 12
*καί σεο πιαλέης δάπεδον πλησθήσεται ὥρης·*
*οὔρεα θηροκόμοιο γενοίατο πίον᾽ ἐρήμου,* 13
*ἀμφιβάλοιντο δὲ χάρμα μετήοροι ὑψόθι βουνοί·*
*οἰῶν εἰροπόκων βεβριθότες εἰσὶ τοκῆες,* 14
*καὶ κοῖλαι φορέοιεν ἅλις ζωαρκέα σῖτον·*
*εὐφορίην βασιλῆος ἀνυμνήσειαν ἅπαντες.*

## ξε′ (65)

*Εἴ τις ἀνεγρομένων νεκύων σκέψαιτο βιώνην,* 1
*κλῆσις πῶς βασιλῆος ἐφημοσύνῃσιν ὀπηδεῖ,*
*οὐ μάλα θαυμάζω· τόδε γὰρ τέλος οἶδεν ἀοιδή.*
*ἑξηκοστὸν ὁμοῦ πέλεται καὶ πέμπτον ἄεισμα.*

*Πᾶσα χθών, βασιλῆι θεῷ ἀλαλάξατε μολπήν,*
*οὔνομα δ᾽ εὐκελάδῳ κιθάρῃ φορμίζετε θεῖον,* 2
*εὐφήμοις θεοτερπὲς ἀείσατε κῦδος ἐπ᾽ ἔργοις·*
*εἴπατε, „σεῖο“, θεῷ, „τελέθει μάλα θέσκελα ἔργα·* 3
*δυσμενέες ψεύσαιντο τεὴν περιώσιον ἀλκήν.“*
*μέλψατέ μοι, χθὼν πᾶσα, θεὸν δέ τε γουνάζεσθε·* 4
*ἡδέα μελπόντων, βασιλεῦ, τεὸν οὔνομα πάντες.*
*δεῦτε, φίλοι, μεγάλοιο θεοῦ κλυτὰ λεύσσετε ἔργα·* 5

---

**27** *στέφανος M.* — **28** ir. *O.* — *πληθήσεται* $L^1$, cr. $L^2$. — **29** *θηροκόμϊο S*: cf. Lobeck[6] 239. — *πίονες ODMS.* — **30** *μετήοροι Ocm.* — **31** *εἶεν τ. m*.* — **32** *φέροιεν O.* — **33** *εὐφρόην M* ac.; *εὐφορίης S.*

*Υ* 65, **2** *εὐφημοσύνησιν ὀπηδεῖ DM*; *-σύνη· σϊόπη δεῖ S.* — **3** *θαυμάζω OΩ*; *-μάσει Pv*, pc. *R.* — *ἀοιδή Ω*; *ἀεὶ O* — **4** *ἑξηκοστὸν* (*δ᾽* add. *O*) *ὁμοῦ πέλεται καὶ πέμπτον ἄεισμα OL*; *πέμπτον* (*πέπτον D*) *ἅμ᾽* (*ἅμα M*) *ἑξηκοστὸν* (*ἐ- DM*. *-τῶν DS*) *ἄ- Ω*; *πέμπτον ὁμοῦ τόδ᾽ ἔφυ* (*-η b*) *καὶ ἑξηκοστὸν ἄ- PRv.* — *Ψ* 65, **3** *ἀείσετε PR.* — **5** *δυσμενέην* $L^1$, cr. $L^2$. — *ψαύσαιντο m*.* — **6** *δέ τε L*; *τε DS*; *γε M*; om. *OM*; *ἰδὲ PRv*: v. Ritter 29. Rzach[3] 391. — *γουνάζε* pc. (*-νάσθες* ac ?) *S*; *γούναζε D.* — **7** *ἡδία* $M^1$ (*ἴσως· ἡδέα* $M^2$ im.). — **8** *λεύσσετε bcgm*; *λεύσετε Ω*, pc. *D*; *-ται LS*, ac. *D.*

ἄσχετος ἐν βουλῆσιν ὑπὲρ μεροπηίδα φύτλην.
κεκλόμενος πόντον τραφερὴν μετεπήξατο γαῖαν 6
καὶ ποταμοὺς κελάδοντας ἐθήκατο ποσσὶ κελεύθους·
κεῖσ᾽ ἅμα γηθήσαιμεν ἐπ᾽ ἀθανάτῳ βασιλῆι,
κάρτεϊ νωλεμέως σφετέρῳ μεδέοντι καὶ ἀλκῇ. 7
φῦλα βροτῶν βασιλῆος ἐποπτεύουσιν ὀπωπαί·
μὴ μέγα μοι φρονέοιεν, ὅσοις πολύπικρος ἐρωή.
εὐφήμοις μελέεσσι θεὸν κελαδήσατε, δῆμοι, 8
οὔασι δεχνύμενοι σφετέρην ἀριήκοον αὐδήν,
ὅς τ᾽ ἐμὸν ἦτορ ἔθηκεν, ὅπως ζωοῖσι μετείην, 9
ἴχνος ἐμῶν ἐν πᾶσι ποδῶν ἀδόνητον ἐρείδων.
ἡμέας ἐφράσθης, βασιλεῦ, πολυφράδμονι βουλῇ 10
εὖ διαγινώσκων, ἅ περ ἄργυρον ἐν πυρὶ χαλκεύς.
ἐν δὲ λίνῳ δολόεντι καὶ οὐκ ἐθέλοντας ἐρύκοις· 11
ἡμετέρων καθύπερθεν ἐθήκαο κήδεα νώτων,
ἡμετέραις κεφαλῇσιν ἐπεστηρίξαο φῶτας. 12
ὕδωρ καὶ φλογεροῖο πυρὸς διέβημεν ἐρωήν,
εἰς δ᾽ ἀνάπαυμα νέης ἐξήγαγες ἡμέας ὥρης.
δῶμα τεὸν θυέεσσιν ἱκοίμεθα καρφομένοισιν· 13
εὐχωλὰς προτέραις μευ ὑποσχεσίαις ἀποτίσω,
ἅς, καὶ τειρόμενός περ, ἔφην τὸ πρόσθε τελέσσαι· 14
θύματα μυελόεντα πυρὶ φλεχθέντα κομίσσω 15

---

**10** κεκλόμενος $L^1Ω$; κυκλ- $OL^2PR$. — **11** ἐθήκαο *MR*. — ποσὶ $DL^1M^1S$, cr. $L^2$; πουσὶ $M^2$; πᾶσι *O*. — **12** ᾽κεῖσ᾽ *DL*; κεὶς *M*; ᾽κεῖ *S*. — **13** νωμελέως *Ra*. — μεδδόεντι $(L^1)S$. — ἀλκή *S*. — **14** ὀπωπαὶ *Ω*, pc. *L*; -πὴν *DMS*, ac. *L*. — **15** μοι om. *O*. — πολύπικρος] v. Lobeck[8] 1, 569. — **18** μετείην *v*Ω*; -είη *OPRv*. — **19** ἐμὸν *DLMPS*. — **21** διαγιγνώσκων $M^2$ (-γιν- $M^1$); διαγίνώ- *O*. — **22** οὐ καθελόντας *S*. — ἐρύκοις *OΩ*; -κες *S*; ἔρυκες *v*. — **23** κατένερθεν *DMS*. — **24** ἡμετέρῃς (-ης) *Ω*. — **26** ἐς *Ω*; ὡς (ω rubr.) *O*. — ἐξήγαγές με ὧ. *O*. — **27** καρφομένῃσιν *L*. — **28** προτέρῃς (-ης) et ὑποσχεσίῃς (-ης) *Ω*. — μὲν *OPR*. — **29** ἃς *Ω*; ὃς (ο rubr.) *O*. — τὸ om. *O*. — **30** πυρὶ φλεχθέντα $OL^2P$; πυρὶ φλεγέθοντα *S*; πυριφλεγ- $L^1Ω$: cf. Volkmann 75. — κομίσσαι(?) $L^1$.

*εἰροπόκους κριούς τε μύρου τ' εὐώδεα καπνόν,*
*ἀμφὶ δὲ [καὶ] χιμάροισι βόας κεραελκέας οἴσω.*
*κέκλυτέ μευ, σύμπαντες, ὅσοι δειμαίνετ' ἄνακτα,* 16
*ὅσσ' ἀγάθ' ἡμετέρῳ τεκτήνατο μυρία θυμῷ.*
*ἀθάνατον βοάασκον ὑπὸ γλώσσης ἀναείρων·* 17
*εἰ δ' ἴδον ἐν πραπίδεσσιν ἐμαῖς ἀθεμίστιον ὕβριν,* 18
*νωίτερον μὴ μῦθον ἄναξ βοόωντος ἀκούσαι.*
*τοὔνεκεν ἡμετέρην πανεπίσκοπος ἔκλυεν αὐδὴν* 19
*οὐδέ μευ ἱκεσίης σφετέρην ἔστρεψεν ὀπωπήν.*
*αἰνετός, ὅς ῥ' ἔλεον καὶ ἐμὴν οὐκ ἤλασεν εὐχήν.* 20

## ξϛ´ (66)

*Εὐκελάδου κιθάρης βασιλήιος ὕμνος ἐτύχθη* 1
*ἑξηκοστὸν ὁμοῦ καὶ μέλος ἕκτον ἔχων.*

*Ἡμέας οἰκτείρειας, ἄναξ, ἐλεήμονι βουλῇ,* 2
*ἄμμι δὲ σὴν ἀρίδηλον ὑπερλάμψειας ὀπωπήν,*
*ὄφρα τεὴν κατὰ γαῖαν ἐπιφρασόμεσθα κέλευθον,* 3
*ἔθνεσι δ' ἀλλοδαποῖσιν ἀλεξίκακόν σεο φέγγος.*
*σὸν κλέος ὑμνήσουσι, μάκαρ πανυπέρτατε, λαοί,* 4
*σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.*
*φῦλα θεῷ κεχαροίαθ', ὅταν λαοῖσι δικάζοις,* 5

---

**31** *εἰροκόπους* $L^1$, cr. $L^2$. — *τε* om. *DM*. — *μύρον* *L*. — *καπνῶν* *O* ac. — **32** *καὶ* addidi. — *κεραλέας* $L^1$, cr. $L^2$. — **33** *σύμπαντες* *DMS*; *ξύμ-* *OΩ*. — **34** *τεκτήναο* *O*. — *μύρια* *M*. — **36** *ἴδοιεν πρ.* *M*. — *πραπήδεσιν* *S*. — *ἑαῖς* *O*. — **37** *μὴ μῦθον* (*μύ-* *O*) *Ω*; *μή μευ θεὸν* *DMS*. — *βοώωντος* *S* ac.; *βοόον-* *D*; *βοάον-* *M*. — *ἀκοῦσαι* *DLMS*, pc. *O*; *ἀκούσαις* *O* ac. — **38** *οὕνεκεν* *O*. — **39** *ἔστρεψεν* $L^2$*Ω*; *ἔκρυψεν* $L^1$. — **40** *αἰνετὸν* *S*. — *ὅσῥ'* *O*; *ὅρος* *DMS*. — *ἔλαιον* $L^1$, cr. $L^2$; *ἔλε σὺ* *M*.

*Υ* 66, **1** *βασιλῆϊος* *OMS*. — **2** *ἑξηκοστὸς* *L*. — *Ψ* 66, **1** *οἰκτειρϊας* *S*. — **2** *σύν* $L^1$, cr. $L^2$. — **3** *ἐπιφρασσόμεθα* *O*; *-ασόμεθα* $DM^1S$, cr. $M^2$. — **4** serius add. *P*. — *ἀλλοδαπῆσιν* *S* ac. — **7** habent *DLS* (*κεχαροῖαθ'* *S* — *ὅταν* *DL*, *ὅτ' ἂν* *S*, *ὃς ἐν* *L* im. — optativum tuentur 13, 24. 52, 15); *ἔθνεά τοι κεχαροίατ' ἀγαλλόμενα* (cf. Lch[1] 53. Ritter 29. 31. Rzach[1] 751) *μολπῇσιν* (*ψαλμοῖσιν* *P*), | *οὕνεκεν* (*εἵν-* *PR*) *εὐδικίῃσι κρινεῖς μεροπηΐδα*

ἔθνεσι δ' ἡγήσαιο φίλην μετὰ γαῖαν ὁδεύειν.
σὸν κλέος αἰνήσουσι, μάκαρ πανυπέρτατε, λαοί, 6
σὸν κλέος ἀμφιβόητον ὅλοις λαοῖσι μελέσθω.
καρπὸν ἀνεβλάστησεν ἑὸν φυσίζοος αἶα· 7
ἡμέτερος θεὸς ἄμμι πόροι χαριέστατον αἶνον,
αἶνον ἄναξ πόροι ἄμμι, τρέσοι δέ ἑ πείρατα γαίης. 8

## ξζ' (67)

*Δαυίδου πινυτοῦ μελέων βεβοημένος ὕμνος* 1
*ἑξηκοστὸν ἔχων ἑβδόματόν τε τόπον.*

Ἄφθιτος ἀνστήτω, σκέδασιν δ' ἐχθροῖσιν ἐνήσει, 2
δυσμενέες δ' ἀπάνευθεν ἑῆς προφύγοιεν ὀπωπῆς·
ὧδε μάλ' ἐκλείποιεν ἀμήχανος ἠύτε καπνός· 3
ὡς δ' ὅτε τηκόμενος φλογερῷ πυρὶ κηρὸς ἀμερθῇ,
ὣς ὁσίων ἀπολοίατ' ἀπὸ βλεφάροιιν ἀλεῖται.
αὐτὰρ ἐυφραίνοιντο δίκης ὑποφήτορες ἄνδρες 4
αἰεὶ θεσπεσίων κεχαρηότες ἀντίον ὄσσων,
ἐκ θυμοῦ γλυκερῇσι γεγηθότες εὐφροσύνῃσιν.
ὑμνεῖτε βασιλῆα καὶ οὔνομα μέλψατε θεῖον· 5

---

φύτλην substituunt *Ω*. — 8—10 add. *LPRSv*; om. *ODM*. — ἡγήσαιο *PΩ*; -σεο *LS*. — γρ' ἔθνεα τ' ἰθύνειας ἐν χθονὶ πουλυβοτείρῃ ss. *P*. — **9** αἰνήσουσι *L*, ss. *P*; ὑμνήσουσι *P* it.; αἰνήσουσιν αἰνήσασι sic *S*. — **13** ἄμμιν τρέσσει *O*. — τρέσει *DM*; -σῖ *S*. — δέ σε *D*; δή σε *M*.

*Υ* 67, **1** δαβῖδος *R*. — πινυτὸν *M*; -τὸς *P*; -τόν τε *R*. — μελέων *OΩ*; -έον *a*; μέλος *MR*; ὕμνος *P*. — βεβοημένος *OL*²; βεβολη- *L*¹*Ω*. — βεβολημένον ἦτορ *P*. — ὕμνοις *MR*. — **2** ἔχων *Ω*; ἔφη *R*. — τόπον *Ω*; δ' ἅμα *R*. — *Ψ* 67, **1** ἄφθιτον *D* ac. — σκεδάσειε *L*. — δ' om. *PR*. — ἐνήσει *Ω*; ἀν- *DM*; ὀν- *S*; ἐνήσοι *gm*; ἑοῖσι *L*. — **3** ἐλλείποιεν *O*; ἐκλείπειεν *M*. — **5** ὡς *LMS*. — ἀπο *OL*. — βλεφάροιϊν *DMP*; -ροιν *S*; -ροισιν *L*²*Ω*; -ρσιν *L*¹. — ἀλεῖτε *S* ac. — **6** αὐτὰρ ἐΰφρ. (ἐϋ ir. *M*²) *M*; αὐτὰρ εὐφρ. *OΩ*; ἀλλά τοι εὐφρ. *Rv*. — ὑποφήτορ' *LS*. — **7** κεχαριότες *LS*; κεχηνότες *O*. — **8** γλυκεροῖσι *ODS*, ac. *M*. — **9** ὑμνεῖτε *OΩ*; ἄσατε τὸν *PR*; ἄ- τὸν *v*; an ὑμνεῖτ' οὖν β.? ὑμνεῖτε κρατέοντα?

τεύξαθ' ὁδὸν χαρίεσσαν ὑπὲρ δύσιος βεβαῶτι.
ἄφθιτος, ἄφθιτος οὗτος, ἄναξ δέ οἱ οὔνομ' ἐτύχθη,
καί οἱ θεσπεσίοιο πέλας κεχάροιτο προσώπου.
πάντες ὀρινέσθωσαν ἑῆς διὰ τάρβος ὀπωπῆς 6
χηρῶν ἡγεμόνος καὶ ὀρφανικῶν γενετῆρος·
ἄχραντος δαπέδοισιν ἐπ' ἀχράντοισι μέμηλεν.
αὐτὸς μουνοτρόποισι χαρίζεται οἰκία ναίειν, 7
ἐκ δ' εὐηνορίης πεπεδημένον ἑσμὸν ἔλυσεν,
ἐκ δὲ τάφων φθιμένους βιοτῆς μετὰ φέγγος ἀγινεῖ.
ἆ βάλε πῶς τὸ πάροιθεν, ἄναξ, ἡγήσαο λαῶν, 8
πῶς ποτε κυδῆεν δάπεδον μεθέπεσκες ἐρήμου.
χθὼν μὲν ὅλη δεδόνητο, κατείβετο δ' οὐρανὸς αἴθων· 9
ἄντα θεοῦ Σίναον δὲ πολύλλιτον οὖδας ἀκούει,
ἄντα θεοῦ βασιλῆος, ὃς Ἰσραῆλον ἐρείδει.
ὑετὸν ἐσθλὸν ἑκών, βασιλεῦ, χθονὶ σεῖο προπέμποις· 10
καὶ γὰρ ἀνεστήριξας ὀιομένην ἀπολέσθαι·
καί μιν φῦλα τεῆς ἀγέλης περιναιετάουσι· 11
πτωχῷ μειλιχίαις ἐπιτάρροθος ἦλθες ἑτοῖμος.
καρτερὰ σημαίνουσιν ἄναξ ἔπος ἰθύνειε, 12
τηλυγέτου σθενέων ἡγούμενος υἱέος ἐσσήν, 13

---

**10** τεύξασθ' *O*; -ξανθ' *M* ac. — **11** ἄφθιτος ἄφθιτος $L^2Ω$; ἄφθιτος $L^1$. — **12** κεχαροίατο *P*. — προσώπ]ου pc. $L^2$. — **14** ἡγεμῶνος *S*. — ὀρφανίης *O*. — **16** αὐτὸς *OΩ*; οὗτος *DLMS*. — μονοτρόποισι $OL^1M$; -σιν *S*. — ναίειν *OΩ*; μίμνειν *DLM*; μήμ- *S*. — **17** ἐμὸν *O*. — **18** φθιμένοις *gm*. — φέγγεος *P*, pc. *R*. — ἀγινεῖ *Ω*, ss. *P*; ἀγη- *O*; ἕλκει it. *P*; ἄγει *R*, ss. *P*. — **19** ἆ βάλε $M^2$ (v. Herodian. 2, 17, 1); ἀβάλε *Ω* (α- $OM^1$); ἀββάλε *v*; ἄββαλε *m*: cf. Naeke[2] 156. Schneider[2] 620. — λαὸν *DM*. — **20** πῶς τε κηδ. *O*. — πότε *LM*. — μεθέπεσκες $L^2P$; μεθέπες $L^1$; μέθεπες *DM*; μεθέπεσκεν *Ω*. — **22** post 23 collocant $DL^1MS$, cr. $L^2$. — ἀκούει *OΩ*; -οι *PRv*. — **23** ἰσδραῆλος *M*. — **24** προπέμπεις *L*. — **25** οἰομένην *O*. — **26** περιν$^{αι}$εετάουσιν *S*. — **27** μειλιχίης *P*; -ίης *Ω*; -ίη *R*. — **28** ἔπος ἀναξ (ss. β α) *O*. — **29** τηλυγέτους *DMS*.

υἱέος, ὅς δὴ σκῦλα δόμου μοιρήσεται ἐσθλοῦ.
εἴ κεν μεσσάτιοι κλήρων κατακοιμηθῆτε 14
ἀργύρεα τρήρωνος ὅπως πτερὰ καλὰ πελείης,
ἧς χλωρὴ χρυσοῖο μετάφρενον ἀμφέβαλ' ὥρη·
ἀθανάτου πέμποντος ἑοὺς βασιλῆας ἐπ' αὐτῇ, 15
ἐν Σελμῶνι χιὼν σφέτερον δέμας ἀμφικαλύπτοι.
θεῖον ὄρος πολυανθὲς ὄρος μάλα πῖον ἐτύχθη, 16
πῖον ὄρος πηχθέντι πανείκελον ἔπλετο τυρῷ.
τίπτέ μοι, οὔρεα, πάγχυ δοκεύετε τυρώεντα; 17
τοῦτ' ὄρος, ἧχι θεὸς καταθύμια δώματα ναίει·
κεῖσε μάκαρ κλισίην σθεναρήν ἑο πάντοτε πήξει.
μυρίον ἅρμα θεοῦ, πολέες δ' ἀμφ' αὐτὸ χορευταί· 18
ἔνθα, μάκαρ, Σινάοιο μετ' ἀχράντοιο θεμέθλοις
ὑψοῦ ἀειράμενος ληίσσαο ληίδα πολλήν· 19
αὐτὰρ ὁ δωτίνας μεροπηίδος εἷλε γενέθλης·
καὶ γὰρ ὑπερβασίῃ περιναιέμεν ἠρνήσαντο.
αἰὲν ἄναξ ἀγαθὸς καὶ ὑπέρτατος αἰνετὸς ἔστω, 20
αἰνετὸς αἰὲν ἄναξ κεκλήσεται ἦμαρ ἐπ' ἦμαρ·

---

**30** cum γρ´ ss. *P*. — δὴ $O^3$; διὰ $O^1$*Ω*. — δρόμου sic *O*; δόμος *DMPS*; δόμοιο *L*. — μοιρήσεται *Ω*, ir. $L^2$; μοι ῥή- *D*; ῥύσεται *S*. — ἐσθλοῦ *ODLS*; ἐθ- *MP*; ἐσθλῷ *Ω*. — σκῦλα δόμου διελέσθαι (μοιρήσεται *R*) ὡραιότητι ἑῆος (ἰδίᾳ *R*) substituunt *PR* it. — **31** κλήρον *S*; κλῆ- *DLM*. — **32** καλὰ πτερὰ *OPR*. — **33** ὡς (ω rubr.) *O*. — χλωροὶ *LS*. — ἀμφ' ἔβαλ' *L*; ἀμφίβαλ' *MPR*. — ὥρης *O* — **34** αὐτούς *S* ac. — **35** σελεμῶνι *O*. — ἀμφικαλύπτοι *DLM*, pc. *S*; -τει *Ω*, ac. *S*; ἀμφεκάλυπτον *O*. — **37** πῖον ὄρος] v. Naeke[2] 59 Schneider[1] 338. — **38** πάγχυ *DLMS*; πάντα *OΩ*. — δοκεύεται *S*, ac. *D*. — τυρόεντα *OL*; τυροό- *R*. — **39** τοῦθ' ὄρος $L^1$; τοῦθ' ὅ- *S*. — **40** πήξῃ *O*. — **41** δ' ἀμφ' αὐτὸ (-ὸ pc. $L^2$) *LS*; δ' ἀμφ' αὐτῶ *DM*; δ' ἐπ' αὐτᾷ *O*; δὲ ἐπ' αὐτὸ *PRv*, ss. $L^2$; δὲ παρ' αὐτὸ Ritter 21; δ' ἐπὶ τοῦτο Scheindler[1] 907. — χορευταί *OΩ* (-εύται *PR*, -εῦται *a*); -εύεται *M*. — **43** ἀειράμενος $L^2$; -όμενος $L^1$*Ω*. — ληΐσσαο $L^1$; -ΐσσατο *D*$L^2$*MS*; -ΐσατο *Ω*. — **44** ὁ *m*; ὃ *Ω*, Ps.-Draco p. 39, 23 (v. Schneider[2] 758 sq.). — **46** αἰνετὸς om. *P*. — ἔστῳ *M*; ἐτύχθης *O*. — **47** αἰὲν om. *O*.

*φέγγεος ἡμετέροιο διαμπερὲς ἡγεμονεύοι.*
*ἔργον ἐμῷ βασιλῆι πέλει χατέουσιν ἀρήγειν·* 21
*μοῦνος ἄναξ δεδάηκε καὶ ἐκ θανάτοιο σαῶσαι.*
*ἔμπά γε μὴν σφετέρων δηίων θραύσειε κάρηνα,* 22
*ἀκρόκομον κορυφήν, οἷς ἐν φρεσὶ θυμὸς ἀλείτης.*
*εἶπεν ἄναξ· „Βασάνηθεν ἐπιστρέψαιμι πεποιθώς,* 23
*αὖτις ὑπ' ἀτρυγέτοιο παλίσσυτος εἶμι θαλάσσης,*
*ὄφρα τεὴν τέγξειας ἀκήρατον αἵματι πέζαν,* 24
*ἀντιβίων σέο γλῶσσα κυνῶν σεθεν ἠδέ οἱ αὐτοῦ."*
*ἀμφαδίην, ἄχραντε, τεὰς βροτοὶ εἶδον ἀταρπούς,* 25
*ἴχνια παμβασιλῆος ἐπ' εὐαγέεσσι θοώκοις.*
*ἄσσον ἀειδόντων μετεκίαθον ἡγεμονῆες,* 26
*μελπομένων τυπάνοισι μέσοι διὰ παρθενικάων.*
*πιστὸν ἐνὶ κλισίῃσι, φίλοι, κελαδήσατ' ἄνακτα,* 27
*ἄφθιτον ἐκ πηγέων ἀγανόφρονος Ἰσραήλου.*
*κεῖσε Βενιαμίνοιο μεταχρονίη πέλεν ἥβη,* 28
*τῶν δ' ἔσαν ἡγητῆρες, ὅσοι πάρος ἦρχον Ἰούδα,*
*Ζαβουλῶνος ὁμοῦ πρόμαχοι καὶ Νεφθαλίμοιο.*

---

**48** *ἡγεμονεύοι O*; *-ει Ω*. — **49** *πέλει* $L^{2}$*Ω*; *πόλει OD*$L^{1}$*MS*. — **50** *δεδάηκε καὶ* $L^{2}$*Ω*; *κεκλήσεται* $L^{1}$; *-ήσεται καὶ* $M^{2}$; *-ύσεται καὶ D*$M^{1}$ (*καὶ* del. ? *S*). — *σαῶσαι* $L^{2}$*Ω*; *-ώσειν* $L^{1}$; *-ώσοι DM*: *-ώσϊ S*. — **52** *ἀκροκόμον Ω* (*κόμον* iteratum *D*); *-μος M*; *-μου PR*. — *ἐν DLMScgm*; *ἐνὶ OΩ*. — **53** *βασανῆθεν* $L^{2}$ (*-ανηθὲν* $L^{1}$?); *-ανηθεν S*; *-ανισθεὶς O*. — *πεποιθὸς M*. — **54** *αὖθις Ω*. — *ἀπ' m**. — *παλίσσυτος εἶμι v*; *-τος εἰμὶ Ω*; *-τός εἶμι OP*. — **56** *σέθεν Ω*; om. *O*. — *ἠ δέ* (*δὲ*) *OD*$L^{1}$*MS*, cr. $L^{2}$. — *αὐτῷ OP*. — **58** *παμβασιλῆος D*$L^{1}$*M* (*-εῖος S* ac.); *βασιλῆος O*; *τοῦ βασ-* $L^{2}$*Ω*. — *ἐπ' Om**; *ὑπ' Ω*. — **59** *ἄσσων S*; *ἆσσον Ω*. — **60** *τυπάνοισι DSv*; *τυμπ- OΩ* (*-σιν P*). — *μέσοι* om. *PR*; *-ον O*. — *διὰ Ω*; *δὲ O*. — **61** *ἐνικλησίησι S*. — *φίλοι OΩ*; *-ον Rv*. — *κελαδήσατ'* $L^{2}$*Ω*; *-ῆσαι D*$L^{1}$*MS*. — *ἄνα O*. — **62** *πηγέων* $L^{1}$*Ω*; *-γῶν* $L^{2}$. — **63** *'κεῖ||||||* (ras.) *L*; *κεῖσαι S*. — *Βενιαμίνοιο* scripsi; *βενιαμ]ήνοιο* pc. $L^{2}$; *βενιαμίνη PR*; *βενιημίνη O*; *βενια-*(ï)*μήν S*; *-μὶν DM*; *-μίνη δὲ v*. — *μεταχρονίη DLS*; *μετὰ χρ- Ω*; *μετὰ δὲ χρ- PR*. — *πέλει O*. — **65** *ζαβΰλῶνος M*.

*κάρτεϊ τιμήεντι τεῷ ἐπιτέλλεο, ποιμήν·* 29
*ἄμμι, τό περ τέκτηνας, ἐυσταθὲς ἄλκαρ ἐρείδοις.*
*εὐαγὲς ἐκ νηοῖο μετεσσύμενοι τεὸν ἄστυ* 30
*δῶρα πολυκλήεντι θεῷ βασιλῆες ἀγέσθων.*
*θηρσὶν ὀρεσσικόμοις δόνακος τρήχυνον δμοκλήν·* 31
*δημοτέρας δαμάλας μετανίσσεται ἔθνεα ταύρων,*
*ὄφρά κεν ἐξείργοινθ', οἷς ἀμφαδὸν αἶνος ἐτύχθη.*
*φῦλα βροτῶν, ἄχραντε, φιλοπτολέμων κεδάσειας·*
*λισσόμενοι σπεύσουσιν ἀπ' Αἰγύπτοιο πολήων,* 32
*χεῖρας δ' ἀθανάτῳ τανύσει γένος Αἰθιοπήων.*
*κοιρανίαι, βασιλῆα λιγαίνετε πάντοθεν αἴης,* 33
*εὐκελάδῳ κιθάρῃ φορμίζετε ποιμένα κόσμου,*
*μέλψατε [δ'] ἀντολίης πόλον ἐκ πόλου ἐμβεβαῶτα·* 34
*αἶνον ἀποφθέγξοιντο φίλον ζωαρκέϊ φωνῇ.*
*κῦδος ἀπειρέσιον κελαδήσατε παμβασιλῆι·* 35
*αἰὲν ἐπ' Ἰσραῆλον ἔχει μεγαλοπρεπὲς εὖχος*
*καὶ σθένος αἰθερίῃσιν ὁμοῦ νεφέλῃσιν ἀγητόν.*
*ἀθάνατος θηητὸς ἑοῖς ὁσίοισι μεμηλώς·* 36
*ἀλκὴν καὶ σθένος ἐσθλὸν ἄναξ πόροι Ἰσραήλῳ.*
*πάντοτε παμβασιλεὺς ἀριδείκετος αἰνετὸς ἔστω.*

---

**66** *ἐπιτάλλεο S*, ac. *L*. — **67** *ἐΰσταθὲς Lv*; *εὐ- OΩ*. — **68** *μετεσσύμενοι OΩ* (*μετέσσ-* $L^{2}$); *-υμένοι O*; *μαλ' ἐσσύμενοι DM* (*-υμένοι* $L^{1}$); *μελεσύ- S*. — **69** *πολυκλύεντι DLMS*. — **70** *ὄρεσι κόμοις S*. — *δόνακας S*; *-τος M*. — *ὁμοῦ κλήν* $L^{1}$, cr. $L^{2}$. — **72** *ὄφρα μεν M*. — *ἐξείργειυθ S*. — *ἑοῖς DM*; *ε- S*. — *ἀναφανδὸν O*. — *αἶνος* $L^{2}$ ss., *OP* im.; *ὦνος* $L^{1}$*Ω*. — **73** *ἄχραντε* (ex *-τα*) pc. $L^{2}$; *-ατε O*; *ἄρηντε M* (*ἀ- D*). — **74** *σπεύδουσιν PR*. — *αἰγύπτϊο S*; *-τιοι R*. — *πολΐων LS*; *πηλῆ°ων M*. — **75** *χεῖρα O*. — *ἐκθιοπήων S* ac. — **76** *λιγένεται S*. — **77** *φορμίζεται S*. — **78** *δ'* add. Volkmann 34. — *ἀντολίη O*. — **79** *φίλον O*; *-ων S* ac. — **81** *ἰσραήλου S* ac. — *ἔχοι m**. — **82** *νεφέλῃσιν PRv*; *-έεσσιν OΩ*; *νενεφέεσιν S*; an *αἰθερίοισιν ὁ. νεφέεσσιν* ? — **83** *θηητὸς* $L^{2}$*Ω*; *αἰνετὸς* $L^{1}$. — *ὁσίοιςσϊ DM*. — **84** *καὶ OΩ*; *δὲ a*. — **85** *παμβασιλεῦ S*; *-εὺ* $M^{1}$, cr. $M^{2}$ im.

## ξη' (68)

*Δαυίδου κραδίης ὕμνος ἀμειβομένης* 1
*ἑξηκοστὸν ἔχων ὀγδόατόν τε μέλος.*

*Ἐξ ὑδάτων με σάω, βασιλεῦ, τά μευ ἄμφεπεν ἦτορ.* 2
*βυσσῷ ἐν ὑλήεντι παγεὶς βιότοιο χατίζω,* 3
*νισσόμενον πόντοιο βυθὸν κατά μ' εἷλε καταῖξ.*
*καρφαλέον βοόωντος ἐμὸς τρηχύνετο λαιμός,* 4
*ὤλετο φέγγος ἄνακτα θεὸν δεδοκημένου ὄσσοις.*
*οἵ με μάτην στυγέοντες ἐμῶν πλέον εἰσὶ κομάων,* 5
*οὕς τ' ἀδίκως τρομέεσκον ἀπεχθέας, ἄλκιμοί εἰσιν·*
*ἀφραδέως ἅρπαγμα, τὸ μὴ μάθον, αὐτὸς ἔτισα.*
*οἶδας, ἄναξ, ὅσ' ἔρεξα χαλιφροσύνῃσιν ἐμῇσιν,* 6
*οὐδὲ τεῆς ἔκρυφθεν ἀτασθαλίαι μευ ὀπωπῆς.*
*μή ποτ', ἄναξ, ἕλοι αἶσχος, ὅσοις θεὸς ἔργον ὁρᾶσθαι,* 7
*μηδὲ θεὸν ποθέων τις ἀνὴρ μωμητὸς ἀκούσῃ.*
*εἵνεκα σοῦ βασιλῆος ὀνείδεα τέτλαθι, θυμέ·* 8
*τλήσομαι, εἴ κεν ἔρευθος ἐμὸν ῥέθος ἀμφικαλύψοι.*
*ἀλλοδαπὸς γενόμην καὶ ἐμῶν ἄκληρος ὁμαίμων* 9
*καὶ ξεῖνος γλυκερῆς καὶ ἐνηέος υἱάσι μητρός,*

---

Υ 68, **1** *ἀμειβομένοις M.* — **2** *ἐκκοστὸν M.* — *ἔχον P.* — *τέλος DS.* — Ψ 68, **1** *σάωσον DMS.* — **2** *ὑλήεντι OΩ*; *ἰλυόεντι P* (Hoeschel.). — *χατίζων PR*, ac. *D.* — **3** *νισόμενον LS*; *νεισσό- $M^2$*; *λισσό-* (λ rubr.) *O.* — *πόντ]οιο* ir. *$L^2$*; *-τιον DMS.* — *βυθὸν OΩ*; *-θῷ PRv.* — **4** *καρφαλέον OLS*; *-έων M*; *-έως DΩ.* — **5** *ὤλετο $L^2$*; *-εσα $L^1$Ω.* — *δεδοκημένου $L^2$*; *-νος $L^1$Ω.* — **6** *οἵ με $L^2$Ω*; *οἱ* (om. *με*) *OD$L^1$MS.* — *στυγέοντας D* ac. — *πλέον Ω*, ac. *L*; *-οι O*, pc. *L.* — **8** *ἀφραδέως $L^1$Ω*; *-δέης O*; *-δίης $L^2$.* — **9** *οἶδ' $L^1$*, cr. *$L^2$.* — *ὅσσ' L*; *ὃς DMS.* — **11** *ὅλοι DM.* — *θεὸν O.* — **12** *μηδὲ Rv*; *μὴ δὲ O$L^2$P*; *μὴ D$L^1$MS.* — *ποθέοντες τὶς M.* — *ἀκοῦσ$\overset{\eta}{\alpha\iota}$ M.* — **13** *τέτλαθι θυμὲ DLMS*, cum *γρ´ P*; *τέτλαθμεν O*; *ἔτλην θυμῷ P*; *τετλήκαμεν Rv* (v. Lch[1] 54). — **14** *πλήσομαι* (π rubr.) *O.* — *εἴ κεν $L^1$Ω*; *εἵνεκεν O*; *εἵνεκ' $L^2$PR.* — *ἀμφικαλύψοι OΩ*, pc. *D*; *-ψωι D* ac.; *-ψη P* pc., *R*; *-ψει P* ac.; *-ψῃ v.* — **15** om. it. *$O^1$*, add. im. *$O^2$.* — *ἐμῶν $L^2$*; *ἐμοὶ $L^1$*; *ἐμοῖς PRv*; *ἐμὸς ODMS.* — *ὁμαίμων ODMS*; *-μοις Ω.*

*οὕνεκα δαρδάπτων με τεοῦ πόνος εἷλε μελάθρου,* 10
*σεῖο δ' ἐπεσβολίῃσιν ἐμὴν φρένα δάκνομαι ἐχθρῶν.*
*νηστείης καμάτοισι κατέκλασα θυμὸν ἐμεῖο,* 11
*καὶ τό με νηστεύειν ἐπ' ὀνείδεσι τεκταίνοντο·*
*πέπλον ἐμὸν χαρίεντ' ἐθέμην ἅτε πένθιμον εἷμα,* 12
*ἀλλὰ καὶ ὧς γενόμην σφετέραις γλώσσῃσι λάλημα.*
*ἀμφ' ἐμέθεν μέλποντο καθεζόμενοι πρὸ πυλάων,* 13
*εἰς δ' ἐμὲ φορμίζεσκον ἅλις βεβαρηότες οἴνῳ.*
*αὐτὰρ ἐγὼ κάλεόν σε διηνεκέως λιτανεύων·* 14
*καιρός, ἄναξ, ὅτε δή μοι ἑκὼν ἀναφανδὰ παρείης.*
*κλῦθι τεῆς ἐλεημοσύνης παμπληθέι ῥοίζῳ,*
*σεῖο δ' ἀληθείης μοι, ἄναξ, μέγα φέγγος ὀπάζοις.*
*ἐκ πηλοῦ με σάωσον, ὅπως διὰ τέλμα φύγοιμι·* 15
*ῥύεο δυσμενέων με, μάκαρ, βυθίων τε ῥεέθρων,*
*μή κέ ποθ' ὑδατόεσσα καταβρώξειε κατάϊξ* 16
*μηδέ με λευγαλέος βρύχιον βυθὸς ἔνδοθι μάρψῃ*
*μηδέ μοι ἀμφιβάλῃσιν ἑὸν στόμα βόθρος ἀπείρων.*
*κέκλυθι μειλιχίῃ φορέων οἰκτίρμονα θυμόν,* 17
*πλήθεϊ δ' οἰκτιρμῶν πανεπίσκοπον ὄμμα τιταίνοις·*

---

**17** *πόνου* DL[1]MS, cr. L[2]. — *μελά*<sup></sup> (θρ ss.) S; *-άθρων* L; an *τεῶν . . μελάθρων*? — **19** *νηστείοις* L, ac. S. — *ἐμοῖο* O. — **20** *τό με* (*γε* P) *νηστεύειν* Ω; *τὸ, μεταστένδ'* O; *τὸ μεταστεύδην* L[1], *ένδειν* ss. L[2]; *τὸ μεταστέβδην* DS; *τό με σὲβδην* M; an *τὸ μεταστείνειν*? — *ὀνείδεσσίν μοι ἐτύχθη* P. — **21** *χαρίεντ' ἐθέμην* DLM (*-μϊν* S); *-εντα θέμην* OΩ. — **22** *ὢς* Ω. — *σφετέραις* L; *-ρῃς* (*-ρης*) Ω. — *γλώσσης τε* PR. — **24** *βεβαρηότες* pc. L[2]; *βεβάρητ'* S. — **25** *κάλεσκόν* D(L[1]?)S; *καλέ̆σκόν* (ε ss.) M. — *με* S ac. — **26** *ἀναφανδὸν* DM; *-δῶν* (ο ss.) S. — **28** *ἄναξ* om. O. — **29** *μ' ἐσάωσον* R. — *φίγγοιμι* S. — **30** *με* om. O. — **31** *κέ ποθ'* (*κε πόθ'*) Ω; *με ποθ'* m*; *ποτε* P. — *ἡδατόεσα* S. — *καταβρώξειε* Ω: v. ad Hom. δ 222. — **32** *λευγαλέως* DLMSm. — *ἔνδοθεν* O. — **33** *μοι* OL[2] (Scheindler[1] 907); *με* L[1]Ω. — *ἀμφιβάλῃ γε* PR. — **35** *οἰκτίρμων* LS; *-τίρμον* O; *-τείρμων* DM. — *πανεπίσκοπος* M. — *τιταίνοις* L[2]Ω; *-νῃς* L[1].

*μή ποτέ μοι σέο παιδὸς ἀποστρέψειας ὀπωπήν·* 18
*αὐτίκα τειρομένοιο, μάκαρ πανυπέρτατ', ἀκούσαις.*
*ὄμμασι νωίτερον πανδερκέσι θυμὸν ἐρύκοις,* 19
*εἵνεκεν ἡμετέρων δηίων, βασιλεῦ, με σαώσοις·*
*οἶσθα γὰρ αἶσχος ἐμὸν καὶ ὀνείδεα καὶ μέγ' ἔρευθος·* 20
*ἄντα σέθεν σύμπαντες ἐμῇ μεμελημένοι ἄτῃ.*
*μῶμον ἐμὸς λώβην τε μετὰ φρεσὶν ἔλπετο θυμός,* 21
*οὐδέ μοι ἀλγεινοῖσιν δμήγορος ἤλυθεν ἀνήρ,*
*οὐδ' εὗρον, πόθεν ἄμμι πέλει παραμύθιον ἄτης.*
*βρώματι νωιτέρῳ θυμοφθόρον ἔμβαλον ἰὸν* 22
*καί μοι διψαλέῳ θανατηφόρον ὤπασαν ὄξος.*
*τοῖσι λίνον τεύχοιτο πολύπλοκον ἀντὶ τραπέζης,* 23
*θήρη καὶ δολόεσσα πάγη καὶ μισθὸς ἐπ' ἔργῳ.*
*σφωιτέρην κακότεχνον ἀποσβέσσειας ὀπωπὴν* 24
*καί σφεων ἠνεκέως καμάτῳ κατὰ νῶτα δαμάσσοις.*
*κὰδ δὲ κότον βαρύμηνιν ἐπὶ σφίσι πάντοτε χεύοις,* 25
*καί σφεας ἀμφιβάλοι θολερῆς σεο μήνιος ὁρμή.*
*ἔστω πουλυβότειρα μετὰ σφίσιν αὖλις ἐρήμη,* 26
*μηδέ τις ἐν μεγάροισιν ἑοῖς ναετῆρα κιχάνοι,*
*οὕνεκεν, ὅν ῥ' ἐπάταξας, ἄλις ποθέεσκον ἐκεῖνοι* 27

---

**36** *μοι Ω*; *μευ m**. — **37** *ἀκούσαις Ω*; *-σης DMS*; *-σοις L*; *ἄϊε O*. — **38** *πανδερκέα OR*. — *ἐρείκοις S*, ac. *L*. — **39** *εἵνεκεν OΩ* (*εἴ- D*); *οὕν- PRv*. — **41** *ἐμὴ S*. — **42** *μῶμος* $DL^1MS$, cr. $L^2$. — *λώβην Ω*; *βλάβη* $L^1$, *-ην* $L^2$. — *τε* om. *P*. — *ἔλπετο* $L^2Ω$ (*ἕ- P*); *ἔπλ-* $DL^1S$; *ἔμπλ- M*. — **43** *ὁμηγόρος* $DL^1MS$: cf. *παρήγορος* et Volkmann 75. — *ἤλυθεν* $L^2Ω$; *κλύθεν DM*; *κλῦ- S*; *ἔκλυεν* $L^1$. — **44** *πόθεν* om. *O*. — *πέλοι DM*; *πλέοι S*. — *πανμΐθιον M* — **47** *τοῖς R*. — *τεύχοι τὸ P*. — **48** *μισθὸς* $L^2Ω$, im. *M*; *ἀισθὸς* $L^1$; *ἐσθὸς S*; *ἰσθὸς DM*. — **49** *ν*(rubr.)*ωϊτέρην O*. — *ἀποσβέσσειας Rv*; *-έσειας OΩ*. — **50** *ἠνεκέως* $L^2Ω$; *ϊηκέως* (*δϊ-* pc.) $L^1$; *ϊκέως DMS* (*διηνε* ss. *M*). — **51** *κότων S*. — *χεύοις LM*; *τεύχοις Ω*. — **52** *μήνιος OD*($L^1$?)*MS*; *-ιδος* $L^2Ω$. — **53** *πολυβότειρα O*; *-τηρα S*. — *αὖλις* om. $L^1$, ss. $L^2$; *αὖτλις S*. — *ἐρήμη Ω*; *ἑτοίμη O*. — **54** *ἐν Ω*; *ἐκ R* ac., *α*. — *ἑῆς DM*. — **55** *ὅρ' S*. — *ἐπάταξαν m**.

*πληγαῖς ἡμετέρῃσι καὶ ἄλγεσιν ἄλγεα θέντες.*
*ἀμπλακίην ἐπίραψον ἐπ᾽ ἀμπλακίῃσιν ἑῇσι,* 28
*μηδὲ δικαιοσύνῃ πίσυνοι σέο θῶκον ἱκέσθων·*
*θᾶσσον ἀποσμήχοιντο φερεζώων ἀπὸ βίβλων* 29
*μηδέ ποτ᾽ εὐδικίης ναέταις ἐναρίθμιοι εἶεν.*
*πτωχὸς ἐγὼ τελέθω καὶ κήδεα μυρία πέσσω,* 30
*ἀλλ᾽ ἴσχω βασιλῆος ὑπέρμαχον ἄλκαρ ὀπωπῆς.*
*αἰνετὸν οὔνομα θεῖον ἀνυμνήσαιμι χορεύων* 31
*καί μιν ἀνυψώσαιμι διαμπερὲς αἰνετὰ μέλπων·*
*ἡβητὴν δ᾽ ἀρέσειεν ὑπὲρ μόσχον βασιλῆι,* 32
*ὃς νέον ἡβώῃ πίσυνος κεράεσσι καὶ ὁπλαῖς.*
*πτωχοῦ δερκομένοιο νόος πραπίδεσσι χαρείη·* 33
*ποιμένα δίζεσθε ψυχέων βιότοιο δοτῆρα,*
*οὕνεκεν ἀθάνατος βασιλεὺς ὑπάκουσε πενιχρῶν* 34
*οὐδ᾽ αὔτως μεθέηκε κακοῖς πεπεδημένον ἄνδρα.*
*οὐρανοὶ ἀμφί τε γαῖα χορευόντων βασιλῆι,* 35
*πόντος ἀπειρέσιος καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,*
*οὕνεκεν ἀθάνατος βασιλεὺς Σιῶνα σαώσοι,* 36
*ἄστεα δ᾽ ἀνστήσειεν Ἰουδαίης ἐρατεινῆς·*

---

**56** *πληγῆς* (-ῆς) $L^2\Omega$; *-γῆος S*; *πηγῆος* $L^1$. — *ἡμετέροισι* $L^1$, cr. $L^2$. — *ἐπ᾽ ἄλγεα θ.* ir. *O*. — **57** *ἐπίραψον v*, pc. *L* (*-ρι-* ac.); *ἐπίρρα- ODMPRS*. — **58** *δικαιοσύνην DLS*, ac. *M*. — *θῶκον Ω*; *θ*(ε)*ῶ καὶ M*. — *ἱκέσθων* $L^2\Omega$; *-ον O*; *-ω DS*; *-ῳ M*; *-αι* $L^1$. — **59** *ἀποσμήχοιντο*] cf. Schneider[1] 337. — **60** *μηδέ τις ποτ᾽ S* ac.; *δὴ δέ ποτ᾽ M*. — *εὐδικίῃ*]*σ* ir. *O*. — *ναέταις* $L^2\Omega$; *-τῃς DM*; *-τις* $L^1S$. — **64** *ἂν ὑψ M*. — **66** *ἡβώῃ OΩ*; *-ώει S*; *-ῴη DRv*. — *πίσυνον* pc. *D*. — **67** *πτωχοῦ* $L^2\Omega$; *-οῖς* $ODL^1MS$. — *δερκομένοιο PRv*; *δερκομένοισι Ω* (*δ᾽ ἐρ- S*). — *πραπήδεσι S*. — *χαρίει S* ac. — **68** *ποιμένα τε ψ. βιότου δίζεσθε δοτ.* Hilberg 95; pro interpolato habet Scheindler[2] 436. — *δίζεσθαι MS*. — **69** *ὑπάκουσον O*, ac. *S*. — *πενιχρῶν DLMS*; *-χροῦ OΩ*. — **70** *αὔτως D*, pc. *S*; *αὔ- Ω*; *αὐτῶς M*; *αὖθις S* ac. — **72** *ἀπειρέσιος OΩ*; *-έσσιος* $L^2$; *ἀπείρεσι S*; *-εσσι* $L^1$; *ἀπείρων DM*. — **73** *σαώσοι DM*; *-σῃ* $L^1S$; *-ει* $L^2\Omega$. — **74** *δ᾽ ἀνστήσειεν* $L^2\Omega$; *δ᾽ ἀναστή- O*; *δ᾽ ἀντή-* $DL^1S$; *δαντή-* $M^1$ (im. *ἴσως· δ᾽ οἰκήσειεν* $M^2$).

*καί μιν ναιετάοντες ὅλην κτησαίατο κλήροις,*
*καὶ δμώων σφετέρων γενεὴν σύμπασαν ἐρύξοι,* 37
*ἀμφαγαπαζομένοισι περικτιόνεσσι μελέσθω.*

## ξθ′ (69)

*Τὸν πάντα γινώσκοντα μιμνήσκων θεὸν* 1
*Δαυῖδος εἶπε· „σῶζε δή με, δέσποτα.“*
*ὁ δ’ ὕμνος ἑξηκοστὸς ἔνατος τυγχάνει.*

*Ἄφθιτε, νωιτέρην σκοπιάζεο πάντοτ’ ἀρωγήν.* 2
*αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν μεμάασιν ὀλέσσαι,* 3
*στρεφθείη μωμητὸς ὅ μοι κακὰ βυσσοδομεύων,*
*αὐτίχ’ ἕλοι τοῦσδ’ αἶσχος ἐμῇ κεχαρηότας ἄτῃ.* 4
*χάρμα καὶ εὐφροσύνη ὅσιον γένος ἀμφιπολεύοι·* 5
*πάντοτε βαζόντων μεγαλαυχέα δῶρα θεοῖο,*
*ὁσσάτιοι ποθέουσιν ἀλεξίκακον σέο φέγγος.*
*ἄλγος ἀλεξήσαις πτωχοῦ, μάκαρ, ἠδὲ πενιχροῦ·* 6
*μή ποτε δηθύνειας ἐμοὶ καλέοντι παρεῖναι.*

## ο′ (70)

*Παῖδες Ἰωναδάφου μεγαλήτορος, οἷς τὸ πάροιθεν* 1
*ἐνναέται Βαβυλῶνος ἄγον καταδούλιον ἦμαρ,*
*ἑβδομάτης δεκάδος λιγυρὸν μέλος ἐντύναντο.*

*Μή με καταισχύνειας, ἐπεὶ σύ μευ ἐλπὶς ἐτύχθης·*

---

**76** *γενεὴν OM²*; *-εὴ M¹Ω*. — *σύμπασαν L¹Ω*; *-σα L²*. — *ἐρύξοι Lm**; *-ξει Ω*; *-ξϊν S*; *-ξαι m**.

Υ 69, **1** *μιμνήσκω DMPS*. — **2** *εἶπε OD*; *-εν Ω*. — **3** *ἕνατος MPv*; *ἕνν- ODL²R*; *ἔνν- L¹S*. — Ψ 69, **1** post hunc vs. add. *δέσποτα, θᾶττον ἔμοιγ’ ἐπιτάρροθος ἧκε καλεῦντι L²* im.; *καὶ σπεύδων περίπυστον ἀρωγὴν αὐτίκα πέμψον* serius interiecit *P*. — **2** *ἕλοι Ω* (cf. 70, 27); *ἕλοι δ’ Rv*; *δ’ ἕλοι OP*. — *ὀλέσσαι L²Ω*; *ὀλέσθαι DL¹MS*. — **3** Hom. ϑ 273 *κακὰ φρεσὶ βυσσοδομεύων*. — *βυσσοδομεύων (L¹?)Ω* (*-δεμ- S*); *-μεύει L²* ir., fort. recte. — **4** *ἕλη O*; *ἕμοι S*. — *ἐμὴ* et *ἄτη R*; *ἐμῆς* et *ἄτη S*. — *κεχαριϊώτας LS*. — **5** *ἀμφιπολεύοι Ω*; *-ευοὶ L*; *-εύει OPR*. — **7** *ποθέοντες S* ac. — **8** *ἀλεξήσαις L²Ω* (*-ῆσαις O*); *-ήσας DL¹MS*. — **9** *ἐμὸν MS*.

Υ 70, **1** *ἰωνάθου O*. — **2** *καταδούλιον DL¹MPS*; *κατὰ δ- Ω*; *κάτα δ- m*. — **3** *καὶ βδομάτης δεκάειτος M*. — *ἐντύναντο L²Ω*; *-τι L¹*. — Ψ 70, **1** *ἐτύχθη M*.

σῇ, μάκαρ, εὐδικίῃ περικήδεο καί με φύλασσε, 2
ἐμμαπέως με σάω κλίνας ἀριήκοον οὖας·
νωίτερος θεὸς ἔσσο κατὰ χρέος ἀσπιδιώτης, 3
ἔμπεδος οἷά τις οἶκος, ὅπῃ κακὸν ἔστιν ἀλύξαι,
αὐτὸς ἐμὸν πολύχαλκον ἕδος καὶ ἐυσταθὲς ἄλκαρ.
ῥύεο δὴ παλάμης με, μάκαρ, κακοεργέος ἀνδρός, 4
ἐκ παλάμης ἀδίκου καὶ δυσνομίην ποθέοντος,
οὕνεκεν ἐλπὶς ἐμή, πανυπέρτατε, αἰὲν ἐτύχθης, 5
ἐλπὶς ἀειζώουσα καὶ ἐκ νεοθηλέος ἥβης.
σοὶ περιθαρσήεις ἐκ νηδύος εἰμὶ τεκούσης, 6
αὐτὸς ἐμοὶ σκέπας ἦσθα φίλης ἐν γαστέρι μητρός·
ἐν σοί μευ, πανάριστε, πέλει φιλόμολπος ἀοιδή.
ὡίσθην βιότοιο τέρας πολέεσσι τετύχθαι, 7
ἀλλά μοι ἀλκήεις ἐφάνης μετὰ τοῖσιν ἀρωγός.
πλῆρες ἐμοὶ χαρίεν μελέων στόμα πάντοθεν εἴη, 8
ὄφρα, μάκαρ, σέο κῦδος ἀγήραον ὑμνοπολεύσω
σεῖο πανημέριον μεγαλοπρεπὲς εὖχος ἀείδων.
μή με μεθῇς, ἄχραντε, κακῷ περὶ γήραος οὐδῷ· 9
εὖτε βίην ὀλέσαιμι φίλην, μὴ δή με μεθείης,
οὕνεκά μοι τάδ᾽ ἔφαντο κακοὶ καὶ ἀνάρσιοι ἄνδρες· 10
ψυχῆς ἡμετέρης φύλακες σκέψαντο μολόντες,
ἀθάνατον βάζοντες ἑὸν θεράποντα μεθεῖναι· 11

---

3 ἀρίηκα *S*. — 5 κακόν ἐστιν s. -κὸν ἐστὶν *Ω*. — 6 ἐμὸς *R*. — τε καὶ εὐστ. Scheindler[1] 906. — ἐϋσταθὲς *bc*; εὐ- *Ω*. — 7 με usque ad παλάμης 8 om. *DL¹MS*, add. *L²*. — με μάκαρ *L²* ir.; μάκαρ *O*; βασιλεῦ *PRv*. — 9 πανυπέρτατος et ἐτύχθη *O*: cf. Ritter 15. — 10 ἀεὶ ζώουσα *LP*: cf. Callim. h. Del. 314. — 12 ἐμοὶ *O*; μοι *Ω*: cf. 16. — σκέσας ἧσθα *S*. — 13 ἐν σοί *Ω*; νοσοί *M¹* (im. ἴσως· ναὶ *M²*). — 14 ἰαθην (ἐιά- cr. rubr.) *O*. — 15 ἐφάνεις *L¹*, cr. *L²*. — 16 μοι *O*. — χαρίεν *OΩ*; χάριεν *LPRv*. — 18 ἀείδων *L²Ω*; -δω *DL¹MS*; -δει *O*. — 19 μεθῇς (-ῇς) *Ω*; θῇς *MR*. — οὔδας *S* ac. — 20 ὀλέσαιμι *L²Ω*; -έωσι *D*(*L¹*?)*M*; -έσσιν μὴ *S*. — μὴ δή *DLS*; μὴ δέ *OM*; τότε μή *Rv*, pc. *P*. — 23 ἀθάνατος *M*.

„σπεύσατε καί μιν ἕλεσθε, ἐπεί νύ οἱ οὔ τις ἀρωγός.“
ἀλλὰ σύ, παμβασιλεῦ, μή μεύ ποτε νόσφι τραπείης 12
μηδ' ἀλαοσκοπιὴν ἐμέθεν χατέοντος ἑλέσθαι.
αἶσχος ἕλοι, ὅσοι ἦτορ ἐμὸν βάλλουσι κακοῖσι· 13
μῶμος ἕλοι καὶ ἔρευθος, ὅσοι κακά μοι φρονέουσιν.
αὐτὰρ ἐγὼ βασιλῆι θεῷ περιθάρσυνος εἴην 14
καί οἱ αἰνετὸν ὕμνον ἔτι πλέον ἢ πρὶν ἀείσω·
ἡμέτερον στόμα σεῖο δικαιοσύνην ἀγορεύσει, 15
σεῖο πανημέριον φάος ἄφθιτον ὑμνοπολεύσω
ἐμπορίης ἀδάητος ἐὼν καὶ ἐλεύθερος ἄτης.
θαρσαλέος μετὰ νηὸν ἐλεύσομαι ἀθανάτοιο· 16
σεῖο δικαιοσύνης, βασιλεῦ, μεμνήσομαι οἴου.
ἐξ ἥβης μ' ἐδίδαξας, ἅ περ θέμις, ἄφθιτε ποιμήν, 17
τοὔνεκα θέσκελα ἔργα καὶ ἐς τόδε σεῖο βοήσω.
μή μ' ἀπογηράσκοντα, μάκαρ, πολιόν τε μεθείης, 18
εἰσόκεν ὀψιγόνοισι βραχίονα σεῖο προφήνω,
σὸν σθένος ἀγγέλλων [τε] καὶ εὐδικίην ἐρατεινήν· 19
ὑψίστων ἐτέλεσσας ἕως μεγαλαυχέα, ποιμήν.
τίς νύ τοι ἄλλος ὁμοῖος ἐμοὶ τόσα κήδεα τεύχων;
καί με πάλιν στρέψας βιότου πόρες ἄσπετον ἀλκήν, 20
πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου με καλέσσας.

---

**24** *σπεύσασθε O.* — *οὔ τις O*[3]*Ω*; *οὗτος O*[1]. — **25** *μεύ* om. it., *με* ss. *O.* — **26** *οὐδ' ἀλαοσκοπιὴν* Hom. K 515. — *ἀλαοσκοπιὴν DLMS*, pc. *O*; *-πίην Ω.* — **28** *ἔρευθος L*[1]*Ω* (*ἔλ- M*); *αἶσχος L*[2] ss. — **29** serius add. *P.* — **30** fere = 105, 26: cf. 33, 9. Volkmann 36. Scheindler[1] 905. — *ἔτι Ω*; *πολὺ O*; *ἄσω R.* — *ἡ πρὶν ἀείσω S*; *ἢ πάρος ἄσω P*; *ἢ π- ἦδον R.* — **31** *ἡμετέρου M.* — *σεῖο* om. *O.* — *δικ. ἀγ. σεῖο* om. *DL*[1]*MS* (add. *L*[2]). — **33** *καὶ* om. *O.* — **34** *θαρσαλέως M.* — *ἀθανάτοιο* usque ad *μεμνήσομαι* 35 om. *DL*[1]*MS* (add. *L*[2]). — **36** *μ' ἐδίδαξας L*[2]*Ω*; *με δίδα- DL*[1]*M*; *μέ διδά- S.* — **37** *οὕνεκα O.* — *ἐς Ω*, ir. *L*[2]. — **40** *ἀγγέλων ODMS.* — *τε* add. Volkmann 36. Scheindler[1] 906. — *εὐδικίη S.* — **41** *ποίμνην O.* — **42** *ἐμὸν M.* — **43** *βίοτον PR.* — *πόρ' DMS.* — **44** et 45 om. it., add. im. *O.* — *πυθόμενος* (om. *ἐκ*) *R.* — *με καλέσσας* scripsi; *με καλέσας OL*[2];

*σεῖό μοι εὐδικίης περιώσιον ἔβλυσας ἀλκὴν* 21
*καί μεν ἐπιστρέψας προτέρην ἰήσαο νοῦσον,*
*πυθμένος ἐκ γαίης δνοφερῆς βυθίου με καλέσσας·*
*καὶ γὰρ ἀνυμνήσω σε, μάκαρ, παναληθέι μολπῇ* 22
*μέλπων ἐν κιθάρῃ πανακήρατον Ἰσραήλου.*
*ἀμφὶ σὲ μελπόμενος μέγα χείλεσι γηθήσαιμι* 23
*ψυχή θ', ἥν ῥ' ὀλοῶν, βασιλεῦ, ἀπελύσαο μόχθων.*
*πρὸς δ' ἔτι μευ καὶ γλῶσσα δικαιοσύνην σέο μέλψει,* 24
*εὖτε καταισχυνθῶσιν ἐμὸν διζήμενοι ἄλγος.*

## οα′ (71)

*Τοῦτ' ἄρα παισὶν ἔην ἀνεπίγραφον Ἑβραίοισιν* 1
*ἡδὺ μέλος Σολομῶνι πολυκλήεντι μεμηλός.*
*ἑβδομάτης δεκάδος πέλεται καὶ πρῶτον ἄεισμα.*

*Εὐδικίην βασιλῆι πόροις σέο, φέρτατε ποιμήν,*
*παιδί τε σὴν προΐαλλε δικαιοσύνην βασιλῆος,*
*ὄφρα διακρίνωσιν ἐπ' εὐδικίῃ σέο λαόν,* 2
*πτωχοῖς δ' ἀκτεάνοισι δίκην δικάσωσιν ἀρίστην.*
*οὔρεσιν εἰρήνη σθεναρὴ βουνοῖς τε μελέσθω,* 3

---

-*λέων DL¹MS*; *με κάλεσσας P*; *μ' ἐκά- Rv*. — **46** *νούσων P* ac. — **47** (= 44) add. *OL²PRv*; om. *DL¹MS*. — *πυθόμενος* (om. *ἐκ*) *R*. — *βυθίου Ω*; *αὖτις L²*. — *με καλέσας OL²*; *με κάλεσσας P*; *μ' ἐκά- Rv*. — post **48** serius add. *σκεύεσί τε ψαλμοῖο τεὴν νημερτέα βουλήν P*. — **49** *μέλπων ORv*; *-πον P*; *-ψω DLMS*; an *μέλψω δ'* ? — *ἰσραήλου DL*; *ἰσδρ- M*; *ἰσραῆλον Ω* (*-ήλον S*): cf. 77, 95. — **51** *ψυχή θ' OLS*; *-ή δ' D*; *-ὴ δ' M*; *-ὴν θ' R*; *-ῇ P*; *-ῇ θ' v*. — *ἥν ῥ' Ω*; *ἥν ρ' O*; *ἣν ῥ' P*; *ἥ ῥ' D*; *ἥ ρ S*. — *μόχθων DL¹MS*; *νούσων OL²PRv*. — **52** *δ' ἔτι O*; *δέ τί* (*τι*) *Ω*. — *γλῶσσαν S*. — *σεῖο O*.

*Υ* **71, 1** *τοῦτο M*. — *ἔην Ω*; *ἰουδαίων P*. — *ἀνεπίγραψον L¹*, cr. *L²*; *-φος O*. — *ἑβραίοισι DLM*; *-αίοις R*; *ἦεν P*. — **3** *δεκάδας S*. — *πρῶτον Ω*; *οἷον DM*. — *Ψ* **71, 1** *σεῖο O*. — **3** *διακρίνει O*; an *-νειεν* (et 4 *δικάσειεν*) s. *-νησιν* (et *δικάσῃσιν*) cum *m** ? — **4** *ἀκτεάτοισι DM*; *-άνοισι δὲ O* (*L¹* ?). — *ἀρίστην Ω*; *ἀρήγειν b* (cf. 7); *-γων m*. — **5** *σθεναρὴν S* ac. — *μέλθω* sic *S*.

πτωχῶν δημοτέρῃσιν ὑπ᾽ εὐδικίῃσι δικάζειν 4
ἀκτεάνων θ᾽ ἅμα παισὶν ὀρινομένοισιν ἀρήγειν.
ἐκ ῥηξηνορίης καθέλοι ψευδηγόρον ἄνδρα·
ἠελίῳ φαέθοντι διαμπερὲς ἶσα φαείνοι 5
πάντας ὑπερλάμπων κεραῆς προπάροιθε σελήνης·
ὑψόθεν ἠρεμέων ὡς ὑετὸς εἰς πόκον ἔλθοι, 6
ὡς γαῖαν νιφάδεσσιν ὅτ᾽ οὐρανὸς ἥσυχα βάλλει.
ἔσσεται ἠμέρῃ ἦδε δικαιοσύνης τότε μήτηρ 7
εἰρήνης τ᾽ ἐρατῆς, μήνης σθένος εἰσόκε λάμπει.
ἐξ ἑτέρης ἑτέρην δὲ κράτος τανύσειε θαλάσσης 8
ἔκ θ᾽ ἱερῶν ποταμῶν μετὰ πείρατα μυρία γαίης.
αὐτὸν φῦλα θοῶς γουνάσσεται Αἰθιοπήων, 9
δυσμενέες δέ οἱ ἀμφὶ κόνιν λείξουσι δαμέντες.
οἴσατε, νῆσοι, δῶρ᾽, ἅμα δ᾽ οἴσατε, Θαρσίδος ἀρχοί, 10
ἐκ δ᾽ Ἀράβων Σαβίων τε πολύλλιτα δῶρα φερέσθω.
γαίης μιν βασιλῆες ὅλης ἅμα γουνάσσαιντο, 11
ἔθνεά οἱ παντοῖα ποτὶ ζυγῷ αὐχένα θείη,
πτωχὸν ἐπεὶ παλάμης σθεναρῶν ἀπελύσατο φῶτα 12
καὶ πενίῃ βλαφθένθ᾽, ᾧ μὴ πέλας ἔσκεν ἀμύντωρ.
πτωχοῦ λευγαλέου περιφείσεται ἠδὲ πενιχροῦ 13

---

**6** *δημοτέρῃσιν* (*-ησιν*) *DLMS*; *-οισιν Ω*. — **9** *φαείνει O*. — **10** *σελήνην M*. — **11** *ὑψόθεν* om. *L*[1], add. *L*[2]; *-θϊ OP*. — *ὡς δ᾽ D*(*L*[1])*MS*. — *ὑετὸν Sgm* (cr. *m**). — *εἰς πόκον O*, ir. *L*[2]; *ἐς πό- Ω*; *ἐπὄ- S*. — **13** *ἡμέρα L*; *ἡμετέρῃ DM*. — *ἧδε S*; *ἥ- Ω*; *ἡ δὲ M*; *ἠδὲ R*. — **14** *τ᾽ OΩ*; om. *DLMS*. — *ἐρατεινῆς ODM*; *-είνης S*. — *σθένος* usque ad *δὲ* 15 om. *S*. — *λάμπει Ω*; *-ποι O*; *-πῃ Sv*. — **16** *ἔκ θ᾽ PRv*; *ἐκ* (*ἐ* rubr.) *θ᾽ O*; *ἐκ δ᾽ Ω*. — **17** *αὐτῶν O*; *-ῷ PR*. — *γουνάσσετον S* ac. — **19** *οἴσατε ν. Ω*; *οἴσεται τε ν. DM*; *οἴσετε ν. S*. — *οἴσατε δῶρ᾽, ὦ νῆσοι, ἅμ᾽ οἴσ.* Hilberg 167. — **20** *σαμίων O*. — *πολύλιτα L*; *πολίλλυτα DMS*. — *φερέσθω L*[2]*Ω*; *-θων OL*[1]*PR*. — **23** *παλάμῃς a*. — *ἀπελύσσατο L*; *-ύσαο DMS*. — *φῦλα R* ac. — **24** *πενία O*; *-ίην S* ac. — *βλαφθέντες ὧ* (*ὦ*) *DMS*; *-τα ᾧ L*. — **25** *λευγαλέων L*[1]*S*, cr. *L*[2]. — *ἠὲ DLMS*.

ψυχάς τ' ἀκτεάνων ὀλοῆς ἀπολύσεται ἄτης·
ἐκ τόκου ἔκ τ' ἀδίκοιο βίης σφέας ἁρπάξειε, 14
τῶν δ' ἄρα οἱ κατέναντα φανήσεται οὔνομ' ἀγητόν.
ζήσεται, Ἀρραβίη δὲ γέρας χρυσοῖο κομίσσοι, 15
ἀμφ' αὐτοῦ βασιλῆα λιταῖς καλέσειαν ἀπαύστοις
καί ἑ πανημέριον ἀγαθοῖς μελψαίατο κώμοις.
οὔρεσιν ἀκροτάτοισιν ἕδος κλυτὸν ἔσσεται αἴης· 16
πιότερον Λιβάνοιο φέροι μελιηδέα καρπόν,
ἄστεος ἀντέλλοιεν ὅλης ἅτε χόρτος ἀρούρης.
αἰνετὸν οὔνομα θεῖον ἐπ' ἀλλήκτοισι γενέθλαις, 17
ἠελίου προπάροιθε μένει κλυτὸν οὔνομα θεῖον,
λαμπόμενον καὶ πρόσθε φερεζώοιο σελήνης.
ἀμφ' αὐτῷ τριπόθητον ἕλοι κλέος ἔθνεα γαίης,
ὄλβιστον καλέσειαν ἀεὶ θεὸν ἔθνεα πάντα.
αἰνετὸς αἰὲν ἔφυ θεὸς ἄφθιτος Ἰσραήλου, 18
ὃς καὶ μοῦνος ἀεὶ τελέει περιθαμβέα ἔργα.
αἰνετὸν οὔνομα θεῖον ἐυκλείῃσι μεμηλὸς 19
καὶ νῦν καὶ μετέπειτα καὶ ἐσσομένῃσι γενέθλαις·
γαῖαν ὅλην πλήσειε θεοῦ κλέος· ὧδε γενέσθω.

---

**26** ψυχὰς (om. τ') *DM*. — ἀπολύσσεται *R*; -ύσεαι *DMS*. — **27** ἀδίκιος *S*. — ἁρπάξειε scripsi; ἁρπάσειε *DM*; ἁρπάσειεν *L*; ἁ- *S*; ἁρπάσει *O*; ἐξαρπάσσει *Ω* (-άσει *R*); -άξει *m**. — **28** ἄρά οἱ *DP*; ἀρά οἱ *O*. — κατέναντα *DLMS*; -τι *Ω*. — οὔνομα γητόν *DS*; -μ' ἀλιτρὸν *O*. — **29** ἀρραβίη *PRv*; ἀραβίη (ex -αγβήη cr.) *S*; -ίης *ODL*, ac. *M* (ἀρρα- pc). — **30** λιτῆς (-ῆς) *Ω*. — καλέσειαν *L*²*P*; -σειας *O*; -σειεν *Ω*; -σοιεν *m*. — ἀπαύστῃς *O*. — **31** καὶ ἐπανημέριον *DS*; καί οἱ παν- *OPR*: cf. Rzach³ 407. — **33** φέρει *OPR*. — **35** ἐπ' ἀλλήκτοισι *DM* (ἐπαλλή- *S*); ἐπ' ἀλή- *Lv*; -κτῃσι *OPR*. — **37** notam ⁚· praescripsit *L*² et om. *Σ*: cf. 10. — **39** καλέσοιαν *S*. — **40** = 40, 26. — **41** περὶ θαμβέα *O* pc. — **42** serius τ' post θεῖον inser. *R*. — ἐϋκλείῃσ *L*¹*Mv*; εὐ- *L*²*Ω*. — **43** ἐσσομένοισι *bm*. — γενέθλῃς (-ης) *DLMι* pc. *S*.

## οβ' (72)

*Δαυίδου μελέων μὲν ἐπαύσατο θεσπεσίη φρὴν* 1
*παιδὸς Ἰεσσαίου ἐξ ὀλιγοδρανίης.*
*Ἄσαφος δ' ἀνόρουσε καὶ ἴαχε πνεύματι θείῳ*
*ἑβδομάτης δεκάδος δεύτερον ὕμνον ἱείς.*

*Πῶς τόσον ἰθυνόοις ἀγαθὸς θεὸς Ἰσραήλου;*
*καί κεν ἐμοὶ κλονέοντο πόδες παρὰ βαιὸν ἀνάγκῃ* 2
*καί κέ μευ ἔνθα καὶ ἔνθα κατέρρεον ἴχνια πέζης,*
*οὕνεκα δὴ κατὰ θυμὸν ἐμὸν φθονέεσκον ἀλείταις* 3
*εἰρήνην ἐπιδερκόμενος κακότητος ἐρίθων·*
*τοῖσιν ἄφυκτος ἀεὶ καὶ ἀνόστιμος ἔπλετο πότμος* 4
*καὶ σθεναραὶ μάστιγες ἐπὶ πληγῇσι βαρείαις·*
*ἀνδρομέων καμάτων ἀδαήμονες αἰὲν ἔασιν·* 5
*οὐδὲ γὰρ ἀνθρώποισι κατὰ χρέος ἶσα δαμεῖεν.*
*ἔνθεν ὑπερβασίῃ κραδίης καταβεβρίθασι,* 6
*καί σφεας δυσνομίη ἀθεμίστιος ἀμφιπολεύει,*
*οἷά τε πιαλέη τις ἑὴ προελεύσεται ὕβρις.* 7
*ἔστιχον ἀμφαφόωντες ἑοῦ μελεδήματα θυμοῦ,*
*στήθεσιν ὁρμαίνοντες ἀθέσμια μυθίζοντο,* 8
*οὐλομέναις ὕψιστον ἐπεσβολίῃσιν ἔβαλλον·*

---

Τ 72, **1** *δαυίδος* $L^1$, cr. $L^2$; *-υῖδος DMS.* — post *μελέων* del. *γενέσθω S.* — *μὲν* om. it., ss. *P.* — *θεσπεσίην S*; *-σίων* $L^1$, cr. $L^2$. — **3** *ὅσα φὸς* $M^1$, *ὅ-* $M^2$. — *ἀνόρρουσε O*; *ἀνούρουσε M.* — *θύων O.* — Ψ 72, **1** *ἰσδραήλου M*, ut solet. — **2** *κλονέοιντο O.* — **3** *κέ O*; *κε* $L^2$ (Ritter 16); om. Ω (v. Scheindler[1] 905). — **4** *φθονέεσκεν DM.* — *ἀλείταις* Ω, ir. $L^2$; *-της D*($L^1$?)*MS.* — **5** *εἰρήνη]ν* add. $L^2$. — **6** *ἄμφυκτον* (-ος pc.) *S.* — *ἀνόστιμος* $L^2$Ω (cum *ἴσως* im. $M^2$); *ἀνόστιος* $L^1$; *ἀνόσιος* $DM^1$. — **7** *μάγιστες* it. *L*, cr. im.; *μάστιγαις O*, ac. *D.* — *πληττῇσι S*($L^1$?). — *βαρεῖαι* $L^1$, cr. $L^2$. — **9** *δραμεῖεν DM.* — **10** *ὑπερβασίην DLMS.* — *κραδίην ODLMS.* — *καταβ+βρύθασι L*; *-ήθασι* ac. *S*; *-ίθαϊ O.* — **11** *δυσνομίης O*; *-ην S* ac. — **12** *ἑὴ* Ω; *αἰεὶ O.* — *προελεύσεται PRv*; *προσε- O*Ω. — **13** *ἔστιχεν* $DL^1MS$, cr. $L^2$. — *ἑοῦ* usque ad *ὁρμαίνοντες* 14 om. *M.* — *μελεδήματος P.* — **14** *μήδεσσιν* (μ rubr.) *O.* — **15** *οὐλομένῃς* (-ης) $L^1$Ω; *-οις* $L^2$.

λάβρον ἐὸν στόμα θέντο καὶ οὐρανοῦ ἄχρι πυλάων 9
γλῶσσαν ἀερτάζοντες ὅλης ὑπὲρ ἄντυγα γαίης.
τοὔνεκ᾽ ἐπιστρέψειεν ἐμὸς πάλιν ἐνθάδε λαός, 10
ἤματα δὲ πλήθοντα μετὰ σφίσι πάντα φανείη.
εἶπαν· „πῶς ἄρα ταῦτα θεὺς πραπίδεσσι νοήσει; 11
εἰ δ᾽ ἐτεὸν βασιλεὺς πανυπέρτατός ἐστι νοήμων,
πῶς οἵδ᾽ ἀμπλακίης ὑποφήτορες εὐφραίνονται 12
ἀσφαλέος πλούτοιο διηνεκέως κρατέοντες;“
μὴ τάχα μαψιδίως ὅσιον νόον εἶπα φυλάξαι 13
νιψάμενος καθαρὰς πανακηράτῳ ὕδατι χεῖρας,
ἠμάτιος μάστιγι δέμας δεδμημένος αὔτως, 14
ἠῶθεν κρατεροῖς βεβολημένος ἦτορ ἐλέγχοις.
ὠισάμην· „πόθεν ὧδε περιφραδέως ἀγορεύσω 15
παίδων σῶν γενεῇ, τῇ ὁμῶς κατατήκομαι ἔργοις;“
αὐτὰρ ἐγὼ πινυτῇσι περιφρασάμην πραπίδεσσιν, 16
ἐκ δ᾽ ἐφάνη τόδε μόχθος ἐν ὀφθαλμοῖσιν ἐμοῖσιν,
εἰσόκεν εἰσέλθοιμι θεοῦ πανακήρατον οἶκον 17
καὶ σφετέρων θαλάμων πύματον τέλος ἐξερεείνω.
τοῖσι πόνον δολίων ἀντάξιον ὤπασας ἔργων 18
ὑψοῦ ἀειρομένους πελάσας χθονίοισι θεμέθλοις.
ἐξαπίνης πόθεν ὧδε δάμεν μάλα χηρωθέντες; 19
ἀμπλακίαις σφετέραις ὀλιγοδρανέοντες ὄλοντο.

---

**16** θέντος (om. καὶ) *S*. — **17** αἱρετάζοντα *O*. — ὕπερ *M*. — **20** εἶπαν (ν rubr.) δὲ *O*; εἶπα δὲ $L^1Ω$; εἶπον $L^2$. — πῶς om. $L^1$, ss. $L^2$. — πραπήδεσι *S*. — **21** δὲ τεὸν *S*. — **23** ἀσφαλέος $L^2$; -έως $L^1Ω$. — **25** νιψάμενοι *M*. — **26** αὔτως *Ω*. — **27** κρατερῆς $DM^1S$ (ἴσως· κρατεροῖς ἢ κρατερῶς $M^2$ im.). — **28** ἐϊσάμην (ἐ rubr.) *O*. — **29** τένδων (τ rubr.) *O*. — γενεὴν τῇ *S* ac.; -ῆς τε *m**. — **30** πινυτῇσι (-ῆσι) *ODMm**; -τοῖσι *Ω*. — **32** εἰσσόκεν $L^1$, cr. $L^2$; εἰσεό- *S*. — **34** πόνων *DLMS*, ac. *O*. — ὤπασ᾽ *O*. — **35** ἀειρομένους $L^2Ω$; -νοις $DL^1MS$. — πελάσας *OLS*; πέλα- *Ω*. — θεμέθλαις $L^1$, -λας $M^1$, cr. $L^2M^2$. — **36** ἐξαπίνης δὲ π. $L^1$, cr. $L^2$. — ὧδε om. $DL^1S$, add. $L^2$. — χηρωθέντες *DLPRS*; χαρ- *M*; χειρ- *Ω*. — **37** ἀμπλακίῃς (-ης) σφετέρῃς (-ης) *Ω*.

ὡς δ᾽ ὅτ᾽ ἀνεγρομένων λεχέων ἀλαπαδνὸν ὄνειρον, 20
οὕτω σφωίτερον μετὰ σὴν πόλιν εἶδος ἀμέρδοις,
οὕνεκά μευ βαρύμηνις ἐνὶ φρεσὶ καίετο θυμός, 21
ἡμέτεροι δ᾽ ἤμειφθεν ἀμηχανίης ὕπο νεφροί·
αὐτὰρ ἐγὼ μάστιγι δαμεὶς οὐκ ᾔδεα θυμῷ, 22
κτῆνος ὅπως γενόμην παρὰ σοί, πανυπέρτατε ποιμήν,
σεῖο διηνεκέως ἀγαθοῖς μεμελημένος ὄσσοις· 23
δεξιτερῆς κρατέεσκες ἐμῆς, πανακήρατε, χειρός,
σαῖς ὑποθημοσύναις ἐμέθεν, μάκαρ, ἡγεμόνευσας 24
καὶ σὺν ἐυκλείῃ με κομίσσαο κυδιανείρῃ.
τίς νύ μοι οὐρανίοισι πέλει μετὰ δώμασιν αἶσα; 25
ἢ τί σέθεν κατὰ γαῖαν ἐγὼ πλέον ἤθελον ἴσχειν;
τήκετό μοι κραδίη καὶ ἐμὸν δέμας, ἄφθιτε ποιμήν, 26
νωλεμέως δέ μοι αἶσα τελευτήσασα λέλασται.
σεῦ ἀπονοσφισθέντες ἅδην ἀπολοίατο πάντες· 27
μαχλοσύνης ἀλέγοντας ἀδευκέι δῶκας ὀλέθρῳ.
αὐτὰρ ἐμοὶ βασιλῆι πελασσέμεν ἐσθλὸν ἐτύχθη 28
ἀθανάτῳ τ᾽ ἄλληκτον ἐμὴν θεῷ ἐλπίδα θέσθαι,
ὄφρα πύλαις Σιῶνος, ἄναξ, τεὸν αἶνον ἀείσω.

---

**38** ὅτ᾽ ἀνεγρομένων $OL^2PR$; ὅταν ἐγρ- $L^1Ω$. — **39** οὕτω *ODLS* (οὔ- *M*); -ως *Ω*. — ‘κατὰ?’ Mommsen 266. — μὴν *M*. — **41** ὕπο νεφροί $L^2Ω$; ὑπὸ νε- $L^1$; ὑπόνεφροι *O*. — **42** θυμῶ (ss. όν rubr.) *O*. — **43** παρὰ σοὶ om. *R*. — **45** κρατέεσκες $L^2Ω$; -τέεσκον $DL^1M$; -ταίεσκον *S*. — χειρός *Ω*; θυμός *S* (cum nota ·/·). — **46** σῆς (σῆς) ὑποθημοσύνης (-ης) *Ω*. — ἡγεμόνευσας $L^2gm$; -ονεύσας *Ω*. — **47** σὺν ἐϋκλείη $L^1$ (cf. Mommsen 262); σὺν εὐ- *D*; σὺν μ᾽ εὐ- $L^2$; σὺν ευ- *O*; συνευκλείη *S*; -ης *M*; σῇ εὐκλείῃ *Rv*; σὴν εὐ- *P*; σῇ ἐϋ- Volkmann 36 (coll. 71, 42), Ritter 16, Scheindler[1] 906. — με κομίσσαο *PRv*; μετεκομίσαο (ss. σ) *O*; ἐκομίσαο $DL^1S$; κομίσαο *M*; μετεπέμψαο $L^2$ im. — **48** νύ ex γάρ cr. *R*. — νύ usque ad αἶσα om. *S*. — δώματος *O*. — **52** ἀπονοσφισθέντες *Ω* (ἀπα- *DM* ac.), ss. *P*; ἀπονοσφιθ- *O*; ἀπὸ νοσφιθέοντες *R*; ἀπὸ νόσφι θ- *P*. — **54** πελασέμεν *OLS*; πεπλ- *DM*. — **55** τ᾽ ἄλληκτον *M* (Ritter 19); τ᾽ ἄλη- *OΩ* (Volkmann 34, Scheindler[1] 907); τε (τὲ *a*) ἄλη- *Rv*. — **56** πύλης (-ης) $L^2PRv$; -λη $ODL^1MS$.

## ογ´ (73)

*Ἀσάφου πινυτῆς θεοτερπέος εἴκελος ὕμνος* 1
*ἑβδομάτης δεκάδος ἀμφὶ τρίτος τελέθει.*

*Εἰς τί διηνεκέως ἡμέας ἐξώσαο, ποιμήν,*
*σοῖς δ' ἐπεθωρήχθη ὀίων περὶ πώεσι μῆνις;*
*μνῆσαι σῆς κλισίης, ἧς προκτεατίσσαο μοῦνος·* 2
*αὐτὸς σκῆπτρον ἔρυσο τεῆς βασιληίδος αἴσης,*
*κλεινὸν ὄρος Σιῶνος, ὅθι κλυτὰ δώματα ναίεις.*
*χεῖρας ὑπερβασίῃσι τεὰς σφετέραις ἐπαείροις,* 3
*ὅσσά περ εὐαγέεσσι κακῶς ἐπεμήσατ' ἀλείτης*
*δυσμενέες τ' εὔξαντο τεῆς κατὰ μέσσον ἑορτῆς.* 4
*οὐκ ἐδάησαν ἑὰ σημήια σήματα θέντες,*
*οἷά περ εἰσίθμης στεινῆς βεβαῶτες ἔνερθεν·* 5
*ὡς δρυμὰ τῆσδε θύρῃσιν ἐπέχραον ἀξίνῃσι* 6
*ῥηγνῦντες πελέκει καὶ τέκτονος ἔντεϊ φωτός.*
*πρὸς δὲ σέθεν πρήσαντες ὅλον θεοτερπέα νηὸν* 7
*ἐν χθονὶ θέντο βέβηλον ἀκήρατον οὔνομα σεῖο.*
*ἔννεπον ὃν κατὰ θυμὸν ἀγειράμενοι τάδε πηοί·* 8
*„δεῦρ' ἴτε παύσοντες μάκαρος κατὰ γαῖαν ἑορτάς·*
*οὐδὲ γὰρ ἡμείων σημήιον ἐφρασάμεσθα,* 9

---

Υ 73, 1 *πινυτῆς* $L^1Ω$; *-τοῦ* $OL^2$. — *ἴκελος* $DL^1PRS$, cr. $L^2$; *ἶ-* *M*; *εἴκ°* sic *O*. — **2** *εὐδομάτης* *O*; *εὐδα-* $M^1$, cr. $M^2$. — Ψ 73, **1** *εἰς τί* *ODL*; *ις τὶ* *S*; *ἐς τί* *Ω*; *τίπτε* *P*. — *ἡμᾶς* *O*. — **2** *ἐπιθωρήχθη* *DLS*; *-ρίχθη* *M*. — *πόεσσι* *O*. — **3** *μνήσαο* *PR*. — *προκτεατίσαο* *DLMS*; *προεκτήσαο* *O*. — *μοῦνος* $L^2Ω$; *μῆνις* $DL^1MS$. — **4** *ἔρυσο* $L^1Ω$; *ἔρρυσο* *O*; *ἔρυσω* $L^2$; *ἐρύσω* *PR*. — *αἴης* $L^1$, cr. $L^2$; *ἄσσης* *M*. — **5** *κλειτὸν* *O*. — *ναίης* *O* ac.; *νείης* *S*. — **6** *σφετέραις* $L^2$; *-ροις* *O*; *-ρας* *DLMS*; *-ρῃς* *Ω*. — **7** *κακὸς* *DLS*. — **8** *τεύξαντο* *OL*. — **9** *ἑὰ* *Ω*: cf. Rzach[3] 339. — **10** *εἰσίθμεν* *M*. — *ἔνερθεν* *Ω*; *ἔνδοθεν* *O*. — **11** *ἀξινῆς* *S*. — **12** *ῥηγνῦντες* $OLM^2S$; *-ύντες* $M^1Ω$. — *τέκτονος* $L^2Ω$; *-τοσιν* $L^1$. — *ἔντεϊ* $L^1$; *-εσι* $L^2Ω$; *-εσσι* *O*. — **14** *θέντων* *S* ac. — **15** *ἀγειρόμενοι* *O*; *-ράμενον* *M*. — *τάδε πηοί* $L^1Ω$; *τάδ' ἐπηοί* $OL^2R$; *τάδε πνοί* *DS*. — **16** *δεῦρῖτε* *O*; *δεῦτ' ἴτε* *DM*. — *παύσονται* *S* ac.

οὐκέτ' ἄναξ ϑεὸς ἄμμιν ἐπίσκοπος οὐδ' ὑποφήτης.“
εἰπέ, μάκαρ· τέο μέχρις ἀνάρσιος ὕβριν ὀφέλλει, 10
νωλεμέως δ' ἐρέϑει τεὸν οὔνομα δήιος ἀνήρ;
τίπτε μάλ' ὧδ' ἔστρεψας ἀλεξίκακόν σεο χεῖρα 11
καί σεο δεξιτερὴν μέσσῳ περικάτϑεο κόλπῳ;
ἀνδρομέου καὶ πρόσϑε βίου ϑεὸς αἰὲν ἀνάσσει, 12
ἄμμι δὲ φέγγος ἑὸν τεκτήνατο μεσσόϑι γαίης.
ἔμπεδός ἐστι τεῷ περὶ κάρτεϊ πόντος ἀπείρων· 13
ὤλεσας ἰοβόλων κεφαλὰς ῥοϑίοισι δρακόντων,
ἔϑλασας οὐλομένοιο κάρη κρυεροῦ τε δράκοντος, 14
καί μιν ἑλὼν λαοῖς ϑαλίην πόρες Αἰϑιοπήων.
ῥήξαο χειμερίους ποταμοὺς πηγάς τ' ἀνέτειλας 15
καὶ ποταμῶν κελάδοντα ῥόον τέρσηνας Ἐϑάμου.
ἦμαρ ὁμοῦ σὺν νυκτὶ τεῆς κτέρας εἰσὶν ἀνωγῆς, 16
ἠελίῳ δ' ἀκάμαντι σεληναίην ἅμ' ἔτευξας.
γαίης πείρατα πάντα τεὴ κάμεν ἀκάματος χείρ, 17
εἴαρι δ' ἀμφ' ἱερῷ ϑέρεος καματώδεος ὥρην·
τῶνδε παράμνησαι, βασιλεῦ, ὧν ἔκτισας ἔργων, 18
δήιος εἰ νείκεσσε πάρος βασιλήιον ἀλκὴν
καὶ λαὸς κακόμητις ἄδην ὀρόϑυνεν ἄνακτα.
μή μοι ϑηρσὶ ϑεῷ μεμελημένον ἦτορ ἐάσῃς 19

---

**19** εἶπε *S.* — τεὸς *DM.* — ἀνάρσιον *O.* — **22** δεξιτερῇ (om. μέσσῳ) *S.* — περικάρ$^{\vartheta}$τεο *S.* — **24** τεκτήναο $L^1$, cr. $L^2$; -ναντο *M.* — **25** ἔμπεδος ἔσται *O.* — περὶ κάρτεϊ *LPcm*; πέρι κ- *bg*; περικ- *Ω.* — **26** om. *DEM.* — ὤλεσεν *O.* — **27** ἔϑλασας *Ω*, im. *D*; ὤλεσας (ex 26) it. *D.* — κάρε *D*; κάρα *M*; κέρα *E.* — **29** ῥήξας *L.* — ἀνέστειλας *O.* — **30** ποταμῶν *PRv*; -μὸν *OΩ.* — τέρμηνας $M^1$ (cr. cum ἴσως im. $M^2$). — αἰϑάμου *DMS*; αἰϑάμ *O*; ἰϑάμου *L.* — **31** κτέρας *Ω*; -ρα *M*; κρατερᾶς *O.* — **32** ἠελίου *O.* — **34** ϑέρεως *S* ac.; ϑέρος *M.* — **35** τῶν δὲ *LRa.* — ὧ $M^1$ (ἴσως· ὧν $M^2$ im.). — ἐκτίσαο *R.* — **36** εἰ νείκεσσε scripsi; εἰ νείκεσσι $L^2$; ἐνείκεσσε *O*, pc. *M*; -εσε *DS*, ac. *M*; νείκεσσεν *PR*; νείκεσι $L^1$; ἐν νείκεσσι *v.* — βασιλῆϊ *O.* — **37** κακότητος $M^1$ (im. μη $M^2$): cf. Nauck[4] 388. — ἅδην *L*; ἄ- *Ω*; ἄδδην *O.* — **38** μεμηλημένον ex μεμελ- cr. *S.*

*μηδὲ διηνεκέως ψυχέων λελάθοιο πενιχρῶν.*
*συνθεσίην θεράποντος, ἄναξ, σκοπιάζεο σεῖο,* 20
*ὡς χθονὸς ἔπλησθεν σκοτοειδέες ἀμπλακιάων.*
*οὐτιδανὸν μὴ πάμπαν ἐρευθιόωντ᾽ ἀποπέμψῃς·* 21
*ἀκτέανος καὶ πτωχός, ἄναξ, τεὸν οὔνομα μέλψοι.*
*ἔγρεο, νωιτέρην δὲ δίκην, ἄχραντε, δικάζοις·* 22
*μνώεο, πῶς νείκεσσε πανημέριος θεὸν ἄφρων.*
*μή ποτε λισσομένων γοερῆς ἐπιλήσεαι αὐδῆς·* 23
*πρὸς σέ, μάκαρ, δηίων ὑπερήφανος ὕβρις ἱκέσθω.*

## οδ′ (74)

*Μηδέ ποτε φθείρῃς ἀγαθὰς μελεδῶνας ἀοιδῆς,* 1
*φαίδιμος Ἄσαφος κέκλετο μελπόμενος,*
*ἑπτὰ σοφαῖς δεκάσιν περὶ τέτρατον ὕμνον ἀείδων.*

*Ποιμένι τιμήεντι θεουδέα λέξομεν ὕμνον,* 2
*μέλψομεν εὐχόμενοι κλυτὸν οὔνομα παμβασιλῆος.*
*μυρία θαύματα σεῖο περιφραδέως ἀγορεύσω·*
*εὖτε φανῇ σεο καιρός, ἐγώ, μάκαρ, ὀρθὰ δικάσσω.* 3
*πᾶσιν ὁμοῦ ναέτῃσιν ἑοῖς κατατήκεται αἶα,* 4
*κίονας ἀκαμάτους σφετέρας ἐγὼ ἐστήριξα.*

---

**39** *ψυχῶν DS*; *φυγῶν M*. — **41** *σκοτοειδέες PRv*; *-έος ODLMS*. — **42** *ἐρεθιόωντ᾽ $DL^1S$*; *-όων M*; *ἐρῦθιόωντ᾽ $L^2$*. — **43** *καὶ* om. $L^1$, ss. $L^2$. — *μέλψοι Ω*; *-ψει OLP*; *-ψῃς M*. — **44** *ἄγρεο* (*ἄ-* rubr. *O*) *S*. — *ἄχρατε O*; *-ανται S*. — **45** *νείκεσσε Ocm*Ω*; *-εσσι abgm*; *-εσκε b*c**. — **47** *ὕβρις ἱκέσθω $L^2$*; *ὕβρεσι* (*-εσσι O*) *κείσθω Ωab*c**; *ὕβρις ἱκάνει bcgm*.

*Υ* 74, **1** *μὴ δέ ποτε OLS*; *μηδέποτε Ω*. — **3** *δεκάσιν περὶ* scripsi; *δεκάδεσσι περὶ O*; *-εσι περὶ L*; *δεκάσι περὶ DM*; *-σι περι S*; *-σι πρὸς Rv*; *-σι πρός τε P*. — *τέτρατον* (*-τόν τε R*) *ὕμνον OΩ*; *-τος ὕμνος v*; *τέταρτον ὕμνον M*. — *ἀείδων $OL^2$*; *ἐτύχθη v*; om. $L^1Ω$. — *Ψ* 74, **1** *θεοῦ δέα D*. — **3** *σεῖο περιφραδέως ἀγορεύσω Ω*; *ἐγὼ μάκαρ ὀρθὰ δικάσω* (ex 4) *$D(L^1)MS$*, cr. $L^2$ ir. — **4** *σεῖο καιρὸς* (*καρ- D* ac.) *περιφραδέως* (*-δέος M*, *-δέα S*) *ἀγορεύσω* (ex 3) *$D(L^1)MS$*, cr. $L^2$ ir. — *ὀρθὸν O*. — *δικάσσω P*; *-άσω Ω*. — **5** *γαῖα O*. — **6** *σφετέρας $L^1Ω$*; *-ρους $OL^2$*. — *ἐγὼ $L^2Ω$*; om. *$DL^1MS$*.

*ἐξεφάμην ἀνόμοισιν ἀθεσμοσύνης ἀπολήγειν,* 5
*αὐτὰρ ἀτασθάλλουσι κέρας μὴ πάμπαν ἀείρειν*
*μηδὲ κέρας εἰς ὕψος ἀερτάζειν παρὰ μοῖραν* 6
*μηδὲ κατ᾽ ἀθανάτου ἀθεμίστια λαβρεύεσθαι.*
*οὔτ᾽ ἐξ ἀντολίης ἐρικυδέος οὔτ᾽ ἀπὸ δυσμῶν* 7
*οὔτ᾽ ἄρα δενδροκόμων ὀρέων ἄπο πολλὸν ἐρήμου,*
*ὡς αἰεὶ θεός ἐστι δικασπόλος, ἀγνώσσουσιν·* 8
*ἄλλον λυγρὸν ἔθηχ᾽, ἕτερον δ᾽ εἰς ὕψος ἀείρει.*
*ἀκρήτου παλάμῃ μάκαρος δέπας εὐκρατὲς οἴνου* 9
*ἐξ ἑτέρης ἑτέρην δὲ παρακλιδὸν ἠώρηται·*
*ἔμπά γε μὴν ἀκένωτος ὑποστάθμη ἕο μίμνει,*
*πινόντων ἅμα πάντες ἀτασθαλίης θεράποντες.*
*αὐτὰρ ἐγὼ μετὰ τοῖσι διηνεκέως κεχαροίμην·* 10
*ἡδέα φορμίξω θεὸν ἄφθιτον Ἰακώβου,*
*αὐτὰρ ὑπερφιάλων κέραα ξύμπαντα κεάσσω,* 11
*εὐσεβέων ἵνα μοῦνον ἀειρόμενον κέρας εἴη.*

## οε′ (75)

*Κοίρανον Ἀσσυρίων γελόων Ἄσαφος ἐχέφρων* 1
*ἴαχεν ἑβδομάτης δεκάδος καὶ πέμπτον ἄεισμα.*

*Μοῦνος Ἰουδαίῃ βασιλεὺς ἀρίδηλος ἐτύχθη,* 2
*οὔνομά οἱ μεγαλαυχὲς ἐν ἔθνεσιν Ἰσραήλου.*

---

7 ἀθεσμοσύνης $L^2$Ω; -νην O$L^1$PS. — ἀπολύσειν O. — 8 ἀτασθάλλουσι v; -άλουσι LR; -άλοισι ODMPS. — ἀεῖραι OP. — 9 μοίρην Ω. — 10 κατὰ θανάτου S; -τοιο $L^1$, cr. $L^2$. — λατρεύεσθαι S; βουλεύ- O. — 12 δενδρονόμων O. — ἄπο ODPSm; ἀπὸ Ω. — πολλῶν DPRS. — 13 δικασπόλοι $L^1$, cr. $L^2$. — ἀγνώσσοισιν gm; ʻforte ἀγνώτεσσιν vel ἀγνώσσουσιν vel ἀγνώ- (ά τες) τοισσιν’ m*. — 14 δ᾽ om. O. — ἀγείρει S ac. — 15 εὐκραὲς O; εὐκραὲς Ω; εὐκταὲς M. — 16 ἠώρητο DM; -ητως S. — 17 ὑπὸ στάθμη L. — 18 πεινόντων LS. — 19 τῇσι DM. — 20 φορμίζω O. — 22 ἀειρόμενον $L^2$Ω; -νος D$L^1$MS.

Υ 75 om. O. — 1 κοίρανος $L^1$, cr. $L^2$. — 2 ἑβδομάτῃ P. — Ψ 75, 1 ἰουδαίης O. — βασιλεὺ $M^1$, -εῦ $M^2$. — ἀρίδηλο]ς add. rubr. O.

τοῖο δ’ ἐν εἰρήνῃ κρατερὸς τεκταίνετο χῶρος, 3
ἐν δ’ ἐρατῇ Σιῶνι φίλος καὶ ἀκήρατος οἶκος·
κεῖσε βίην τόξων μεγαλοσθενέων ξυνέαξεν, 4
ἀσπίδα καὶ ξίφος ὀξὺ καὶ ἀστυφέλικτον ἀυτήν.
φαίνεις ἀθανάτων ὀρέων ἄπο φέγγος ἀγητόν· 5
στήθεσι πανσυδίῃ ἀεσίφρονες ὠρίνθησαν· 6
ὕπνον δ’ ὑπνώοντες ἀμήχανον οὐδὲν ἐφεῦρον
ἀφνειοὶ παλάμῃσιν ἑαῖς περιθαρσέες ἄνδρες.
σμερδνὸν Ἰακώβοιο κοτεσσαμένου βασιλῆος 7
ἱππῆας μάλα πάντας ἕλεν κάτα νήγρετος ὕπνος.
ἐσσί, μάκαρ, βλοσυρός· τίς τοι μένος ἀντιφερίζοι; 8
ἐκ παλαχῆς σεο μῆνις ἔχει περιώσιον ἀλκήν.
οὔασιν οὐρανόθεν θνητοῖς θέμιν ἐγγυάλιξας, 9
εὔκηλος δ’ ἄρα γαῖα περιτρομέουσ’ ἀπεδείχθη,
ἀθανάτου βασιλῆος ἀνεγρομένοιο δικάζειν, 10
ῥύσασθαι ναετῆρας ὅλης χθονὸς ἠπιοθύμους.
ἀνδρόμεόν σε νόημα περὶ στέρνοις ἀναμέλψει 11
καί σοι λείψανον ἡδὺ νοήματος οἴσει ἑορτήν.
ἀθάνατον λίσσεσθε καί οἱ δότε μείλιχον εὐχήν· 12

---

3 σοῖο (σ rubr.) $O$; τεῖο $L^1S$, cr. $L^2$. — 5 τόξον $S$ ac. — ξυνέαξεν $O\Omega$; συν- $L^2$ ir.; ἄπο (ἀπο $M$) φέγγος (ex 7) $DE(L^1)M$, qui ἀσπίδα 6 usque ad φέγγος 7 omittunt (add. $L^2$ im.). — 6 ἀΰτήν $\Omega$, ss. $L^2$; ἀοιδὴν it. $L^2$. — 7 φαίνει $L^2$. — 8 στήθεσσι $ODEM$. — πανσυδίῃ (-η) $\Omega$; -ης $DEM$; πασσυδί $L^1$, η add. $L^2$. — ἀεσίφρονες $\Omega$ (ἀεσσ- $O$); ἀ(ε ss.)σσίφρων $S$; ἐσίφρων $DEM$. — ὠρίνθ. $L^1$, cr. $L^2$; ὀρίνθ. $O$. — 9 δ’ ὑπνώοντες $L^2$; δ’ ὑπνόων- $ODEL^1MS$; δ’ ὑπνώσαν- $P$; κακκείοντες $\Omega$ (cf Lobeck[7] 14). — ἐφ’ εὗρον $LS$; εὗρον $O$. — 10 ἐπιθαρσέως $M$ ac. — 12 ἕλε $ODLMS$. — κάτα $m$; κατα $ODMS$; κατὰ $\Omega$. — 15 θνητοῖς $\Omega$; -τεροῖς $M(D?)$; θηητὴν $O$. — ἐγγυάλιξας $DL^2m$; -αλίξας $L^1\Omega$; -άλιξαι $M$. — 16 εὔκολος $DM$; εὔκληρος $S$. — περιτρομαίουσαπεδήχθη $O^1$, -μαίουσ’ ἀπεδείχθη $O^2$; -μέουσα πεδήθη $\Omega$. — 20 σὺ (ss. οι) $S$. — ἠδὴ $S$ ac.; ἡ- $M$. — οἴσει νοήματος $L$ ac. — 21 ἀθάνατος $S$; -ανάτῳ $L^1$, cr. $L^2$. — λύσεσθαι (λίσεσθε pc.) $S$; λίσθε $M$ ac. — εὐχῆς $ODL^1MS$, cr. $L^2$.

*ὅσσοι δ᾽ ἀμφιέπουσι θεόν, κλυτὰ δῶρα φερόντων*
*καρτερῷ, ᾧ τε μόρος μέλεται σθένει ἡγεμονήων,* 13
*εὐρυβίῃ μετὰ πᾶσιν ἀριζήλοις βασιλεῦσιν.*

## οϛ′ (76)

*Ἄσαφος μενέχαρμος ἄναξ ὑπὲρ Ἰδιθούμου* 1
*ἑβδόμῃ ἀμφ᾽ ἱερῇ δεκάδι μέλος ἴαχεν ἕκτον.*

*Ἡμετέρην βασιλῆι βοὴν ἀνέπεμψα χατίζων,* 2
*αὐτὰρ ὁ νωιτέρην δεδαὼς ἐπεδέρκετο φωνήν.*
*ἀμφαφόων λιτόμην θεὸν ἄφθιτον ἤματι μόχθου* 3
*χερσὶν ἐμαῖς, διὰ νυκτὸς ἰὼν πέλας, οὐδ᾽ ἀπατήθην.*
*ἠρνεόμην πραπίδεσσι παρηγορέοντος ἀκοῦσαι·*
*μνησάμενος βασιλῆος ἔχον πολυγηθέα τέρψιν,* 4
*ἐξαπίνης δ᾽ ἀνέμελψα, νόῳ δ᾽ ὀλιγοδρανέεσκον.*
*ὄσσε φίλω φυλακῇσιν ὑποφθαμένω μεμέλητο·* 5
*σιγαλέον νύ μοι ἦτορ ὀρινομένῳ περ ἀνέτλη.*
*ἐφρασάμην βιότοιο παλαιότατον φρεσὶν ἦμαρ* 6
*καὶ μνησθεὶς ἐτέων προτέρας ἀνέμελψα γενέθλας,* 7
*παννύχιος κραδίῃ μελεδήματα πολλὰ λιγαίνων,*
*καί μευ ἀνιχνεύεσκε νόος διζήμενος αἰεί.*

---

**22** *θεοῦ L.* — **23** *κρατερῷ* $OL^1S$, cr. $L^2$. — *ὅτε OS*; *ἅτε M.* — *μέλετε* $S(L^1?)$; *μελέτηται M.*

*Υ* 76, **1** *ὑπερ* $L^1S$. — **2** *ἑβδόμη* $O^1$, *-ην* $O^2$. — *ἀφ᾽ ἱερῇ O*; *ἀμφιερῇ DP*; *ἀμφῇ* sic *S.* — *δεκάδι c*; *-δος Ω.* — *μέλος* om. $L^1$, ss. $L^2$. — *ἔλαχεν O.* — *Ψ* 76, **2** *ὁ* $L^1v$; *ὃ* $OL^2Ω$. — *ἐπιδέρκεο O*; *-κετο PR.* — *ποιμήν O.* — **4** *ἰὼν* om. *O.* — **5** *ἀρνεόμην* (*ἀ* rubr.) *O*; *ἠρνούμην L*; *-νεόμιν S.* — Callim. fr. 144 *ἠρνεόμην θανάτοιο πάλαι καλέοντος ἀκοῦσαι*: cf. Naeke$^2$ 59. Schneider$^2$ 411. — **6** *ἔχω O.* — *πολυγηθέα DLMSv**; *-κηδέα O*; *-κυδέα Ωv* (cf. Volkmann 75). — **7** *ὠλιγοδρανέεσκον O.* — **8** *ὑποφθϊαμένω M.* — **9** *ῥιγαλέον* (*ῥ* rubr.) $O^1$, cr. $O^3$; *σιγαλέῳ L.* — *νύ Ω*; *ὕ S.* — *ἀνέτλην DLM*; *-ημα S.* — **10** *παλαιότατον* $L^1Ω$ (*-το S*); *-οτάταις* $L^2$; *-οτάτου P.* — **12** *κραδίῃ Pc*; *-η Ω.* — *λιγαίνων* $L^2Ω$; *λιγαίνω* $ODL^1M$; *λη- S.* — **13** *ἀνιχνεύεσκες O*; *-σκον M.* — *νόος Ω*; *νόω ODLMS.*

ἦ ῥά που ἀνδρομέης γενεῆς ἐπιλήσεται ἐσσήν; 8
ἦ ῥ' οὐχ, ὧν ἐφύτευσεν, ἔτι μεμνήσεται αὐτός;
ἦ σφετέρην παύσειε διηνεκέως ἐλεητύν; 9
μὴ θεὸς οἰκτίρμων μητίσατο πάγχυ λαθέσθαι; 10
μὴ μέγα μηνίσας ἐλεημοσύνην ἀπερύξει;
νῦν μόγις ἀρξάμενος νοέειν φρεσὶν αἴσιμ' ἀνέγνων· 11
ἦδ' ἀλλοφροσύνη παλάμης πέλει ὑψίστοιο.
ἔργων ἀθανάτοιο παρεμνήσθην βασιλῆος, 12
θαυμασίων ἀρχῆθεν ἐμεῦ μεμνήσομ' ἄνακτος,
ἔργοις θεσπεσίοισι διηνεκέως μελετήσω, 13
ἆθλα νόῳ μέλψαιμι θεοδμήτων ἀρετάων.
ἄφθιτε, σεῖο κέλευθος ἐν ἀχράντῳ πέλει αἰεί· 14
τίς θεὸς ἡμετέρῳ πανομοιιός ἐστιν ἄνακτι;
μοῦνος, ἄναξ, θεός ἐσσι περικλυτὰ θαύματα ῥέζων, 15
πᾶσιν δμῶς λαοῖσι τεὴν ἀνέφηνας ἐρωήν.
σεῖο μεγακλήεντι βραχίονι ῥύσαο λαόν, 16
παῖδας Ἰακώβου καὶ Ἰωσήφου μεγαθύμου.

---

**14** ἡ ῥά *S*; ἆρά (ἆ rubr.) *O*. — ἐπιλήσσεται *S* ac.; -λύσεται $L^1$, cr. $L^2$. — **15** ἦρ *S*; ἦ ῥ *M*; ἆρ' (ἆ rubr.) *O*. — ἔτι $L^1$Ω (cf. 91, 26. 105, 16. 138, 30. Ritter 29. Rzach$^1$ 753. $^3$ 343); ἔτ' οὐ $L^2$. — **16** ἢ $L^2$Ω; εἰ *D*$L^1$*MS*. — σφετέρη *S*. — παύσει $L^1$, cr. $L^2$; -σειεν *S* ac.; -σεται *O*. — post 16 add. ξυνετέλεσσεν ἀπείρονας ἐς γενεὰς ἑὸν ῥῆμα $L^2$ im.; ἐκ γενεῆς γενεήνδε ἄφαρ λόγος ἐξετελέσθη *P*. — **17** μητίσατο *DLMS* (cf. Hom. *O* 349); -ίσσατο Ω. — **18** μητίσας *O*, cum γρ´ *P* im. — ἀπερύξῃ *DLMS*. — **19** ἀρξάμενον *O* ac. — νοέειν Ω, cum γρ´ *M* im.; νοέει *DLS*; νόε *M* it. — **20** ἦδ' *O*$L^2$*PR*; ἡ δ' $L^1$Ω; ἠδ' *M*. — ἀλλοφροσύνης *S* ac. — **22** ἄνακτα *M*. — **23** θεσπεσίῃσι $L^1$, cr. $L^2$. — **24** νόων *S* ac. — **25** ἄφθιτε σεῖο Ω; -τος εἶο ($L^1$)*S*; -τος εἶο (im. γρ´ σοῖο) *M*; -τος σεῖο *O*$L^2$. — χράντῳ *R*; ἀχράντοισι *O*. — **26** πανομίιός *S* ac. — ἔστιν *P*. — **27** ἐσσι *OPR*; ἐσσὶ $L^2$; ἐστι s. ἐστὶ $L^1$Ω (ἐστὶν *M*). — περίκλυτα *DRv*, ac. *M*. — **28** ὁμῶς $L^2$Ω; ὅμως $L^1$; ὁμοῦ *O*. — **29** μεγακλήεντι *O*$L^2$*Pm*; -κλύεντι $L^1$Ω (-λύεντι *D*$M^1$, -λήεντι $M^2$): v. Volkmann 75. — **30** ἰακώβου καὶ ἰωσήφου *DLMS*; ἰωσήφου καὶ ἰακώβου *O*Ω.

ὕδατα θηήσαντο τεὸν πανακήρατον εἶδος, 17
ὕδατα θηήσαντο καὶ ἐρρίγησαν ἰδόντα,
πυθμένες αὐίαχοι βυθίων κλονέοντο ῥεέθρων·
σμερδαλέος κτύπος ὦρτο δι' αἰθερίων νεφελάων· 18
καὶ γὰρ σεῖο βέλεμνα διέσσυτο ἔνθα καὶ ἔνθα,
ἐν κύκλῳ τροχαλῷ βροντῆς πολυηχέος ὁρμή, 19
ἀθανάτου στεροπῇσιν ὅλη περιλάμπεται αἶα,
ῥιζόθεν ἀνθοκόμος περισείετο κινυμένη χθών.
ἐν πόντῳ βρεμέθοντι τεαί, μάκαρ, εἰσὶ κέλευθοι, 20
ὕδασιν ἐν πολέεσσι τεαὶ τελέθουσιν ἀταρποί,
οὐδ' ἴχνος βασιλῆος ἀριφραδὲς ἀνδράσιν ἔσται.
λαῶν ἡγεμόνευσας, ὅπως καλὰ μῆλα νομεύων, 21
χειρὶ σοφῇ Μωσῆος Ἀαρῶνός θ' ἱεροῖο.

## οζ' (77)

**Ἀσάφου πινυτῆς ἕβδομον ἀμφὶ μέλος** 1
**ἑβδομάτης δεκάδος κῶμος ἀριστοπόνος.**

Ὄμμασι, λαὸς ἐμός, θεοτερπέα δέρκεο θεσμόν,

---

31 ὕδατα (δατι *O*, rubr. cr. υδατα) θηήσαντο τεὸν πανακήρατον εἶδος *OP*; om. *Ω*. — 32 om. *O*. — θηήσαντο καὶ ἐρρίγησαν *L*; -το καὶ ἕο (ἑο *S*) ῥίγησαν *DMS*; -τό σε ῥίγησάν τ' *PR*; -τό σε καὶ ῥίγησαν *v*. — ἰδόντα *Ω*; εἰδ- *PR*; ὀδ- *M*. — 33 αὐίαχοι *O*; ἀνίαχοι *L*²*Ω*; ἄνισχοι *L*¹; ἀνί- *DS*; ἀνοί- *M*. — θὒθέων *DM*. — 34 σμαρδαλέος *M*; σμερδαλέως *S*. — 35 βέλεμνον *L*¹, cr. *L*². — διέσσυται *L*¹*S*, cr. *L*²; -οται *D*; -ονται *M*: v. Ritter 15. — 36 τροχελῷ *M*; -αλοῦ *PR*. — ὁρμὴν *L*¹, cr. *L*²; ὁρμῇ *m**. — 38 ἀνθοκόμος *L*²*b** (ind. p. 29); ἀνθι- *L*¹*Ω* (v. Volkmann 74); ἀνθη- *OR*, cum γρ' *P*; ἀνθε- *m**; ἀνθηρὰ *P*. — κινυμένη (κινο- *R*, κινη- et γρ' κινου- *P*) χθών *Ω*; -νη φλόξ *O*; δείματι γαῖα *P*. — 39 δὲ ante τεαὶ inser. *O*. — 40 om. *O*; notam ·: praescripsit *L*². — 41 ἀρίφραδ' *S*. — 42 λαῶν *L*¹, ὸν ss. *L*²; an λαοῦ? — ἡγεμόνευσας *L*²*Ω*; -νευες *L*¹; -νευσαι *M*. — κ. μᾶλα *M*¹, cr. *M*². — 43 σοφῇ *L*¹, οῦ ss. *L*². — τ' *L*¹*S*, cr. *L*². — ἱεροῖο *O*; ἱρῆος *M*.

*Τ* 77 om. *O*. — 1 ἀσσάφου *D*. — πινυτῆς *L*¹*Ω*; οῦ ss. *L*². — 2 ἀριστόπονος *PRm*. — *Ψ* 77, 1 δέρκεο *L*¹*Ω*; -κεσθε *L*².

οὔατα νωιτέρου στόματος προσερείσατε μύθῳ.
ἀρχόμενος πυκινοῖς αἰνίγμασι χείλε' ἀνοίξω, 2
ἐκ παλαχῆς προτερηγενέων ἀναμέλψομαι οἴμας·
ἔγνωμεν πραπίδεσσι, τά περ προσεδέγμεθ' ἀκουῇ, 3
ἄμμι δ' ὁμῶς τὸ πρόσθεν ἀφηγήσαντο τοκῆες·
ἔργα παλαιγενέων σφετέρους οὐ κρύπτετο παῖδας 4
ὕμνους ἀθανάτοιο περιφραδέως βοόωντας
καὶ σθένος, ὅσσον ἔρεξεν ὁμοῦ περιθαμβέσιν ἔργοις.
μαρτυρίην ἔστησεν ἑῷ γέρας Ἰακώβῳ 5
καὶ νόμον ἰφθίμῳ κλεινὸν πόρεν Ἰσραήλῳ,
νωιτέροις ὃν πρόσθεν ἄναξ ἔστησε τοκεῦσιν,
ὄφρά κε σημήνειαν ἐναίσιμα παισὶ γονῆες,
ὡς ἑτέρη τάδ' ἅπαντα μάθοι μετέπειτα γενέθλη, 6
υἱέες, οὕς κε τέκοιεν ἐν ὀψιγόνοισι γενέθλαις·
οὗτοι δ' ἀγγελέουσιν ἀεξόμενοι τάδε παισίν,
ὄφρά κεν ἐλπίδα θεῖεν ἐπ' ἀθανάτῳ βασιλῆι 7
μηδ' ἔργων βασιλῆος ἑοῦ λελάθοιντο θεοῖο·
ἀλλὰ καὶ ἐννεσίας μάκαρος φρεσὶν ἰχνεύσωσι
μηδὲ φίλοις τοκέεσσι γενοίατο πάμπαν ὁμοῖοι. 8

---

**2** νωϊτέρῳ $DM^1S$; -ρων $M^2$. — μύθοις $DL^1MS$, cr. $L^2$. — **3** serius add. *P*. — **4** προτερηγενέων scripsi (coll. 106, 65); -τέρῃ γενεῶν *O*; -τέρης γενεῶν *Ω*; -τέρη γονέων $DL^1MS$; -ρης γονέων $L^2$. — οἴμ]ας pc. $L^2$. — **5** ἔγνω μὲ *M*. — πραπήδεσι *S*. — προσεδέγμεθα *O*. — **6** ὁμῶς $OL^2Sv^*m$; ὅμως $L^1v\Omega$. — τοκέες $L^1$, cr. $L^2$. — **7** κρύπτετο scripsi; -πτομεν *O*; -πτει *DLMS*; -ψομαι *P*; -πτεται *Rv*. — παῖδας *ODLMS*; υἷας *PRv*. — **8** ἀθανάτοι]ο ss. *O* rubr. — **9** ὅσον *O*; ὅσσων $DM^1S$; -ον $M^2$. — περὶ θαμβέσιν pc. *O*; περιθάμβε- *LS*. — **10** ἔστησαν *O*. — ἑῶ *DM*. — γήρας ἰακώβου *M*. — **12** σφωϊτέροις *DLMS*. — ἐστήσατο *O*. — τεκέων in τοκεῦσι cr. *L*. — **13** σημήνειαν $m^*$; -ήνειεν *Ω*, pc. *S* (-είνειεν ac.); -ήναιεν $m^*$ — **14—17** om. *O*; punctis notavit $L^2$. — ἑτέρῃ *L*. — **15** οὓς κη *D*. — γενέθλῃς (-ης) *Ω*. — **17** ἐλπίδϊ *P*. — **18** ἔργον $DL^1MS$, cr. $L^2$. — λάθοιντο $DL^1MS$, cr. $L^2$. — **19** ἰχνεύσω *O*; -εύωσι *R*. — **20** τοκέευσι *S*.

*ἀλλ', ὢ ῥιγεδανὴ μερόπων σκολιή τε γενέθλη,*
*ὢ γενεή, κακοεργὸς ἀεὶ φρεσὶ θυμὸς ἐτύχθη*
*οὐδὲ νόον σφετέροιο θεοῦ μέτα πιστὸν ἐφεῦρε.*
*τοξοσύνης ταναῆς ἑκατηβόλοι Ἐφρέμου υἷες* 9
*δηιοτῆτα φέβοντο κακῶς μετὰ νῶτα βαλόντες·*
*συνθεσίην ἐρίτιμον ἀπηρνήσαντο θεοῖο* 10
*οὐδ' ἔθελον θεσμοῖσιν ὑποδρήσσειν βασιλῆος,*
*ἀλλ' εὐεργεσίης ἀγαθῆς ἐλάθοντο θεοῖο* 11
*οὐδ' ἐπὶ θαυμασίοισι τόσοις κατὰ μῆτιν ἔκαμφθεν,*
*ἃ πρὶν ἄναξ ἐτέλεσσεν ἑῶν κατέναντα τοκήων* 12
*Αἰγύπτου κατὰ γαῖαν ὑπὲρ Τάνιν ἀνθεμόεσσαν.*
*ὥς ποτε διχθὰ θάλασσαν ἀναρρήξας ἄγε λαούς,* 13
*ἀσκὸν ὅπως στήσας πυκινὸν ῥόον ἔνθα καὶ ἔνθα·*
*καί σφισιν ἠμάτιος νεφέλην θέτο σῆμα κελεύθου,* 14
*νυκτὸς δ' ἡγεμόνευε κατ' οὔρεα φέγγεϊ πυρσοῦ.*
*θηροκόμον διέρηξεν ἀναιδέα πέτρον ἐρήμῳ·* 15
*φαίης τόσσον ἰδὼν δοκέειν πόμα βυσσόθεν ἕρπειν,*
*ὁππόσον ἐκ πέτρης ἱερῆς ἐξήγαγεν ὕδωρ* 16
*καὶ πολὺν ἀενάοισι ῥόον ποταμοῖσιν ὁμοῖον.*

---

21 *ὡ DS.* — *γενέθλης S* ac. — ante seq. vs. inser. *ἣ κραδίην οὐκ εὔθυνεν οἰκείη τε γενέθλη* $L^2$. — 22 om. *O*; notam :· praescripsit $L^2$. — *ὦ L*; *ὣ M*. — *γενεή* scripsi; *γένεϊ L*; *γενεὰ Rv*; *γένος DMPS*. — 23 *οὐδε νόον O*; *οὐ νόον* $L^1$; *οὐδὲ νόμον* $L^2$. — *μέτα* Mommsen 258 (coll. *Σ*); *μετὰ Ω*. — *ἐφ' εὗρεν S*. — 24 *τοξοσύνῃς O*. — *ἑκατηβόλοι* $L^2$; *-λου Ω*. — *ἐπρέμου S*; *ἐφραί- PR*. — 25 ante *νῶτα* add. *θεὸν O*. — 26 *ἀπηρνήσαιτο* $L^1$, cr. $L^2$; *-σατο S*. — 27 et 28 add. *Ω*, im. $L^2$; om. *D*$L^1$*MS*. — *δεσμοῖσιν m*. — 28 *ἐλάθοντο Ω* (cf. 118, 261); *λελά- O*. — 31 *τανὶν* $L^1$*M*, cr. $L^2$. — 32 *ὥς ποτε Rv*; *ὡς ποτὲ O*$L^2$; *ὦσέ τε* $L^1$; *ὤσατο D*; *ὤσσατο M*; *ὅς ποτε P*; *ὥσσοτε S*; an *ὡς ὅτε*? — *θαλάσσης O*. — *ἄγε L*; *ἦγε O*. — 34 *ἠμάτιον m**. — *νεφέλη P*. — 35 *ἡγεμόνευσε M*. — *πυρσῶ* $L^1$, cr. $L^2$. — 36 *ἀκροκόμον* (*ἀ* rubr.) *O*. — *διέρρηξεν ODLMS*. — Hom. *λ* 598 *κυλίνδετο λᾶας ἀναιδής*. — *ἐρήμου O*. — 37 *γαίης* (*γ* rubr.) *O*. — *δοκέειν* $L^2$*Ω*; *-εύειν O*; *-έοιν* $L^1$*S*. — *πόσα R*. — 39 *καὶ πολὺν Ω*; *πουλὺν* (*-ὴν R*) *δ' PR*. — *ἀεννάοισι DMS*; *αἰὲν νά- O*.

ἀμπλακίας δὲ τιθέντες ἐπ' ἀμπλακίῃσιν ἔραπτον, 17
μῆνιν ἀνηέξησαν ἐπουρανίου βασιλῆος
ῥιγεδαναῖς κραδίαις πειρώμενοι ἀθανάτοιο, 18
βρῶσιν ἀπαιτίζοντες ἑῇ καταθύμιον ἄτῃ.
ἀθάνατον δ' ἐν πᾶσι κακηγορέοντες ἔειπον· 19
„μή τιν' ἑτοιμάσσαι δύναται θαλίην ἐν ἐρήμῳ;
μὴ γάρ, ἐπεὶ τραφερῆς ἐξήγαγεν ὕδατα πέτρης 20
ῥοίζῳ χειμερίοις ἴκελα βρεμέθοντα ῥεέθροις;
ἄρτον δευομένοισι πόθεν τόσσοισιν ὀπάσσοι
ἠὲ πόθεν λαοῖσιν ἐπευτύνειε τράπεζαν;“
ταῦτα νόον θώρηξεν ἐρισθενέος βασιλῆος, 21
ὧν χάριν Ἰάκωβον ἀθέσφατος ἔφλεγε πυρσὸς
καὶ κότος ἀπροτίοπτος ἐπέχραεν Ἰσραήλῳ,
οὕνεκεν οὐ θάρσησαν ἐπουρανίῳ βασιλῆι, 22
θεσπεσίῳ δ' οὐ πάμπαν ἔχον περὶ φέγγεϊ βουλήν.
ὑψόθεν αἰθερίαις νεφέλαις ἐνετείλατο ποιμήν, 23
οὐρανίων δὲ θύρετρα θοῶς ἐπέτασσε πυλάων·
ὗε δ' ἄρα γνωστὸν γλυκερόν σφισι μάννα πάσασθαι, 24

---

40 ἔρραπτον $OS$; ἐράπτου $M$. — 41 ἀνηέξησαν $O$ (Hoeschel.); ἀνιέ- $L^2$; ἀνεξήεσσαν $L^1m$; ἀνεξή- $v$; ἀνεξήεσαν $D$, pc. $S$ (ἀνεξί- ac.); ἀεξήεσαν $M^1$; -εσσαν $M^2PR$. — ἐπουρανίου $OM$; ἐπ' οὐρ- $PR$. — 42 ῥιγεδαναῖς $DL^1S$; -νὲς $M$; -νῆς $L^2\Omega$. — κραδίῃς $L^1$; -ῃς $L^2\Omega$. — 45 μῆτιν $S$. — ἑτοιμάσαι $DP$; ἑτοιμᾶ- $O$; ἑτιμά- $M$. — δύναιτο $O$. — 46 ἐπεὶ $\Omega$; ἐπὶ $OL^2M$; ἐπι $DL^1S$. — ἐξήγαγον $M$. — 47 ῥοίζα $DL^1S$; ῥίζα $M$. — 48 δευομένοισι $L^2\Omega$; δεχο- $DL^1S$; δέχο- (ει supra) $M$. — ὀπάσσει $OPR$. — 49 ἐπευτύνοιε $PR$. — 50 νόων $DM^1$; νόω $M^2$. — θώρηξαν $O$. — 51 ἰάκωβον $L^2\Omega$; ἰακῶ- $O$; ἰακώ- $S$; ἰακώβου $D(L^1)M$; -βῳ $P$. — ἔφλεγε usque ad θάρσησαν 53 om. $DL^1MS$, add. $L^2$. — 53 θάρσησαν $L^2$; -σεν $\Omega$. — ἐπουρανίω $OD$; ἐπ' οὐρ- $P$. — 54 ἔχων $S$ ac. — περι $DM$. — 55 αἰθερίαις $DLMS$; -ίῃς (-ίης) $\Omega$. — νεφέλαις $DM$; -ελῇσιν $O$; -έλῃς (-ης) $\Omega$. — ἐνετείλατο $O\Omega$; ἀν- $Sv$. — 56 θύρατα $M^1$, -τρα $M^2$. — θοὸς (ω supra) $S$. — 57 ὗε $L^2Mv$ (cf. Hom. M 25); ὕε $OL^1m\Omega$.

*ἄρτον ἐπουράνιον φαγέειν προΐαλλε βροτοῖσιν·*
*ἀγγελικὴν θαλίην μεροπηίδι δῶκε γενέθλῃ,* 25
*εἰνοδίην σφίσι δαῖτα θεὸς δωρήσατο πολλήν.*
*πνεῦμα μὲν ἀργεστᾶο Νότου ξυνέεργεν ἀῆναι,* 26
*ἧκε δὲ δυσκελάδου Λίβυος τρηχεῖαν ἀυτμήν·*
*αὐτομάτους σφίσι σάρκας ὅπως κόνιν ἐγγυάλιξε,* 27
*ψάμμον δ' ὡς πετεηνὰ πόρε πτερόεντα θαλάσσης.*
*καὶ τὰ μὲν ἐξαπίνης μεθ' ὁμήγυριν ἔμπεσεν ἀνδρῶν* 28
*κυκλόθεν ἰθύνοντα πολυσπερέων κλισιάων·*
*δαινύμενοι δ' ἅμα πάντες ἐνεπλήσθησαν ἐδωδῆς,* 29
*καί σφισιν ἐλδομένοις καταθύμιον ὤπασε δαῖτα*
*οὐδὲ πόθου νόσφισσε λιλαιομένους σφετέροιο.* 30
*οὔ πω δαὶς τετέλεστο, κόρου δ' ἔτι δεύετο θυμός,*
*καί σφεας ἀθανάτοιο μετέστιχε μῆνις ἑτοίμη* 31
*πότμον ἀνώιστον πολέων τεύχουσα καρήνοις*
*καρτίστους τ' ἐπέδησεν ἀγακλέος Ἰσραήλου.*
*ἀλλὰ γὰρ οὐδ' ἐπὶ τοῖσι κακορραφίης ἐλάθοντο* 32
*οὐδ' ἐπὶ θαυμασίοισι τόσοις θάρσησαν ἄνακτι,*
*ἀλλ' ὀλιγοδρανίῃ βιοτὴν κενεαυχέ' ἰδόντες* 33
*ῥίμφα διωκομένων ἐτέων ἐξέφθιθεν αὔτως.*
*ἆ δειλοί, τότ' ἄνακτα καταφθίμενοι ποθέεσκον,* 34

---

**58** *ἐπούράνιον DM*; *ἐπ' οὐρ- S*. — *φαγέοιν S*; *-έον* $M^1$, cr. $M^2$. — **60** *δέτα S*; *δῆτα* $L^1$, cr. $L^2$. — **61** *νεῦμα O*. — *ἀργεστᾶο S*; *-εστάο O*; *-έσταο Ω*: cf. Hom. *Λ* 306. — **62** *ἥκϊ M*. — *δὲ* om. *O*. — **64** *ψάμμου* $L^1$, cr. $L^2$. — *ὣς PSv*. — *πετεεινὰ L*; *ποτεηνὰ M* ac. — *πόρεν* $DL^1MS$, cr. $L^2$. — **66** *κυκλόθϊ ἰθύνοντο O*. — **67** *ἐνέπλησθεν* $L^1$, cr. $L^2$. — **69** *πόθον DS*. — *νόσφισσε Sv*; *-ισε Ω*. — **70** *δαὶς* (*O*, *δαῖς Ω*) *τετέλεστο OΩ*; *δὲς τετέλεστο* (*-εσθω* ac.) *S*; *δ' ἐκτε- DM*. — *δέ τι DLMS*. — **71** *μῆτις S*; *μή- M*. — *ἑτοίμην DS*; *ἑτοῖ- M*. — **72** *πόλεων a*, ac. *S*; *πολέως R*. — *τεύχουσι O*. — *καρήνων P*. — **73** *καρτίστου* $DL^1S$, cr. $L^2$; *κάρτιστον M*. — **75** *θάρσησας M*. — **76** *ὀλιγοδρανίην* $L^2$ pc., *O* ac. — **77** *ἐξέφθιμεν* $L^1$, cr. $L^2$. — *αὕτως Ω*. — **78** *ἆ DLMS*; *εὖ* (*ε* rubr.) *O*.

*ἐξ ἠοῦς μιν ἀρωγὸν ἀνηΰτεσκον ἰόντες,*
*πληθὺν φραζόμενοι προτέρων εὐεργεσιάων,* 35
*ὧν σφισιν ἐγγυάλιξεν ἐλεύθερον ἦμαρ ὀπάζων.*
*οἵ δέ μιν ἀμφαγάπαζον ἑοῖς περὶ χείλεσιν ἄκροις* 36
*γλώσσης ψευδαλέης μειλίγματα κωτίλλοντες·*
*οὐ γὰρ ἔχον κραδίας ἰθύφρονας οὐδὲ νόημα* 37
*οὐδ᾽ ἐπὶ συνθεσίῃ σφετέρῃ συμφράδμονα πίστιν.*
*ὦ βασιλεῦ, σὺ δὲ πάντοτ᾽ ἔχεις οἰκτίρμονα βουλὴν* 38
*καί σφεων ἀμπλακίῃσιν ἱλάσσεαι οὐδ᾽ ἐναρίξοις,*
*ἀλλὰ παλίννοστον δαμάσας μεγαλήτορα θυμὸν*
*ἐσσυμένως σέο μῆνιν ἀναπτομένην κατερύκοις·*
*οἶσθα γὰρ ἀδρανέων μερόπων γένος, οἷον ἐτύχθη,* 39
*οἷς βίος οὐ ληιστός, ἐπὴν Ἀίδης μιν ἐρύξῃ.*
*ἆ πόσα μιν θώρηξαν ἐποτρύνοντες ἐρήμῳ* 40
*καί οἱ θυμὸν ὄριναν ἐν ὕδασι πολλὸν ἀνύδροις*
*πὰρ θέμιν ὑψίστοιο θεοῦ πειρώμενοι ἀλκῆς* 41
*καὶ μύθοις ἐρέθοντες ἀκήρατον Ἰσραήλου;*

---

**79** *ἀΰτεσκον DM.* — **81** *ὧν* $L^2Ω$; *ὧς* $L^1$; *ὃν* $M^1$; *ὧν* $M^2$; *ὧ S.* — *σφῖσιν O*; *φρεσὶν M.* — *ἦμαρ* om. $DL^1MS$, ss. $L^2$. — **82** *οἵδε O.* — *ἀμφαγαπάζου* $L^1$, cr. $L^2$; *-αγαπάζων S.* — **83** *ψευδαλέοις* $L^1$, cr. $L^2$. — *μειλίγματα* $L^2$; *-μια O*; *-μασι* $L^1Ω$. — *κωτίλλονες* $L^1$, cr. $L^2$; *κατίλλοντες DS*; *κατίλον- M.* — **84** *ἔχων S.* — **85** *συνθεσίην O.* — *σφετέρῃ* (-ρη) $L^2Ω$; om. $L^1$; *-ρην O.* — **86** *δὲ* om. *O.* — *οἰκτίρμονα Ω*; *συμφράδμονα* (ex 85) *O.* — **87** *ἱλάσσεαι Ω*; *-εται OS*; *ἐλάσσε καὶ M.* — *ἐναρίξοις* $L^2$; *-ζοις* $L^1$; *-ζης S*; *-ξεις OPR*; *-ζεις Ω.* — **88** *παλίννοστον PR*; *πάλιν νό- M*; *παλίνο- Ω.* — **89** *σέο v*; *ἐς OΩ.* — *κατερύκεις Ω*, sed v. ad 91 *O*; *-ρεύκεις gm*, cr. *m** (coll. Hom. *ι* 119). — **91** *μην S*; *μον* $M^1$. — *ἐρύξει O.* — subsequitur *οὕνεκα μῆνιν ἔειπον ἀναπτομένην κατερύκοις* (ex 89?) *O.* — **92** *ὢ πόσα* (*ὢ* rubr. ex cr.) *O*; *ὁππόσα DM.* — **93** *ὤριναν O.* — *ἐν ὕδασι ODLMS*; *ἐν εἴδεσι v*; *ἐν εἴ- PR*; *ἐν ὕδασι· ἴσως, ἐν ἤθεσι v**; *ἐν οὔδεσι* ('terris') *m**; an *ἐν ἄγκεσι? ὁδεύμασι? ἐρημάσι?* (cf. Maneth. 6, 67 *χώρης τηλοῦ κατ᾽ ἐρημάδος*). — **94** *ὑψίστου* (?) $L^1$, cr. $L^2$. — *ἄλκησιν DM*; *ἀλκῆσιν* (*ἐλ-* ac.) *S.*

*πῶς μόχθων παλάμης ζωαρκέος ἐξελάθοντο,* 42
*Αἰγυπτίων ὡς πάντας ἐρύσατο δουλοσυνάων,*
*ὡς Αἰγύπτῳ ἔθηκεν ἀθέσφατα σήματα τεύξας,*
*αὐτὰρ ὑπὲρ Τάνιος πεδίον θηητὰ τελέσσας·*
*αἷμα μὲν ἦεν ὕδωρ, προτέρην δ' ἠρνήσατο μορφήν,* 44
*φρείατα δ' ἤλλαχθεν, γλυκερὴν δ' ἐψεύσατο γεῦσιν.*
*πρῶτον μὲν κυνάμυια μετέστιχε παμφάγος αἶαν,* 45
*βάτραχος ἔνθεν ἔπειτα μολὼν ἀλάπαξεν ἀρούρας·*
*αὐτὰρ ἐρυσίβῃ πολυανθέα καρπὸν ἔδωκεν,* 46
*ὀξέα δ' ἀμώωσα πόνους χθονὸς ἀκρὶς ἔπερσε·*
*ψυχρῇ δ' ἀμπελόεσσα κατέφθιτο γαῖα χαλάζῃ* 47
*καὶ στιβαρὴ συκάμινος ἀμειδέι τέρσετο πάχνῃ·*
*ῥιπὴ τετραπόδων ἀγέλας ἐνάριζε χαλάζης* 48
*καὶ κτῆσιν σφετέρην κατεβόσκετο καιομένη φλόξ.*
*ἀλλ' οὐδ' ὥς ἀπέληγεν ἀεί σφισι μῆνιν ἀέξων,* 49
*μῆνιν καὶ κότον αἰνὸν ὁμῶς βαρυπενθέι μόχθῳ*
*πνεύμασιν αἰθερίοισιν ἀμειλίκτοισι κελεύων·*
*θυμῷ ὀρινομένῳ πολυπήμονα τεῦξεν ἀταρπόν,* 50
*οὐδὲ καταφθιμένων ψυχέων περιφείδετο πάμπαν,*
*ἀλλὰ καὶ ἀγρονόμους ἀγέλας ξυνέδησεν ὀλέθρῳ.*

---

**97** *ὡς Lv*; *ὃς OΩ*; an *ᾗ*? — **98** om. *O.* — *ὡς Αἰγύπτῳ ἔθηκεν* scripsi (possis etiam *ἐθήκατ'*); *ὡς αἴγυπτον ἔτευξ'* (*τεύξ S*) *DLMPS*; *αἰγύπτῳ δ' ὃς ἔτευξεν R*; *Αἰγύπτῳ δ' ὡς τεῦξεν v.* — *τεύξας DLMS*; *πρήξας PRv.* — **99** *πεδίου M.* — **100** *ἦϊν' M.* — **101** *ἤλαχθεν M*; *ἄλλ- P*; *ἔλλ- R*; *εἴλλ- S.* — *ἐψεύσαντο DM.* — *γεύοιν S.* — **102** *κυνάμυια DLS* (cf. ad Hom. Φ 394); *-άμενα* (*ν* del. ?) *M*; *-όμυια Ω*; *-όμυιαν R.* — *παμφάγον O.* — **103** *μολωϊ̈ DMS.* — **104** *ἐρυσίβῃ* (*-η*) *PR*; *ἐρυσσί- Ω*; *ἐρισσύ- O.* — **105** *ἀμώωσα L²Ω* (cf. Lobeck[7] 212); *-σε L¹.* — *ἀκρὶς Ω*, im. *S* (*ἀχθὶς* it.). — **106** *ψυχρὴ OL.* — **107** *τέρσεο S.* — **108** *ῥιπὴ DLMS*; *καὶ ῥιπὴ O*; *καὶ βίᾳ PR*; *ῥιπῇ v*: cf. Lch[5] 301. — *ἐνάριζε OΩ*; *-ξε PRv.* — **109** *κατεβόσκετο*] v. Schneider[1] 228. — **110** *ὧς Ω.* — **111** *μόχθων DMS.* — **112** *ν*(rubr.)*εύμασιν O.* — **113** *θυμων* (ss. *ὸν*) *M.* — **115** *ἀγέλαι M.* — *ξυνέδυσεν L.* — *ὀλέθρω*]*ν* eras. *L.*

ἆ χθὼν πρωτοτόκων ὁπόσων ὠδύρατο πότμον, 51
ὡς ἴδε θαπτομένων τεκέων πρωτάγριον ἥβην.
αὐτὰρ ἄναξ ἕο λαὸν ὅπως καλὰ ῥύσατο μῆλα, 52
ἀγλαὸν οἷά τε πῶυ κατ᾽ οὔρεα μακρὰ νομεύων,
ἐλπίδι πιστεύοντα καὶ ἡγεμονῆος ἐρωῇ· 53
δυσμενέας δ᾽ ἐκάλυψεν ἑοὺς μέγα λαῖτμα θαλάσσης.
οἱ μὲν ἄρ᾽ ἐννεσίαις ὄρος ἔστιχον ἀθανάτοιο, 54
κλεινὸν ὄρος, τὸ πρόσθε φίλη κτεατίσσατο χειρί.
αὐτὰρ ἄναξ ναέτας προτέρους ἐξήλασε γαίης, 55
αὐτοὺς δ᾽ εἰσαγαγὼν κλήρῳ διεδάσσατ᾽ ἀρούρας,
ῥιζώσας κατὰ φῦλα μετὰ κλισίῃσιν ἑῇσιν.
οἱ δ᾽ ἔτι πειρήσαντο βίην ἐρέθοντες ἄνακτος, 56
θυμὸν ἀπαινύμενοι σφετέρων ἀπὸ μαρτυριάων,
ῥέζοντες προτέρων ἀθεμίστια ἔργα τοκήων· 57
ἀπτόλεμον δ᾽ ἅτε τόξον ἔχον στρεψαύχενα λώβην
ἀθάνατον κορυφῇσιν ὀρεσσιβάτοις ἐρέθοντες, 58
καί οἱ ἐποτρύνεσκον ἑοῖς φρένας εἰδώλοισιν.
ἔνθ᾽ αἴων ἀθέριξε θεὸς κακοεργέα βουλήν, 59
αὐτίκα δ᾽ Ἰσραῆλον ὀνόσσατο τὸν πρὶν ἀγητόν·
Σιλώμης δ᾽ ἐκέδασσε φίλον καὶ ὁμήθεα νηόν· 60
οὐ γὰρ ὀιζυροῖσιν ὁμέστιος ἔσκε βροτοῖσιν.

---

**116** *ἆ χθὼν* $\Omega$; *ψυχων* (*ψ* rubr.) *O*. — *πότμων* $L^1$, cr. $L^2$. — **117** *ὧς* (*ὦ* rubr.) *O*. — **119** *οἶα τε ODP*; *οἷα τε S*; *οἳ ἅτε M*. — *πῶϋ* $L^2$ pc.; *πώϋ O*; *λαὸν ὅπως* (ex 118) *DMS*. — **120** *πιστεύοντα* $L^1\Omega$; *-τι* $OL^2$. — **121** post 122 posuit *O*. — *δ᾽* om. it., ss. *S*. — **122** *ἐννεσίῃς* (-ης) $\Omega$; *ἐνε- ODS*. — **123** *κτεατίσσατο Pbcm*; *-ίσατο* $\Omega$. — **124** *ναέτης M*. — *προτέρους* $L^2\Omega$; *-ρας* $L^1S$. — **127** *οἱ δ᾽ ἔτι* $\Omega$; *οἵ δ᾽ ἔτι* $L^2R$; *οὐδέ τι* $D(L^1?)MS$. — *ἐρέθοντες* $L^2\Omega$; *-τος* $DL^1MS$. — **130** *ἅτε D*; *ἀντε M*. — *στρεψαυχέα O*. — **131** *ὀρεσσιβάτοις* $L^2\Omega$ (*ὀρεσι- O* ac.); *-του* $L^1$. — **132** *εἰδώλοις* $L^1$, cr. $L^2$. — **133** *ἀθέριξε DLMS*; *ἀθέριζε* $\Omega$ (*ἀθ᾽ ἔ-* cr. rubr. *O*). — *θεὸς* $\Omega$; *κύριος O*. — **134** *ὀνόσσετο gm*, cr. *m**. — *τὸν* $L^2\Omega$; *τὸ* $L^1S$; *το D*. — *ἀγητήν O*. — **135** *σιλώμης P*. — *καὶ ὁμήθεα DLS*; *-θέα O*; *θεοτερπέα* $\Omega$. — *καὶ ὁμὴ θανηὸν M*.

*ἐκ δὲ βίης ἐλάθοντο, πόρεν δέ ἑ ληιστῆρσι* 61
*καὶ σφέτερον δηίοισιν ἕλωρ δωρήσατο κάλλος·*
*οὐκέτ' ἄορ λώφησεν ἀεί σφεας ἐξεναρίζον,* 62
*οὓς δὲ λίην ἀγάπαζε, φίλης ἀπέριψεν ἀρωγῆς.*
*οἰκτρὰ μὲν ἠιθέους κατεβόσκετο θεσπέσιον πῦρ,* 63
*οὐδέ τις οἰοβίων ὀλοφύρατο παρθενικάων,*
*οὐ ξίφεϊ θνήσκοντας ἀνέστενον ἀρητῆρας,* 64
*οὐδέ τις ὀλλυμένης πολιὴν ᾠκτίσσατο χήρης,*
*εἰσόκεν ὑπνώοντι θεὸς πανομοίιος ὦρτο,* 65
*καρτερῷ ἐξ οἴνοιο καρηβαρέοντι ἐοικώς.*
*ὀρνύμενος δ' ἕδρησι κακῶς ἐδάμασσεν ἀλείτας* 66
*καί σφισι μῶμον ἔδωκεν ἐπ' ἀλλήκτοισι γενέθλαις.*
*δὴ τότ' Ἰωσήφου κέδασεν δόμον αἰγλήεντα·* 67
*Ἐφρέμου αὖτ' ἐρατεινὸν ἄφαρ μωμήσατο φῦλον,*
*κλεινὸν δ' ἀντιθέου ἐπελέξατο φῦλον Ἰούδα,* 68
*θεῖον ὄρος Σιῶνος, ὅ περ φρεσὶν ἀμφαγαπάζει.*
*νηὸν ἑὸν τέκτηνεν ἄναξ ἅτε μουνοκερῆος* 69
*καὶ γαίῃ κατέπηξε διηνεκέεσσι γενέθλαις.*
*τῆμος ἑὸν Δαυῖδον ἄναξ ἐπελέξατο δοῦλον,* 70
*εὖ δέ μιν ἐκ πολέων ἐκαλέσσατο μηλοβοτήρων·*

---

**137** *πόρε]ν* add. *L*[2]; *πόραν S*, ac. *D*; *-ον M*, pc. *D*. — *δὲ ἑ ληστῆρσιν O*; *δὲ ἐληϊστῆρσι S*; *δέη ληϊστ- M*. — **138** *καλός L*. — **139** *οὐ μέτ' O*. — *ἐξεναρίξεν O*. — **140** *ἀγάπαζ' ἐκ DM*; *-παξ ἐκ S*; *ἠγάπαζε PR*. — *φύλης DM*. — **141** *οἰκτρὰ Ω*; *κτὰ* sic *O*. — *καταβόσκετο DM*. — **142** *οἰοβίων b*c**; *οἷον ἰὼν DL*[1]; *οἷον ἰὼν Ω*; *οἷτον ἰὼν OPR*; *οἷτον ἰδὼν m**. — **144** *ὀλλυμένης L*[1]*Ω*; *-νῃς L*[2]. — *ᾠκτίσσατο b*c*m*; *-ίσατο Ω*; *οἰκτίσατο L*[1]; *-ίσσατο DL*[2]*MS*. — *χήρης Ob*c*Ω*; *χώ- v*. — **145** *ὑπνώοντι DLMSc**; *ὑπνόω- OP*; *ὑπνοόω- R*; *ὑπνώω- v* (cf. Lobeck[7] 214). — **146** *κρατερῷ O*. — **147** *ἀρνύμενος* (*ἀ* rubr.) *O*. — **148** *μῶμον L*[2]*Ω*; *βωμὸν DL*[1]*MS*. — *ἀλλήκτοισι DLMS*; *ἀλή- Ω*; *ἀλήκτησιν O*. — *γενέθλαις O*; *-ῃς* (*-ης*) *Ω*. — **149** *τότε O*. — *ἰωσὴφ οὐ M*. — *κέδασε OS*; *'κέδασεν D*; an *σκέ-*? — *δόμον DLMS*, pc. *P*; *δόλον Ω*. — **151** *ἐπαλέξατο DL*[1]*MS*, cr. *L*[2]. — **154** *γενέθλαις Ω*; *-ῃς* (*-ης*) *ODLMS*.

ἐξόπιθέν μιν ἄειρεν ἀμελγομένων τότε λαῶν, 71
θεσπίσσας Ἰάκωβον ἑὸν θεράποντ' ἀγελάζειν
καὶ κτέρας ἀμφιβόητον ἔχειν μέγαν Ἰσραῆλον.
καί μιν μειλιχίῃ κραδίης ἐνόμευσε δικαίως 72
καὶ χειρῶν πινυταῖς σφετέρου ἡγήσατο λαοῦ.

## οη' (78)

*Ἀσάφου λιγυρὸν ὄγδοον ἀμφὶ μέλος*
*ἑβδομάτης δεκάδος κῶμος ἀριστοπόνος.*

Ἄγρια φῦλα τεῆς ἐπέβαν, πανυπέρτατε, μοίρης, 1
ἄχραντον δ' ἐμίηναν ἀθεσμοσύνῃ σέο νηόν,
οἵ ῥ' Ἱερουσαλὴν φρουρὸν θέσαν ὥς τιν' ὀπώρης·
πτηνοῖς αἰθερίοις σέο λείψανα θῆκαν ἐρίθων, 2
σῶν ὁσίων θήρεσσιν ἑλώρια σάρκας ἔθεντο·
ὡς δ' ὅθ' ὕδωρ δαπέδῳ δμώων σέθεν αἷμα χέαντο 3
ἀμφ' Ἱερουσαλὴν χήτει μάλα κηδεμονήων.
ἀνδράσι λωβητοὶ γεγενήμεθα πάγχυ θυραίοις 4
οἷα περικτιόνεσσι γέλως καὶ παίγνιον αἰνόν.
εἰπέ, μάκαρ, τέο μέχρι μένεις κεχολωμένος ἡμῖν 5
καί σεο μῆνις ὄρωρε διαμπερὲς οἷά τε πυρσός;
χεῦε κότον μετὰ φῦλα, τά περ τεὸν οὐ μάθε κῦδος, 6

---

157 ἐξόπιθέ *O*. — 158 θεσπίσας *Ω*; θεσί- *S*. — θεράποντα γελάζειν *LS*. — 160 καρδίης *R*. — 161 πινυτῇς (-ῇς) *Ω* (πυ- *O* ac.).

*Υ* 78, 1 ἀμφὶ μέλος (με- *PR*) $L^2$*Ω*; ἀμφιβόλος $L^1S$; ἀμφιόλος *DM*. — *Ψ* 78, 1 ἐπέβαν *L*; -βησαν *DMS* (ac. *O*?); -βη *Ω*. — 2 δεμίηναν $L^1$, cr. $L^2$; δὲ μί- *DS*. — δὲ μίην ἀναθεσμοσύνη *M*. — 3 οἵ ῥ' *OMS*; οἵ δ' *R*. — ἱερουσαλὴν *PRv*; -ὴμ *OmΩ*. — τϊν (ras.) *O*; την *S*; τει (ε supra) *M*. — ὀπώρης *Ω* (ὠ- ac. *L*); -ρην *DLMS*. — 5 τῶν (τ rubr.) $O^1$, cr. $O^3$. — 7 ἱερουσαλὴμ *ODLMSm*. — χήτει *Ω*, pc. *O*; -τη $L^2$, ac. *O*; τείχη $DL^1MS$. — 8 γενοίμεθα *O*. — 9 αἰνόν $L^2$*Ω* (-ῶν ac. *O*); αἶνον $L^1S$, ac. *D*; αἶρον *M*, pc. *D*. — 10 εἶπε *DMS*. — τέον *D*; τεὸν *M*. — μέχρις μὲν εἷς *M*. — 11 πυρσοὶ *M*.

*καὶ μετὰ κοιρανίας, αἳ σῆς ἀμέλησαν ἀρωγῆς,*
*οὕνεκ' Ἰάκωβον πινυτὸν κατέδοντο κακοῖσι* 7
*καί οἱ χῶρον ἑλόντες ἀγακλέα θῆκαν ἔρημον.*
*αὐτός, ἄναξ, προτέρων ἐπιλήθεο δυσφροσυνάων,* 8
*οἰκτιρμοὺς κατάπεμπε θοῶς, μάκαρ, ἄμμιν ἀρωγούς·*
*πτωχοὶ γὰρ μετὰ πᾶσι λίην γεγενήμεθα μοῦνοι.*
*ἀλκτὴρ μοῦνος ἐὼν καὶ ἀεὶ θεὸς ἄμμιν ἀρήγοις,* 9
*ῥύεο σοὺς ἱκέτας, βασιλεῦ, σέθεν εἵνεκα τιμῆς,*
*οὔνομα σὸν βροτέῃσιν ἱλάσσεται ἀμπλακίῃσι.*
*μή ποτε φῦλ' ἐρέῃ· „πῇ δὴ θεὸς ἔπλετο κείνων;“* 10
*ἔθνεά μιν ἀναφανδὸν ἐν ὀφθαλμοῖσιν ἴδοιντο*
*δμώων οἰχομένων ὑπὲρ αἵματος, ὃ πρὶν ἔχευον.*
*ἀντίον ἱλλομένων στοναχὴ σέθεν ἵξεται ὅσσων·* 11
*ὅσση δ' ἀθανάτοιο βραχίονός ἐστιν ἐρωή,*
*τόσσον ἀποφθιμένων ἀδίκως περικήδεο παίδων.*
*ἑπτάκις εἰς κόλπον μετάθες πάλιν αἰνὰ θυραίοις* 12
*ὕβριος, ἧς νείκεσσαν ἀπειρεσίην σέο τιμήν·*
*ἡμεῖς γὰρ σέο λαός, ἄναξ, καὶ θρέμματα ποίμνης·* 13
*ἀντ' εὐεργεσίης σοι, ἄναξ, ἀναμέλψομεν αἶνον,*
*ἐκ γενεῆς γενεὴν δὲ τεὸν κλέος ὑμνήσαιμεν.*

---

**14** *οὕνεκεν DLS*; *οὔ- M*. — *ἰακὼβ O*; *-ώβον M*. — **16** *αὐτὰρ M*. — *ἐπελήθεο O*. — **17** *ἀρωγός O*. — **18** *πτωχοὺς S* ac. — **19** *ἑὼν L*; *ἑῶν DMS*. — *ἀρήγεις O*. — **20** *βασιλεὺς DM*. — **22** *πῇ* (*πῆ*) *OΩ*; *ποῦ DLMS*. — **23** *μιν* $L^2$; *μὴν OΩ*. — *ἴδοιντο* $L^2$*PR*; *-οντο OD*$L^1$*MS*; *-οιτο v*. — **24**–26 om. $L^1$, add. $L^2$ im. — *οἰχομένων OD*$L^2$*MS*; *ἔκδικον PRv*. — *ἐκδικίην σέθεν αἵματος ὃ πρὶν ἔχευαν* Ritter 10. — *ὑπὲρ* $L^2$; om. *OΩ*. — *αἵματος* usque ad *ἀποφθιμένων* 27 om. *D*($L^1$)*MS*. — *ἔχευον O*$L^2$; *ἔχευον σεῖο PRv*; *σεῖο ἔχευον gm* (cf. Scheindler[1] 907). — **26** *σση* (*ἐσσὴ* rubr.) *O*. — *βραχίονος ἔστιν m*. — **27** *τόσσον ἀποφθι* ir. $L^2$. — **28** *ἐς Ω*. — *πάλιν Ω*; *πέρι O*; *πᾶσιν PR*. — *ἀνὰ L*; *ἄνα DM*. — **29** *ὕβρις M*. — *νείκεσαν DMS*. — **30** *ποίμνης O*; *ποίης Ω* (*-ῃς a*). — **31** *ἀντευεργεσίη S*. — **32** *ὑμνήσαιμεν* $L^2$*Ω*; *-σωμεν D*$L^1$*MS*; *-σομεν O*.

## οθ′ (79)

*Ἀσάφου πινυτοῦ μαρτυρίη μελέων* 1
*ἔργων ἐσθλὸς ἔφυ κῶμος ἀμειβομένων*
*εἴνατος ἑβδομάτην ἀμφιέπων δεκάδα.*

*Δέρκεο τιμήεντα νέμων, μάκαρ, Ἰσραῆλον,* 2
*αὐτὸς ὃς Ἰώσηφον ἄγων ἅτε μῆλον ἀέξεις·*
*φαίνεό μοι βεβαὼς ὑπὲρ ἄφθιτα σεῖο Χερουβίμ,*
*ἄντα Βενιαμίνου τε καὶ Ἐφρέμου ἠδὲ Μανασσοῦ* 3
*σεῖο βίην ἀνάειρε καὶ ἡμέας ἐλθὲ σαώσων.*
*ῥεῖα μεταστρεφθεὶς καλέοις πάλιν ἡμέας, ἐσσήν,* 4
*ζωῇ δ' ἡμετέρῃ προΐοις σέο φέγγος ὀπωπῆς.*
*κοίρανε παντοίου σθένεος βασιλεύτατε πάντων,* 5
*κλῦθι, μάκαρ· τέο μέχρι λιταζομένῳ χαλεπαίνεις*
*ἄρτον δακρυόεντα κατὰ χρέος ἄμμιν ὀπάζων* 6
*καὶ πόμα μετρήσας ἀχέων πλέον ἄμμε ποτίζων;*
*ἡμέας ἀντιβίοισι μετ' ἀνδράσι νεῖκος ἔδωκας* 7
*καὶ πυκινὸν προύθηκας ἔμεν δηίοισι γέλωτα.*
*ἄμμε μεταστρεφθείς, σθενέων μάκαρ, εἰς σὲ καλέσσαις,* 8
*ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἰάλλοις.*
*ἄμπελον Αἰγύπτοιο μετήγαγες ἀνθεμόεσσαν,* 9

---

Υ 79, 1 *μαρτυρίη ODLMSm**; *-ην Ω*. — 3 *εἴνατον M*. — *ἑβδομάτη DL*¹*MS*, cr. *L*². — *δεκάδας M*. — Ψ 79, 1 *ἀέρκεο M*; *ἑρκεα S*; *ἕρ- L*. — *ἰσραῆλον L*¹*Ω*; *-ήλον L*². — 2 *οἶ D*; *οἱ M*. — 3 *ὑπεράφθιτα OLS*. — *σέο P*. — 4 *βενιαμήνου L*. — 5 *βίη L*¹*S*, cr. *L*². — *ἄειρε O*. — *σαώσων Ov*; *σάωσον DLMPRS*. — 6 *καλέεις DLMS*. — *πάλιν Ω*; *παῖδας O*. — 7 *ζωὴ D*; *τῶν* (*τ* rubr.) *O*. — *προΐοις DLMS*; *-ΐεις OPR*; *-έῃς v*; an *-ιῇς*? *-ίει*? — 8 *παντοίους S* (ac. *L*?). — 9 *χαλεπαίνῃς OS*; *-νοις L*. — 10 *ἄρτου O*. — *ἄμμιν* (*ἅ- O*) *ὀπάζων L*²*Ω*; *ἄμμι ποτίζων D*(*L*¹?)*MS*. — 11 add. *OΩ*, im. *L*²; om. *DL*¹*MS*. — *πλέων ἅμμε O*. — 13 *πικυνὸν LS*; *-νῶν DM*. — *προὔθηκας* (ϊ ss.) *S*. — *ἔμεν DLMPRS*; *ἔμμεν*(*αι* ss. rubr.) *O*; *ἐμεῦ v*. — *γέλωτας S* ac. — 14 *καλέσσαις m**; *-έσσῃς LS*; *-έσεις O*; *-έσσεις Ω*; *-έσσοις m**. — 15 *ζωὴ DMS*. — *ἰάλλῃς S* ac. — 16 *αἰγύπτιο R* ac.; *-τιον DMS*.

ἐκ δὲ ταμὼν ἐφύτευσας ἀγακλέος ἔϑνεα γαίης
πρόσϑε δέ οἱ ταναὰς προμολὼν λείηνας ἀταρποὺς 10
καὶ ῥίζας ἐφύτευσας, ὅλην δ᾽ ἔπλησεν ἄρουραν·
οὔρεα μὲν σκιεροῖς ἐκαλύπτετο μυρία ϑάμνοις 11
καὶ μάκαρος κέδρους ἀναδενδράδες ἔσκεπον ἄκρας·
τῆς πτόρϑοι τανύοντο δι᾽ ἀτρυγέτοιο ϑαλάσσης 12
καὶ ποταμῶν ὅρπηκες ὑπερτέλλοντες ἔβαινον.
τίπτέ οἱ ἀσφαλὲς ἕρκος, ἄναξ, χείρεσσι καϑεῖλες 13
καί μιν ἀποτρυγόωσι παραστείχοντες ὁδῖται;
δεινὸς ἀπὸ δρυμοῖο μολὼν λυμήνατο κάπρος 14
καί μιν ἀτιμαγέλης κατεβόσκετο λυσσαλέος σῦς.
ἡγητὴρ σϑενέων, μοι ἐπιστρέψειας ὀπωπήν, 15
οὐρανόϑεν τανύσειας, ἄναξ, πανεπίσκοπον ὄμμα,
ὄφρά μοι ἡμερίδος χλοερῆς ἰήσεαι ἄλγος·
καί μιν ἑτοιμάσσειας ἀναστήσας κατὰ μοῖραν — 16
σῆς γὰρ δεξιτερῆς πολυήρατον ἔργον ἐτύχϑη —,
ἀνϑρώπου φίλον υἱόν, ὃν ἄλκιμον αὐτὸς ἀνέγνως.
ἀμφισκαπτομένη καὶ καρφομένη πυρὶ λάβρῳ· 17
μήνιος ἐκ πυκινῆς ἀπολοίατο σεῖο προσώπου.

17 ἀγακλέης $L^1$, cr. $L^2$; -έας *DMS*. — 18 λειήνας *O*. — 19 ἔπλησεν *O*; -σαν *Ω*; -σας *S*. — 20 σκιερῆς *S* ac. — 21 ἔσκεπεν *O*; -εσον *DM*. — 22 τῆς $L^2$; γῆς $L^1$*Ω*; ἧς *O*. — δι᾽ ἀτρυγέτοιο *LMP*; διατρυ- *D*; διατρι- *S*; διὰ τρυ- *O*; δ᾽ ἀτρυ- *R*; δὲ ἀτρυ- *v*; καὶ ἀτρυ- *c*. — 24 ἀσφαλῶς *S* ac. — χείλεσι $L^1$, cr. $L^2$. — 25 παραστει(ex ι cr.?)χόωντες *O*. — 27 ἀτιμαγέλης *PRv* (cf. Theocr. 25, 132); ἄτιμ᾽ ἀγέλης *O*; ἄτῃ μεγάλης *M*; -αλῆς *DS*; ἄτῃ μεγάλῃ *L*. — καταβόσκετο *L*. — λυσαλέος *DLM*$^1$*S*; λυσσαέος *abg*. — 30 χλοερῆς *Ω*; ἱερῆς *O*. — ἰήσεται *O*. — 31 ἑτοιμάσσειας *P*; -άσειας *Ω*. — 32 πολυήρατον *O*. — 33 uncis inclusit *m*. — ὃν om. *O*. — 34—37 om. *OS*, it. (add. im.) *D*. — 34 ἀνμφισκ. *D*. — καὶ καρφ. π. λ. scripsi; πυρὶ λ. καὶ καρφομένη *L* (-φωμένη *DM*); πυρὶ λ. καιομένη τε *Rv*. — πυρὶ ἐνὶ φλογόεντι κεκαυμένη ὤλετο πᾶσα (ss. γρ´ ἀμφισκαπτομένη π. λ. καρφομένη τε) substituit *P*. — 35 πικυνῆς *L*; πικηνῆς ἧς *M*: v. Lch$^3$ 291. — σεῖο δ᾽ (-ό τ᾽ *m**) ὀπωπῆς (δὲ ὠπὸς vel δ᾽ ἐπ᾽ ὠπὸς *b***c**) ἀπειλῇ, ἄναξ πανυπέρτατ᾽, ὀλοῦνται substituunt *PRv*

ἀνέρα . . . δεξιτερῆς πολυήρατον ἔργον ἐτύχθη —, 18
ἀνθρώπου φίλον υἱόν, ὃν ἄλκιμον αὐτὸς ἀνέγνως.
ἡμεῖς δ' ἀθανάτης ἀποπαυσόμεθ' οὔ ποθ' ὁδοῖο· 19
τεῦχε φάος βιότοιο, λιταζομένων δ' ὑπακούσαις.
ῥεῖα μεταστρεφθεὶς καλέσαις πάλιν ἡμέας, ἐσσήν, 20
ζωῇ δ' ἡμετέρῃ βλεφάρων σέο φέγγος ἰάλλοις.

## π' (80)

*Ἀσάφου ληναῖος ἀγακλήεις πέλει ὕμνος* 1
*ὀγδοάτης δεκάδος τερπνὸν ἄκος φορέων.*

Χαίρετ' ἀλεξικάκῳ περιθαρσέες αἰὲν ἄνακτι, 2
κῶμον Ἰακώβου ἀλαλάξατε παμβασιλῆι·
ψαλμὸν δεξάμενοι λιγυρὸν δότε τύμπανον ἡδύ, 3
εὐκέλαδον κιθάρην, μετὰ δὲ ψαλτήριον ἱρόν·
μηνὸς ἀπαρχομένοιο φίλοι σαλπίγξατε φῶτες 4
ἤματι τῷ, ὅτε κάλλος ἀριφραδές ἐστιν ἑορτῆς.
κλεινὸν ἀεὶ θέσπισμα τόδ' Ἰσραῆλος ἔδεκτο, 5
εὐδικίην βασιλῆος Ἰακώβοιο φυλάσσειν·
τὴν μὲν Ἰώσηφος παρεδέξατο μάρτυρα θεσμῶν 6
ἐρχόμενος τὸ πάροιθεν ἀπ' Αἰγύπτοιο πολήων.
γλῶσσαν ἀριζήλην ἀίων, ἧς νῆις ἐτύχθη, 7

---

(cf. Lch[5] 300); *σεῖο δ' ἀπειλῇ ἄν. παν. ὀλ. ὀπωπῆς* Ritter 11. — **36** post *ἀνέρα* signa lacunae posui, quae desunt in *DLM*. — *σῆς ἐπὶ φῶτά γε δεξιτερῆς χεὶρ σεῖο γενέσθω* substituunt *PRv*. — **37** om. *M* (ut *OS*, ac. *D*). — *ἄλκιμον* $DL^2PRv$; *-μος* $L^1$. — **38** *ἀπαυσόμεθ'* (*οὐ* ss.) *M*. — *ποθ'* $L^2M^2\Omega$, pc. *R*; *ποτ'* $L^1$; *ποτε* $DM^1S$. — **39** *τεῦχε* *Ω*; *εὖε* sic *O*. — *ὑπακούσαις* *Ω*; *-σης* *DM*; *-σοις* *L*; *-σεις* *OS*. — **40** *καλέσαις* *L*; *-έσεις* *Ω*; *-έεις* *O*; *-έσειε* *S*.

*Υ* 80, **2** *φορέων* $L^2\Omega$; *φέρων* $L^1$. — *Ψ* 80, **1** *χαίρετε* *O*. — *ἀλλεξικάκω* *S*; *ἀλεξἱκάκων* *M*. — *ἄνακτα* *S*. — **4** *ἱρόν* *Ω* (*ἡ-* *S* ac.); *ἱερόν* *ODM* (ss. *P*). — **5** *σαλπίγξατε* scripsi; *-πίσατε* *Ω*. — *φῶτες* *DLMPS*; *ἄνδρες* *Ω* (ss. *P*). — **7** *ἰσραῆλον* *DLS*; *ἰσδρ-* *M*. — **9** *θεσμὸν* *S* ac. — **11** om. $L^1$, add. $L^2$ im. — *γλῶσσαν τ'* *O*. — *ἀρίζηλον ἀΐων* *OL*; *-ιζηλαΐων* (*η* ss.) *D*; *-ιζηληΐων* *M*

*νῶτα δυσηλεγέων ἀνεπαύσατο φαίδιμα μόχθων*
*ὃ πρὶν ὑποδρήσσων ὀλοῷ παλάμῃσι κοφίνῳ.*
*ἆ τότε πῶς βοάασκες, ἐγὼ δέ τοι ἦλθον ἀμύντωρ,* 8
*οὐδ' ἔλαθες δνοφερῇ με καταιγίδι, κευθόμενός περ,*
*σεῖο δὲ διψαλέου ἑλόμην καὶ ἐν ὕδατι πεῖραν.*
*κέκλυθι, λαὸς ἐμός, λέξω δέ τοι αἴσιμα μύθοις,* 9
*μή τοι ἐμῶν ἐπέων ἐπιλήσεαι, Ἰσραῆλε·*
*οὔ τίς τοι νέος ἄλλος ἀνειρομένῳ θεὸς ἔσται,* 10
*οὐδὲ θεὸν ξεῖνον γουναζόμενος λιτανεύσαις·*
*αὐτὸς γὰρ θεός εἰμι σέθεν καὶ ἀγήραος ἐσσήν,* 11
*ὅς σ' ἀνάγων ἐσάωσα καὶ ἐκ Νειλωίδος αἴης.*
*εἰ δέ τινος χατέεις, τάνυσον στόμα καὶ τόδε πλήσω.*
*νήπιος ἡμετέρων ἐπέων οὐκ ἔκλυε λαός,* 12
*οὐδέ τί μ' Ἰσραῆλος ἐβούλετο φάεσι λεύσσειν·*
*τοὔνεκά μιν προέηκα νόῳ καταθύμια ῥέξειν,* 13
*νισσέσθων σφετέραις ἀεσιφροσύνῃσιν ὀπηδοί·*
*εἰ γὰρ ἐμῆς φθογγῆς ἀποφώλιος ἔκλυε λαός,* 14
*εἰ δράμεν ἡμετέροισιν ἐπ' ἴχνεσιν Ἰσραῆλος,*
*καί κέ οἱ ἀντιβίους πέλασα χθονὶ καὶ δίχα μόχθου* 15
*καί κέ μιν ἐχθαίροντας ἐμῇ πάρος ὤλεσα χειρί.*

---

**12** *δυσαλγέων O.* — **13** *ὁ* om. *O*; *ὃς L.* — **14** *ἆ LP*; *ἁ S*; *ὦ* (ω rubr.) *O* (ss. *P*); *δὴ Ω* — *βοάασκεν M.* — **15** *ἔλαθε DL*$^1$*MS*, cr. *L*$^2$. — *περ DLMS*; *πῦρ OΩ.* — **17** *δή τοι Ra.* — **18** *τοι L*; *τε DMS*; *τι Ω*; *τι δ'* Volkmann 34 (Scheindler$^1$ 907); *ποτ'* Ritter 17. — *ἐπιλήσεται ODMS.* — **19** *τίς* (*τις*) *τοι Ω*; *τοι σοι D*; *τι σοι M.* — *ἀνειρομένῳ* (-ω) *LS*; *-νων Ω.* — **20** *θοὸν M.* — *ξ. λιταζόμενος γούνατα κάμψεις O.* — *λιτανεύσῃς L*; *-σοις M*; *-σεις Ω.* — **21** *εἰμὶ* om. it., add. im. *O.* — **22** *ὅσσ' DMS.* — **24** *νηπίων O*$^1$, *ἠπ- O*$^3$. — *οὐ κέκλυε DM.* — **25** om. *M.* — *οὐδέ τι μ' L*$^2$*Ω*; *οὐδ' ἔτυμα D*; *οὐδέ τιμα S*; *οὐδὲ τιμᾶν L*$^1$. — *ἐβουλεύετο O.* — **26** *οὕνεκά O.* — *προέεικα L*$^1$, cr. *L*$^2$; *παρέηκα P.* — *καταθύμιον ἀρέξειν M.* — *ῥέξειν DLS.* — **27** *νισέσθω DL*$^1$*MS*; *-ων L*$^2$; *εἰσσέσθων* (ε rubr.) *O*$^1$, cr. *O*$^3$. — *σφετέρῃσιν O*; *-ρῃς* (*-ρης*) *Ω.* — **30** *κέν* (*κεν*) *Ω*; *μεν M* (v. Arist. Hom. Textkr. 2, 284). — *πέλασα Ω* (v. Lobeck$^5$ 489); *-σε P*; *πέλε* cum lac. *O.* — *μόχθον M.* — **31** om. *O*, serius add. *P.* — *μην L*$^1$, cr. *L*$^2$. — *ἐμὴ S.*

*ἐχθροὶ δ' ἐψεύσαντο μεγασθενέτην βασιλῆα·* 16
*τῶνδε διηνεκέως βιότου τροφὸς ἔσσεται ὥρη,*
*καί σφισιν ἀθάνατος ζωαρκέα πυρὸν ἔδωκε* 17
*καὶ μέλιτος πέτρηθεν ἀκηρασίου κόρον ἴσχειν.*

## *πα΄* (81)

*Πρῶτον ἐπ' ὀγδοάτῃ δεκάδι μέλος ἐσθλὸν Ἀσάφου.*

*Ἄφθιτος ἐν κλισίῃσι θεῶν πανυπέρτατος ἔστη,* 1
*ἑζόμενος δ' ἀνὰ μέσσον ἄναξ μακάρεσσι δικάζει.*
*μέχρι τεῦ ἀχράντοιο δίκης οὐ κρίνετε θεσμούς,* 2
*ἅζεσθε δὲ πρόσωπον ὑπερφιάλων ἀλεγεινῶν;*
*ὀρφανικοῦ [τε] καὶ ἀκτεάνου διαείδεται ὕβρις,* 3
*δειλῷ τ' ἠδὲ πένητι δίκης ἰθύνατε θεσμούς·*
*ἀκτέανον ῥύσασθέ [τ'] ἀμήχανον ἠδὲ πενιχρὸν* 4
*καί μιν ἀνιηρῆς παλάμης ἁρπάξατ' ἀλιτροῦ.*
*νήπιοι, οὐ σκέψαντο μετὰ φρεσὶν οὐδ' ἐνόησαν,* 5
*οὕνεκεν ἀφραδέως ὀλοὴν μετεκίαθον ὄρφνην·*

---

**32** *δ' L*; om. *Ω*; *καὶ O*. — *ἐψεύσαντο OL*, pc. *M*; *ψεύ- DS*, ac. *M*; *ἐπεψεύ- Ω*. — *μεγασθενέτη DL*[1]*MS*, cr. *L*[2]. — *βασιλῆα M*. — **33** *τῶν δὲ MPm*. — **34** *ἔδωκε P*; *-κεν ODLMS*; *-κες R*; *-κας v*. — **35** *ἀκηράσιον DM*.

*Υ* 81 *δεκάδι O*; *-δος Ω*; om. *P*. — *Ψ* 81, **1** *ἐν κλισίῃσι* (*-ησι*) *Ω*; *ἐν κλη- D*; *ἐκ* (*ἐν* cr. *L*[2]) *κλη- L*[1]; *ἐν ἐκκλη- S*. — **2** *ἑζόμενον* (*-ος* pc.) *S*. — *μάκαρ ἐπιδικάζοι* (*-ει* ac. *S*) *DMS*. — *δικάζει Ω*; *-ζοι OL*. — **3** *κρίνεται ODMS*. — *θεσμούς OΩ*; *-μοῖς Rv*. — **4** *ἅζεσθε* (*ἄ- L*[2], *λά-* rubr. *O*) *δὲ Ω* (cf. Ritter 29. Hilberg 49. Rzach[3] 316. 328); *ἅζεσθαι δὲ DL*[1]*MS*; *ἠδ' ἅζεσθε b***c**; an *ἀλλ' ἅζεσθε*? — *πρόσωπον DLMS*; *-πα Ω*. — **5** *ὀρφανικοῦ τε* Volkmann 36, Ritter 18, Scheindler[1] 906 (possis etiam *-κοῖο*); *-κοῦ OΩ*. — *ἀκτέανον M*. — *διαείδεται* (sic *O*[1]*DM*, pc. *S*; *-δετε O*[2]*LP*, ac. *S*; *-σετε Rv*) *ὕβριν Ω*; *-σεται ὕβρις* Scheindler[1] 907: cf. Volkmann 34. Ritter 15. — **7** *ῥύσασθέ τ'* scripsi; *-σθε OΩ*; *-σθ' DLMS*. — *ἀμηχάνου Ω*. — *πενιχρὸν L*[2]*Rv*, pc. *P*; *-χροῦ ODL*[1]*MS*, ac. *P*. — **8** *ἠδέ μιν R*. — *ἀνικρῆς S*; *ἀνιαρῆς Ω*. — *ἁρπάξατ' v*; *-άσατ' OΩ*. — **9** *οὐκ ἐσκέψαντο O*. — *οὐδὲ νόησαν S*. — **10** *ὀλοὴν* om. *L*[1], ss. *L*[2]. — *μετακίαθον* ac. *MS*.

ἔνθεν ὀρινέσθωσαν ὅλης περὶ πυθμένος αἴης.
αὐτὸς ἑκὼν ἐφάμην μάκαρος πάρος ὑμέας εἶναι 6
καὶ παῖδας βασιλῆος ἀγακλέος ὑψίστοιο,
θνήσκετε δὲ φθιμένοισι κατὰ χθονὸς ἶσα βροτοῖσιν 7
οὐλομένῳ πίπτοντες ὁμοίιοι ἡγητῆρι.
ἔγρεο, παμβασιλεῦ, καί μοι χθονὶ σεῖο δικάζοις, 8
οὕνεκα σὺ κλήρῳ κτεατίσσεαι ἔθνεα πάντα.

## πβ' (82)

Ὀγδοάτης δεκάδος καὶ δεύτερος ὕμνος Ἀσάφου. 1

Ἄφθιτε, τίς δή τοι πανομοίιος ἔσσεται ἄλλος; 2
μή ποτε σιγήσῃς μηδὲ φρεσὶ μείλιχος εἴης,
οὕνεκα σῶν πυκινῶς δηίων ὀρυμαγδὸς ἀέρθη, 3
οἵ δέ σ ἀπεχθαίροντες ἀερτάζουσι κάρηνα·
μῆτιν ἐτεκτήναντο τεῷ δηλήμονα λαῷ, 4
ἀμφὶ δὲ σῶν ὁσίων ὀλοφώια μητίσαντο·
„δεῦτ' ἄγε δή, φίλοι ἄνδρες, ὅπως σφέας ἐξολέσωμεν, 5
οὔνομα δὲ σβέσσωμεν ἀπὸ χθονὸς Ἰσραήλου."
αὐτίκα δ' ἀγρόμενοι κακομήχανοι ἐσκέψαντο, 6
συνθεσίην κατέναντα, μάκαρ, σέο τεχνήσαντο,
Ἰδουμαίων φῦλα καὶ υἱέες Ἰσμαήλου,

---

11 πυθμένος αἴης *DLMSv**; -να γαίης (-ας *O*) *Ω*. — 12 μάκαρος *O*[1]*Ω*, pc. *DR*; -ον *D* ac.; -ας *O*[2]*P*, ac. *R*. — ὑμέας *DLM*, pc. *P*; -αίας *S*; ἡμέας *Ω*. — 13 om. *DM*. — 14 βροτοὶ *O*[1], -οῖσι *O*[3]. — 15 ἑλομένῳ πέπτ. *L*[1], cr. *L*[2]. — ἡγητῆρι *L*[1]*Ω*; γενετ- *O*; ῷ γενετ- *L*[2] im. — 16 ἄγρεο (ἄ rubr.) *O*. — μοι *Ω*; με *O*; μευ *PR*. — 17 κτεατίσσαι *L*[1]*S*, cr. *L*[2]; -ίσσαισιν *D*; -ίσσεσιν *M*.

Ψ 82, 1 δή τοι *Ω*; δὲ *M*. — 2 σιγήσῃς (-ης) *L*[2]*Ω*; -σεις *DL*[1]*MS*. — 3 πυκινῶν *OL*. — ὀρυμαγδὸς *DMb***m*; -υγμαδὸς *Ω*. — 4 δέ σε *O*; δ' ἑσσ *S*. — 5 τεῷ *Mv*; τῷ (τῶ) *OΩ*. — 6 ὀλοφώϊα *Ω*; δολόφονα *O*. — μητίσαντο *O*; μητήσ- *DLMS*; μητίσσ- *Ω*. — 7 δ' εὐτάγε *S*. — 8—11 spondiaci: v. Lch[1] 52. — 9 ἀγρόμενοι *OΩ*; ἐγρ- *PRv*. — ἔκταντο *D* (*L* ac.?) *MS*. — 10 κατέναντι *O*. — σέθεν *O*; σέθε *P*. — τεχνήσαντος *M*. — 11 υἶες *DM*; ὑἵες *S*.

*τοῖσι δ' ὁμοῦ Μωᾶφος ὑπερφίαλοί τ' Ἀγαρηνοί,*
*Ἀμμῶνες Γέβαλοί τε καὶ υἱέες Ἀμαλήχου* 8
*ἀλλοδαποί θ' ἁλίοισιν ἅμ' ἀγρόμενοι Τυρίοισιν·*
*οὐδὲ μὲν Ἀσσυρίων ἀπελείπετο δῆμος ἀπείρων,* 9
*ἀλλ' ἐπιθωρηχθέντες ἔβαν πρόμοι υἱάσι Λώτου.*
*ἕρξον, ὅπως Σισάρᾳ τέλεσάς ποτε καὶ Μαδιάμῃ* 10
*ἢ μετὰ χειμέριον Κισσῶν ῥόον Ἰαβίνοισιν,*
*οἳ πρὶν ἐν Ἀελδῶρι δάμεν βαρυπήμονι μόχθῳ* 11
*κόπρῳ τ' ἐξεφάνησαν ἀλίγκιοι ὑψόθι γαίης,*
*οἷα κόνις, τὴν ὦκα διὰ χθονὸς ἤλασ' ἀήτης.*
*τῶνδε καθηγητῆρας, ἄναξ πανυπέρτατε, τεύξεις* 12
*Ὠρήφῳ, Ζήφῳ, Ζεβέῳ καὶ Σαλμανῷ ἴσους*
*πάντας, ὅσοι τελέθουσι μετὰ σφίσιν ἡγεμονῆες,*
*οἳ πρὶν ἑλεῖν σκέψαντο θεοῦ περικαλλέα βωμόν.* 13
*οἷα τροχὸν σύμπαντας, ἄναξ, περιηγέα θείης* 14
*ἢ ἅτε καρφομένην καλάμην κατέναντα θυέλλης.*
*ὡς πυρὶ βοσκομένῳ κατὰ πίσεα πυκνὰ καὶ ὕλην* 15

---

**12** *τοῖσι δ'* *DLMS*, pc. *O*; *-σιν Ω*, ac. *O*. — *μωᾶφος O*; *μωᾶβος Ω* (*μωά- L*, *μώα- P*); *βωάφος DMS*. — *ὑπερφύαλοι τ' ἀγ. O*; *-φίαλοί τε ἀγ. M*; *-φίαλοι ταγ. S*. — **13** *υἶες DM*; *ὑίες S*; *υἱέας* (?) *L* ac. — **14** *ἀλλοδαποὶ θαλίοισιν DLM* (*θάλΐ-* ex *χαλεί-* cr. *S*). — *ἀγρόμενοι OLS* (*-ομένοι M*); *ἐγρ- Ω*. — **15** *δῆμα* $DM^1$ (cum *ἴσως* cr. $M^2$). — **16** *πρόμος M*. — *υἱάσι ODP* (*υἱᾶ-* $L^1$, *υἶα- S*, *ἡά- M*); *υἱέσι* $L^2v$, pc. (*υἱέεσι* ac.) *R*. — **17** *σισάρᾳ* (*-α*) *Ω*, pc. $L^2$. — *τέλεσας* om. $L^1$, add. $L^2$ im.; *τελέσῐ̈ς DM*; *το- S*. — **18** *ἢ* $L^2Ω$; om. *O*; *ἡ* $DL^1S$; *ἢ M*. — *κατὰ* Mommsen 266. — *κισῶν P* ir. — *ἰαβίνοισιν Ω* (*-βίμοισι* $L^2$); *-βείνοισιν P*; *-βίνης* $DL^1MS$; *-βόνοις O*. — **19** *ἀελδῶρι OΩ*; *ἀεν- Rv*, cum *γρ' P* ss. — *δάμε D*, pc. *S*. — **21** notam † praescripsit $L^2$, quia nihil eius modi in *Σ* (sed v. 34, 8). — *ἥλασα ἥτης S*. — **22** *τῶν γε R*; *τῶν δὲ m*. — *γεύσεις S* ac. — **23** *ὠρήφῳ* (*-ω*) *OΩ*; *-βῳ PRv*. — *ζήφῳ* (*-ω*) *OΩ*; *-βῳ PRv*. — *Ζεβέῳ v*; *ζεβαίῳ* (*-ω*) *OΩ*; *-αίου S*. — *σαλμανῷ L*; *σαλμάνῳ* (*-ω*) *Ω*, pc. *O*; *σαμάλῳ PR*, ac. *O*; *σαλμά D*; *-μὰ M*. — **25** *ἕλην M*. — **26** *οἶα M*; *οἱά S*. — *σύμπαν R*. — *θείης* $L^2m^*$; *δοίης* $L^1Ω$. — **27** *κατέναντα* $L^2$; *-τι Ω* (cf. 10); *καὶ ἔναντα* (*ἕ- S*) *DMS*. — **28** *ὡς* scripsi; *ἢ Ω*; *καὶ M*; om. *O*. — *καταπίσεα OMS*, pc. *D*; *-βύσεα D* ac.

ἢ φλογὶ καρφαλέων ὀρέων ὑπερορμηθείσῃ,
ὧδε, μάκαρ, μάλα τοῦσδε καταιγίδι σεῖο διώκοις 16
θυμῷ ἀμαιμακέτῳ καὶ ἀπηνέι πάντας ἀτύζων.
αἰσχύνης ἅμα πᾶσι περιπλήσειας ὀπωπάς, 17
ὄφρά κεν αἰδόμενοι τεὸν οὔνομα μαστεύσειαν.
νωλεμέως στυγεροῖσιν ὀρινέσθωσαν ἐλέγχοις, 18
μῶμος ἕλοι σύμπαντας, δμοῦ δ' ἀπολοίατ' ἀνίῃ·
γνοῖεν ἀπολλύμενοι κραδίῃ τεὸν οὔνομα θεῖον, 19
οὕνεκα μοῦνος ἐπ' αἶαν ὅλην ὕψιστος ἐτύχθης.

## πγ' (83)

*Υἱάσιν ἱερὸς ὕμνος ὑπερθύμοιο Κοραίου* 1
*ὀγδοάτης δεκάδος μέλπετο καὶ τρίτατος.*

Ὡς ἐραταὶ κλισίαι σθενέων σέθεν αἰὲν ἔασιν· 2
ἐκ θυμοῦ ποθέω μάκαρος περιναιέμεν αὐλάς. 3
ψυχῇ καὶ μελέεσσι θεῷ ἐπαγάλλομ' ἐόντι·
καὶ γάρ τοι στρουθὸς καταθύμιον οἶκον ἐφεῦρε 4
καὶ τρυγὼν τεκέεσσιν ἐναίσιμον εὗρε καλιήν·
βωμοὶ σεῖο, μάκαρ σθενέων, θεός ἐσσι καὶ ἐσσήν.
ὄλβιστοι μάλα πάντες, ὅσοι σέο δώματ' ἔχουσιν, 5
αἶνον ἀγακλήεντα τεὸν μέλψουσιν ἀοιδαῖς.

---

29 ὕπερ ὀρμ. *O* ir. — 30 μάλα *O* ac., μάκαρ cr. *O* rubr. — διώκοις *Ω*, pc. *S*; -κεις *DM*; -κης *S* pc.; δικάσοις *O*. — 32 αἰσχύνη $DL^1MS$, cr. $L^2$. — περιπλήσεια]ς rubr. *O* add.; -σϊας *S*. — ὀπωπῆς $L^1$, cr. $L^2$. — 33 αἰδόμενον *O* ac. — 34 στυγερῶσιν *D*, ac. *M*. — 35 ἀνίη *ODLM*; -είη *S*; -οίῃ *Ω*. — 37 ἕνεκα $L^1$, cr. $L^2$. — ἐπαῖαν *S*. — ὅλων *O*. — ἐτύχθη *S*.

*Υ* 83, 1 υἰᾶσιν *OL*. — *Ψ* 83, 1 κλισίαι ir. $L^2$; κηλισίαι *D*; κησίαι *S*. — αἰὲν ἔασι $DL^1MS$; -σσιν *OΩ*; αἰεὶ ἐσσὴν $L^2$ im. — 2 μάκαρ *O*. — 3 ἐπ' ἀγάλλομ' *DMS*; ἐπαγγέλομ' *O*. — 4 καὶ *OΩ*; καί γε *Rv*. — γάρ τοι $L^2$ ir.; γάρ οἱ *Ω*; γὰρ ἕοι *P*. — ἐφ' (ἐφ) εὗρε *DMS*, ac. *L*. — 5 τοκέεσσιν *R*; τεκέευσιν *S*. — αἰνέσιμον *OS*. — 6 ἐσσήν *Ω*; ἐσσΐ *O*. — 8 μέλψωσιν *O*. — ἀιδαῖς *M* ac.; ἀρι- *S*.

ὄλβιος, ὅς τις ἀνὴρ παρὰ σοὶ κράτος ἐσθλὸν ἐφεῦρε 6
θυμῷ ἐποπτεύων καὶ ἐς οὐρανὸν αὐτὸν ἐλάσσας
ἐν κοίλῃ κλαυθμῶνος, ἵνα κλυτὸν εὕρετο χῶρον. 7
εὐλογίας θεσμοῖο δοτὴρ κατὰ μοῖραν ὀπάσσαι·
ἐκ σθένεος νίσσοιντο μετὰ σθένος ὁρμηθέντες, 8
ἀμφαδὸν ἐν Σιῶνι θεῶν θεὸς ὄψεται ὅσσοις.
κλῦθι, μάκαρ σθενέων, θεράπων δέ τοι εὔχομαι εἶναι, 9
ἀρχὲ Ἰακώβου, δέξαι νῦν μ᾽ οὔασιν αὐδήν·
ἄλκαρ ἐμὸν γεγαὼς ποτιδέρκεο σῇσιν ὀπωπαῖς, 10
μὴ δὴ σεῖο πρόσωπον, ἄναξ, χριστοῖο παρέλθῃς.
αὐλαῖς χιλιάδων προφέρει σέθεν ἦμαρ ἰαύειν· 11
βέλτερον ἐν μεγάροισι θεοῦ καὶ οἰκτρὸν ἀκοῦσαι
ἢ κρατερὸν ναετῆρα μετὰ κλισίῃσιν ἀλιτρῶν.
ὡς ἔλεον καὶ ἀληθείην θεὸς ἀμφαγαπάζει, 12
αὐτὸς κῦδος ἀεὶ καὶ ἑὴν χάριν ἐγγυαλίξει
οὐδ᾽ ἀγαθῶν σφετέρων ἀκάκους ποτὲ νόσφιν ἐάσει.
ἄφθιτε, καὶ γὰρ ἀεὶ σθενέων μάκαρ ἔπλεο μοῦνος, 13
ὄλβιος οὗτος ἀνήρ, οὗ κεν φρεσὶν ἐλπὶς ἐτύχθης.

---

9 κράτη *DMS*. — ἐφ᾽ (ἐφ) εὗρε *DMS*, ac. *L*. — 10 θυμῷ (-ῶ) *PΩ*; γρ′ θαμὰ *P* ss. — ἐπυπτεύων $L^2$Ω; -τεῦ sic *D*($L^1$?)$M^1$*S*; -τεῦσαι $M^2$. — ἐλάσας $L^2$; -άσαι *OD*$L^1M^1$; -ᾶσαι *S*; -άσσαι $M^2$*PRv*. — 11 εὕρετο *OL*; εὗρα- *Ω* (εὔ- *D*); εὗρυ- *S*. — χῶρ$\overset{ον}{αν}$ *M*; χῶρανον *D*; χώραν *S*. — 12 εὐλογία $L^1$, -ίαις $L^2$. — ὁπᾶσαι *M*; ὀπάσσει *R*. — 13 ἐκ σθένεος *OΩ*; εὐσθενέος *Rv*. — νίσοιντο *ODLS*; -οντο *M*. — 14 θεῶν θεὸς *b*c*gm*; θεῶν θεὸν *L*; θεὸς (-ὸν *OD*, pc. *S*) θεῶν *Ω*. — ὄψεται *Ω*; -εαι *ODLM*, pc. *S* (-αιαι ac.). — ὅσσοιο *O*; ὅσοις *R*. — 16 οὐασὸν *D*; ὀνασὸν *M*; οὐνασὸν *S*. — ᾠδὴν *P*. — 17 ὀπωπῆς *LMS*; ὁ- *D*. — 18 δὴ *Ω*; δὲ *MS*; δέ γε *P*. — χριστοῖο $L^1$Ω; χρη- $L^2$. — παρέλθῃς (-ης) *Ω*; -θοις *OPR*. — 19 αὐλῆς *P*; -ῆς *Ω*. — 20 ἐν *Ω*; ὀν *S*; ὂν *L*. — μεγάρησι(ν del.) *S*. — θεοῖο Scheindler[1] 906. — 22 ἀληθείη θεὸν *S*. — 23 ἑὴν *S*; ἰὴν *DM*. — ἐγγυαλίζει *O*. — 24 ἑάσει *DMS*; ἐάσσει *Rv*. — 25 ἀεὶ *DLMSb*c*; αἰεὶ *Ω*. — 26 οὗ *O*; ᾧ (ὧ) *Ω*. — κεν *Ω* (κε *S*); μεν *D*; μὲν *M*; κεν ἐν *O*; an κ᾽ ἐν ? — ἐτύχθης *O*$L^2$*P*; ἐτύχθη *Ω*; τύχθη $L^1$.

## πδ' (84)

Ὀγδοάτῃ δεκάδι πρὸς τέτρατος ἱερὸς ὕμνος 1
μέλπεθ' ὑπερθύμοιο φίλοις τεκέεσσι Κοραίου.

Σεῖο πάλιν, βασιλεῦ, μετὰ κήδεα φίλαο γαῖαν, 2
αὖτις Ἰακώβου δωρήσαο ληίδι νόστον·
δυσνομίας μεθέηκας ἀπειρεσίας σέο λαῷ, 3
παντοίων ἐκάλυψας ἑῶν ψύθος ἀμπλακιάων.
μήνιος ἐκ πυκινῆς ἀγανόφρονα θυμὸν ἔπαυσας, 4
σεῖο μετήμειψας κεκοτηότα θυμὸν ἀνίης.
ἀλλ' ἄγε, φέγγος ἐμόν, στρεφθεὶς πάλιν ἵλαθι σοῖσιν, 5
ἡμείων δ' ἀπάλαλκε τεὴν πολυπήμονα μῆνιν·
μηδὲ τεοῖς δμώεσσι διηνεκέως χαλεπήνῃς 6
ἐκ γενεῆς γενεὴν δὲ βαρύφρονα μῆνιν ἀέξων.
αὐτὸς ἐπιστρέψας βιότου χάριν ἄμμιν ὀπάζοις, 7
σοὶ δ' ἐπιγηθήσειεν ἀγαλλόμενός σεο λαός.
θεσπεσίην ἐλεητύν, ἄναξ, ἀνάφαινε τεοῖσι, 8
δὸς δ' ἐπιδευομένοισιν ἀλεξίκακόν σεο φέγγος.
πεύσομαι, ὅττί κεν αὐτὸς ἐμοὶ θεὸς ἐξαγορεύσῃ 9

---

Υ 84, 1 δεκάδει S ac.; -άτος $L^2$ ir. — πρὸς $L^2Ω$; om. $DL^1MS$. — τέταρτος $OL^1M$, cr. $L^2$. — Ψ 84, 2 αὖτις DLSv*; εὖ (ε rubr.) τίς O; αὖθις Ω. — ἰακώβῳ P. — δωρήσαο Ω; -σατο O. — ληΐδι νόστον $OL^2$ (cum ἴσως v*); ληνόδι νό- $D(L^1?)MS$ (cum ἐν ἄλλῳ δὲ v*); λήδιον νό- PRa (ληΐδ- Ra*); ληδιόνοστον bcm (cf. Volkmann 75); λήϊα νόστῳ b* c*. — 3 λαῶν O. — 4 ἑῶν ψύθος OPR, ir. $L^2$; ἐπ' ὄψεσιν Ω; ἐπ' ὄχεσιν M. — 5 πυκίνια DM; -ινία S. — ἀγανείφρονα DS; ἀγανείρονα (ss. ἀγήνορα) M. — 6 om. $DL^1MS$, add. $L^2$ im. — κεκοτηότα P; -τηότι Ω (-τϊότι O): cf. Hom. Φ 456 κίομεν κεκοτηότι θυμῷ. — 7 ἀλλ' ἄγε L; ἀλλά γε Ω; λλα sic O. — πάλιν Ω; πᾶσι O. — ἱλάθισυ με $L^1$ (σοῖσιν ss. $L^2$); ἱλαθίσωμε S; -σωμαι DM. — 8 om. it., add. im. O. — ἀπάλαλκε $L^2Ω$; ἐμπόλακε DM, pc. S (ἐμπά- ac.). — τεὴν $L^2Ω$; τεὸν $DL^1MS$. — μῆνιν $L^2Ω$; μῆτιν $L^1$; μήνην DMS. — 9 et 10 om. M. — δϊμόεσι (σ ss.) S. — 10 ἀέξω $DL^1S$, cr. $L^2$. — 12 ἀγαλλόμενοι $L^1$, cr. $L^2$. — 15 λεύσομαι (λ rubr.) O; πεύσομεν $L^1$, cr. $L^2$. — ἐξαγορεύσῃ LS; -σει Ω.

εἰρήνην σφετέροισι πάλιν λαοῖσι φυτεύων
καὶ νόον οἷς ὁσίοις καὶ ὅσοι πάλιν εἰσὶ μετ᾽ αὐτοῦ.
ἔμπά γε μὴν τρομέοντας ἑὸν φάος ἀμφιπολεύει 10
νωιτέρην κατὰ γαῖαν, ὅπως κλυτὸν εὖχος ὀρέξοι.
ἤντεον ἀλλήλοισιν ἀληθείη τ᾽ ἔλεός τε, 11
εἰρήνη δ᾽ ἐφίλησε δικαιοσύνην ἐρατεινήν·
γαίης ἐξανέτειλεν ἀληθείη χαρίεσσα, 12
οὐρανόθεν δ᾽ ἐρόεσσα δικαιοσύνη διέκυψε·
καὶ γὰρ μειλιχίην βασιλεὺς ζωαρκέα δοίη 13
καὶ χθὼν καρποτόκος φυσίζοον εἶδαρ ὀπάσσοι.
εὐδικίη κατέναντα θεοῦ βασιλῆος ὁδεύσει 14
ἴχνιά οἱ τροχαλοῖσιν ἐπιθύνουσα κελεύθοις.

## πε΄ (85)

*Πέμπτον ἐπ᾽ ὀγδοάτῃ δεκάδι μέλος ἐσθλὸν ἀείδων*
*εὐχωλὴν βασιλῆι μέγας Δαυῖδος ἀνῆκεν.*

Κλῖνον, ἄναξ, τεὸν οὖας, ἐμῆς δ᾽ ἐπικέκλυθι φωνῆς, 1
οὕνεκεν ἀκτέανός τις ἐγὼ καὶ πτωχὸς ἐτύχθην.
ἦτορ ἐμὸν φρούρησον, ἄναξ, ὅσιός νύ τοί εἰμι· 2
σὸν θεράποντα σάωσον, ἐπεὶ σύ μοι ἄφθιτος ἐλπίς.

---

**16** σφετέροισι (-σιν *DM*) πάλιν *DLMS*; -ροις πᾶσιν (-σι *O*) *Ω*. — σφετέροις λαοῖσιν πᾶσι *P*. — **17** οἷο *O*. — πάλιν *Ω*; πάντες *O*. — μετ᾽ αὐτοῦ *PRv* (sed cf. Mommsen 264); -τόν *O*; -τῶν $L^1$; μιᾶς $DL^2M$; μιὰς *S*; an εἶσι μετ᾽ αὐτόν? — **18** τρομέωντας *S*; -έων τὰς *M*. — ἑὸς *S*. — ἀμφιπολεύει $L^2$ pc.; -λεύειν *O*; -λεύσει *P*; -λεύσας *Rv*; ἀμφιπέχραι *D*; -πέχρα *M*; -πεχρ\'\' sic *S*. — **19** ὅπο^ου *M*. — ὅπως κλ. εὖχος ὀρέξοι ir. $L^2$; ὅποκλυς· sic *DS*. — ὀρέξει *O*. — **20** ἀλλοίλησιν *L*. — αἰθείη *M*, cr. cum γρ΄ im. — τ᾽ ἔλεός τε *Ω*, ir. $L^2$; χαρι . . . $L^1$; χαρίκεα *D*, ac. *M*; -κε(αι del.)α *S*. — **21** et **22** om. $DL^1MS$, add. $L^2$ im. — **24** βασιλέως *D*(*L* ac.?)*MS*. — δοίην *D*(*L* ac.?)*MS*. — **25** καρποτόκος *OΩ*; -κον *M*; -κος τε *PR*; -κος γε *v*. — ὀπήσσοι *S*; ὀπάσσει *D*; ὀπάσει *M*. — **26** κατέναντα *DLMS*; -τι *Ω*. — θεοῦ om. $L^1$, ss. $L^2$. — ὁδεύσει *M*; ὁδοῦσι $L^1$, cr. $L^2$; ὁδΐὒσΐ *S*. — **27** ἐπ᾽ ἰθύνουσα *P*; ἐπιθύκουσα *D*, ac. *M*. — κελεύθους *M*.

*Υ* 85, 1 ἐπογδοάτῃ *P*. — *Ψ* 85, 4—6 om. $DL^1MS$, add. $L^2$ im.

ἵλαθί μοι βοόωντι πανημαδὸν εἰς σὲ λιτῇσιν 3
ἦτορ ἂν εὐφρήνειας ἐελδομένου θεράποντος· 4
σεῖο γὰρ ἐξήρτησα βίην καὶ θυμὸν ἐμεῖο.
αὐτὸς μείλιχός ἐσσι λίην ἐπιεικέα ῥέζων, 5
εὖ δ' ἐπιδευομένοισι τεὴν ἐλεητὺν ἀέξων.
κλῦθί μευ εὐχωλῆς καὶ ἐμῆς ἴδε γήρυος αὐδήν. 6
τειρόμενος βοάασκον, ὑπήκουσας δὲ λιτάων. 7
οὔ τις ἐν ἀθανάτοισι θεῷ πανομοίιος ἄλλος· 8
οὐδὲ γὰρ ἔργα τεοῖσι πανείκελα φαίνεται ἔργοις.
ἀνδρῶν ἔθνεα πάντα, τά περ τεκτήναο χειρί, 9
ἄντα σέθεν προμολόντα, μακάρτατε, γουνάσσονται
οὔνομα κυδαίνοντα τεὸν καὶ ἀγήραον ἀλκήν·
αὐτὸς ἐπεὶ μέγας ἐσσὶ καὶ ἄφθιτα θαύματα ῥέζεις, 10
αὐτὸς μοῦνος ἄναξ πανυπέρτατος αἰὲν ἐτύχθης.
σῇ μ' ὁδῷ ἰθύνειας, ἀληθείην δὲ κιχείω, 11
θυμὸν ἰαινοίμην τρομέων σέθεν οὔνομα θεῖον.
ἀλλήκτῳ κραδίῃ σε, μάκαρ πανυπέρτατε, μέλψω, 12
σεῖο διηνεκέως κλυτὸν οὔνομα κυδαίνοιμι,

---

6 ἂν $L$; om. $O$; δ' $\Omega$; an ἦτορ ἐυφρήνειας? — 7 ἐξήρτησα $OL^2\Omega$; -ήρτεα $D$($L$ ac.?)$MS$; -ήτησα $v$. — (σεῖο γὰρ ἐξήτησα βίην) sic $m$. — ἐμοῖο $O$. — 8 ἐσσι $Ram$*; ἐσσὶ $O\Omega$; ἐστι $bgm$. — ἐχιείκεα $DM$ (πι ss. $M$); -εικέα $S$. — 10 μευ $D$; μὲν $M$. — γύριος $DLMS$. — 11 μειρόμενος (μ rubr.) $O$; τειρόμενεν $S$; -νον (?) $L$ ac. — ὑπήκουσας $L^1\Omega$ (-σε $O$); ἐπ- $L^2$. — 12 ἀθανάτοισι θεῷ $L^2\Omega$; -τοις ὤ $L^1$; -τοι ὤ $S$; -τοισιν $D$, ac. $M$; -τοισι (im. ἴσως λείπει· θεὸς) $M$ pc. — 13 om. $DL^1MS$, add. $L^2$ im. — πανείκελος $L$. — φαίνετο $O$. — 14 πάντα τάπερ $O\Omega$; πάντα περ $L^1S$ (τάπερτεκ $L^2$ im.); πάντα (-τά $M$) πει $DM$ (ἴσως· τεῆ im. $M$). — 15 προμολοῦσα $DMS$. — μάκαρ $O$. — γουνάσσονται $LPS$; γον- $DM$; λιτάσσονται $O\Omega$. — 17 ῥέξεις $DMS$. — 18 αὐτὰ $D$. — ἄναξ μοῦνος $OPR$. -- ἐτύχθη $S$. — 19 σῇ μ' (με $P$) ὁδῷ (-ῶ) ἰθύνειας $L^2\Omega$; σῆμ' ὁ- ἰ- $a$; σύ μοι διιθύνειας $D$; σύ μοι δ' ἰθ- $M$; σύ με δ' ἀνιθ- $L^1$; σεῖμο δανϊθύνειας (-νϊας ac.) $S$. — 21 ἀλλήκτῳ (-ω) $OD$; ἀλλ' ἤ- $S$; ἀλλ' οἵ- $L$; ἀλή- $\Omega$. — μέλψω $L^2\Omega$; -ψειν $DM$; -ψοις (?) $L^1$. — 22 διηνεκέου et κυδεσίνοιμι $DS$.

*οὕνεκα δή μ' ἐλεητύς, ἄναξ, σέθεν ἀμφικαλύπτει,* 13
*ἡμέτερον δ' Ἀίδαο βαρύφρονα ῥύσαο θυμόν.*
*ἄντα μεῦ, ὦ βασιλεῦ, ἀθεμίστιοι ἀντεφέροντο* 14
*καὶ σθεναρῶν ἐμὸν ἦτορ ὁμήγυρις ἰχνεύεσκεν,*
*οὐδὲ βίην προὔθεντο τεὴν κατεναντίον ὅσσων.*
*καὶ σὺ μάλ' οἰκτίρμων πέλεαι, μάκαρ, ἠδ' ἐλεήμων* 15
*καὶ δωτὴρ ἐλέου πολέος καὶ μοῦνος ἀληθής.*
*οὐρανόθεν σκοπίαζε, μακάρτατε, καί μ' ἐλεαίροις,* 16
*παιδὶ τεῷ σεο κάρτος ὑπέρτατον ἐγγυαλίξοις*
*καί σεθεν ἀμφιπόλου ἀγαπήνορα παῖδα σαώσοις.*
*τεύχοις ἄμμι, μάκαρ, σημήιον εἰς ἀγαθόν περ,* 17
*ὄφρά μευ αἰσχυνθεῖεν ἀνάρσιοι εἰσορόωντες,*
*ὡς ῥα σὺ παρφασίη τελέθεις καὶ ἀρωγὸς ἐμεῖο.*

## πϛʹ (86)

*Υἱάσιν ἀντιθέοισιν ὑπερθύμοιο Κοραίου*
*ἕκτον ἐπ' ὀγδοάτῃ ἡδὺ μέλος δεκάδι.*

*Οὔρεσιν ἀχράντοισι θεμείλια καλὰ θεοῖο·* 1
*οἶδε πύλας Σιῶνος ἀεὶ θεὸς ἀμφαγαπάζειν* 2
*πασάων πολὺ μᾶλλον Ἰακώβου κλισιάων.*
*πευθόμεθ' ἀμφὶ σέθεν, πόλις ἄφθιτε, κυδήεντα.* 3

---

**23** ἀμφικαλύπτοι *S* (ac. *L* ?). — **24** ἡμετέρην *O*. — δμΐδαο *S*; δμώδαο *DM*. — βαρύφρον ἀρ. *L*. — **25** ἄντά (ἀ- *S*) μευ *LS*; -τα μευ *OΩ*; ἄντα με *v* (cr. Ritter 18, Scheindler[1] 907). — ἀθεμίστοιο *M*. — ἀντεφέροιτο *DMS*; ἀντιφέρονται *O*. — **26** σθεναρὸν *S*. — ἰχνεύεσκον *M*. — **27** πρόθεντο τεὴν *O*; προὔθεν τότε ἦν (ἢν pc.) *S*. — κατέναντίον *S*; κατ' ἐν- *O*; καταν- *D*; κατανάντιον *M* (cr. cum ἴσως im.). — **28** μάκαρ om. *DM*. — ἦδ' *S*. — **29** δοτὴρ *OL*[1], cr. *L*[2]; δοιγὴρ *DS*; δοιγὰρ *M*. — πόλεος *M*, ac. *R*; πολέο *S*. — **30** ἐλεαίρεις *O*. — **32** om. *DM*. — **33** ἄμμιν *O*. — **34** εἰσορόοντες *DM*; -ώωντες *S*. — **35** ῥά συ π. τελέθοις *P*.

*Υ* 86, **1** υἱᾶσιν *L*[1]*M* (έ ss. *L*[2]). — ἀντιθέουσιν *S*; -θέου *DM*. — **2** ἕκτος *L*[1], cr. *L*[2]. — *Ψ* 86, **4** πευθόμεθ' *L*[2]*Ω*; -σόμεθ' *L*[1]. — πολήων *O* (πόλη- ac.).

*μνήσομαι ἄντα φίλων Ῥαάφης ἅμα καὶ Βαβυλῶνος·* 4
*ἀλλοδαποὶ Τύριοί τε καὶ Αἰθιόπων κλυτὰ φῦλα*
*κεῖσ' ἅμα πάντες ἰόντες ὁμέστιον αὖλιν ἔθεντο.*
*μητέρα τιμήεσσαν ἀνὴρ Σιῶνα καλέσσει·* 5
*καὶ γὰρ ἀρίζηλον καὶ ἀληθέα γείνατο φῶτα*
*καί μιν ἄναξ ὕψιστος ἀπ' οὐρανοῦ ἐρρίζωσεν.*
*αὐτὸς ἄναξ γραφίδεσσι περιφραδέως ἀγορεύσει* 6
*λαῶν καὶ κρατερῶν, ὧν περ τέκεν, ἡγεμονήων,*
*οἵ τέ μιν οἰκήσουσι νόῳ κεχαρηότες αἰεί.* 7

## πζ' (87)

a *Καὶ τόδε Κοραίου παισὶν ἀνακείσθω μέλος* 1
*ὑπὲρ μαελήθου λεχθὲν ἐκθύμως, ὅτε*
*τὴν Αἰθάμου πρὸς πεῦσιν εἰπεῖν ἴσχυον,*
*ὃν Ἰσραηλίτην μὲν εἰδικὸς λόγος*
*ἐπωνόμαζεν. ἕβδομον δ' αὐτοῖς ὅμως*
*ἀμφὶ μέλος δεκάδι ὀγδοάτῃ πέλεται.*

b *Καὶ τόδ' ὑπὲρ μαελὲθ πινυτοῖς παίδεσσι Κοραίου*
*ἕβδομον ὀγδοάτῃ ἀμφὶ μέλος δεκάδι.*

*Νωιτέροιο βίη πανυπέρτατε φέγγεος ἐσσήν,* 2
*ἠμάτιος βοόω καὶ πάννυχος εἰς σὲ λιτῆσιν·*

---

**5** *ῥαάφις* $L^1$, cr. $L^2$; *ῥαάβης Pbgm*. — **6** *τύριόν S*. — **7** *κ' ἐις DS*. — *ὁμέτισον S*. — **8** *καλέσει DS*, ac. $L^1M$. — **9** *γείνατο* ir. $L^2$. — **10** add. $OL^2PR$; om. $DL^1MSv$. — *οὐρανίων O*. — **11** *αὐτὸς OPR*, ir. $L^2$; *καί μιν Ω*. — *γραφίδεσι D*, ac. *LM*. — **12** *αὐτὸς ἄναξ* ante *λαῶν* add. $DL^1MS$, del. $L^2$. — *ἡγεμονήων* pro novo sticho *DM*. — **13** *μιν* $L^2Ω$; *μοι* $L^1$; *μι S* (cf. ad 87, 3); *μί' D*; *μὴ M*. — *νόῳ* (-ω) *DLMS* (cf. 106, 45); *νόον* $OL^2PR$; *βόον* (ac. *R*?) *a*; *βόων bcgm*.

$Υ^a$ 87 hab. $OL^2$ (vs. 1 etiam $DL^1MS$); om. *Ω*. — **2** *μαελέθου O*; *μαλεή-* $L^2$. — *ἐκθύμως O*; *ἑτοίμως* $L^2$. — **3** *τὴν αἰθ. πρὸς* $L^2$; *πρὸς τὸν αἰθ. O*. — **5** *ἐπ' ὠν. O*. — **6** *ἀμφιμέλος O*. — *δεκάδι δ' ὀγδοάδι* $L^2$. — $Υ^b$ hab. *PRv*; om. *Ω* (cf. 50 $Υ^b$). — **1** *κ. τόδε παισὶν ὑ. μ. συνετοῖο κ. P*. — *Ψ* 87, **1** *νωϊτέρῃ O*. — *βίη Ω*; an *βίης*? — *φέγγος DMS*. — **2** *βοόω L* ac.

εἴθέ μοι εὐχωλὴ σῶν ἀντίον ἵξεται ὄσσων, 3
εἴθέ μοι ἱκεσίῃσιν, ἄναξ, τεὸν οὖας ἐρείδοις,
οὕνεκά μοι βέβριθεν ἀμήχανος ἄλγεσι θυμὸς 4
νερτερίου τ' Ἀίδαο φίλη πέλας ἦλθε βιώνη.
ᾠίσθην ἔμεν ἶσος ἐπεσσυμένοις μετὰ βόθρον, 5
θνητὸς ὅπως γενόμην, ᾧ μὴ καταφαίνετ' ἀρωγός,
καί περ ἀεὶ νεκύεσσιν ἐλεύθερος αὐτὸς ἐών περ, 6
οἷά περ οὐτηθέντες ἀκήδεστοι περὶ τύμβους
εὕδουσιν, τῶν οὔ τι μετατρέπῃ οὐδ' ἀλεγίζεις·
καὶ γὰρ σῆς παλάμης ἐρικυδέος ἐκτὸς ἔλασθεν.
νερτέριόν μ' ἀπέθεντο μετὰ φθισήνορα βόθρον, 7
ὀρφναίην θανάτοιο περὶ σκιοειδέα χώρην.
ἀμφ' ἐμὲ σεῖο κότος βαρυώδυνος ἐστήρικται 8
καί με μεταχρόνιον κλονέει τεὰ μέρμερα πάντα.
τῆλε παρηγορίην νοσφίσσαο πᾶσαν ἑταίρων, 9
οἵ δέ με λευγαλέῳ τῳ ἀποστυγέουσιν ὁμοῖον·
ἆ τότε πῶς βιόωντο καὶ οὐκ ἐθέλοντά μ' ἕπεσθαι.
ἐκ δ' ὀλιγηπελίης ἀμαθύνετο καὶ φάος ὄσσων, 10

---

3 μι S; item 5. — εὐχωλὴ usque ad μοι 4 om. O. — εὐχωλὴν R. — ἀντίων ἵξ. DS. — 4 ἱκεσίῃσιν $L^2$Ω (ἰκ- P); εὐχωλὴ DMS; -λῇ $L^1$. — ἐρείδεις M. — 5 βέβριθεν $L^2$Ω; κέκρι- D$L^1$MS. — ἀμήχανον DMPS. — 6 νερτερίου $L^2$Ω; -τέριον D$L^1$MS. — 7 ἐΐσθην (ε rubr.) O. — ἴσος DM, pc. S (-ως ac.). — βόθρων $L^1$S, cr. $L^2$. — 9 ἀεὶ usque ad περ 10 om. M. — αὐτὸς ἐλεύθερος O. — 10 οὐτησθέντες O; οὐτήθ- M; οὐτιθ- L. — ἀκήδεστον O; -δετοι S; -δεοι L. — 11 Hom. Α 160 τῶν οὔ τι μετατρέπῃ οὐδ' ἀλεγίζεις. — μεταστρέφῃ DM; μετατρέπει O ac.; -έπτῃ S. — 12 ἐλάσθεν D; ἔλαθεν L; -θον O. — 13 νερτέριόν μ' $L^2$Ω; -ερίων μ' DM; -ερόν κ $L^1$; -έριον κ' S. — 14 ἀθανάτοιο O. — περὶ $L^2$P; πέρι O; παρὰ $L^1$Ω (-α S). — 15 ἀμφ' ἐμὲ $L^2$Ω; ἀν δὲ μέ D($L^1$?)M; ἀν δεὲ S. — 16 καλέει O. — 17 νοσφίσαο Ω; -σας O. — ἑτέρων S, ac. L. — 18 με in μευ cr. O. — λευγαλέῴ (-ώ) PR. — τῶ O$L^2$; το $L^1$S; τον D; τὸν M. — 19 ἆ DS; ἃ M; ὧ $O^2$, ᾿ $O^1$. — ἐθέλοντές O. — 20 ὀλιγηπελέης (ὀ-) DLMS.

*αὐτὰρ ἐγὼ κάλεόν σε τόσης ἐπίκουρον ἀνάγκης,*
*εἰς δὲ σὲ χεῖρες ἐμεῖο πανημαδὸν ἠώρηντο·*
*μὴ τεὰ πὰρ νεκύεσσιν ἀκηδέσι θαύματα ῥέξεις;* 11
*ἦ ῥά τοι ἰητῆρες ἀναστήσουσιν ἀοιδούς;*
*μή τις σὴν παρὰ τύμβον, ἄναξ, ἐλεητὺν ἀείσει* 12
*καί σευ ἀληθείην ἐρατὴν ἐπ' ὀλωλότι χώρῳ;*
*μὴ κνέφαϊ θνητὰ τεὰ προφανήσεται ἔργα* 13
*ἤ σεθεν εὐδικίην προλελασμένη εἴσετ' ἄρουρα;*
*τοὔνεκά σε ζῴων μεθέπω καὶ λίσσομ' ἀρωγόν,* 14
*ἠῶθεν δὲ λιτῇσι μετασπόμενός σε καλέσσω.*
*τίπτέ μοι εὐχωλὴν ἀγανόφρονα τηλόσε πέμπεις,* 15
*ἐκ δὲ τεὴν ἱκέταο τρέπεις παλίνορσον ὀπωπήν;*
*ἐξ ἥβης πτωχός τε καὶ ἐν καμάτοισι μεμηλὼς* 16
*ὑψόθεν αὖ χθαμαλὸς γενόμην καὶ ἀμήχανος ἔργοις.*
*ἀμφ' ἐμὲ σεῖο, μάκαρ, πυκιναὶ διὰ μήνιες ἦλθον* 17
*καὶ σῆς ἠνορέης ῥιγηλά με δείματ' ἀτύζει·*
*ἀμφ' ἐμὲ κυκλώουσι βαθύρροον οἷά περ ὕδωρ* 18
*πάντοθεν ἀμφιβαλόντα πανημαδὸν ἔνθα καὶ ἔνθα.*
*γείτονά μευ νόσφισσας ἐμόν θ' ἅμα πιστὸν ἑταῖρον,* 19
*οὐδέ τις ἀσχάλλοντι παρήγορος ἦλθε θυραῖος.*

---

**22** *χεῖρας* $L^1M$, cr. $L^2$. — *ηωρῆντο* $D$; *ἠώρηνται* $O$; *ἠωρήντιος* $S$. — **23** *τε ἀπαρνεκύεσιν* $S$. — *ἀκηδέσι* om. $L^1$, ss. $L^2$. — **24** *ἦ* $Sm$; *ἤ* $\Omega$; *εἰ* $M$. — **26** *ἐπολωλότι* $DLMS$. — **27** *κνέφαϊ*] cf. 88, 41. 90, 2. 118, 260. Ritter 29. Rzach[1] 752. [3] 335. — *θνητὰ* (*θε-* ac.?) $L$. — **28** *εἰ* (expunct.) *ἢ* $M$; *εἰ ἢ* $D$. — *εὐδικίη* $PR$. — *προλελασμένας* $S$ ac. — **29** *οὔνεκά* $O$. — *ζώων* $\Omega$. — **30** *μετασπόμενός* $DLM$; *-σπώ-* $OS$; *μετεγρόμενός* $PRv$. — **31** *τηλόσε* $DLMS$; *-όθι* $\Omega$. — *πέμποις* $OLS$. — **32** *ἐν δὲ* $P$. — *ἱκέτας* $DL^1MS$, cr. $L^2$. — *ὀπωπῆς* $L^1$, cr. $L^2$. — **33** *ἐξήκης* (?) $L^1$, cr. $L^2$; *-κοις* $S$; *ἐξ ἥκης* $D$. — *πτωχός* (om. *τε*) ir. $O$. — **34** *ἀμήχανον* $L^1$, cr. $L^2$. — **35** *ἀμφέμε* $S$; *ἀμφί με* $L$. — *διὰ μήνιες* $L^2c$; *-νιος* $ODL^1MS$; *διαμήνιες* $\Omega$. — **36** *δείματ' ἀτύζει* $\Omega$, ir. $L^2$; *-ματα ἄζει* $D(L^1?)MS$. — **37** *ἀμφί με* $\Omega$: cf. 15. — *κυκλόουσιν* $O$: cf. Lobeck[7] 215. — **39** *μεῦ* $S$. — *νόσφισας* $DLMPR$, ac. $S$; *νοσφίσας* $O$. — *πιστὸν* om. $DL^1MS$, add. $L^2$. — *ἕταιρον* $D$; *ἕτε-* $L^1$, cr. $L^2$. — **40** *θυρ*]*αῖος* pc. $L^2$; *-άνος* $S$.

## πη′ (88)

*Ἄξιον οὐρανίης πινυτῆς χαρίεντος Ἐτάνου* 1
*ὄγδοον ὀγδοάτῃ ἀμφὶ μέλος δεκάδι.*

*Νωλεμέως ἔλεον, βασιλεῦ, τεὸν ὑμνοπολεύσω* 2
*ἐκ γενεῆς γενεὴν δέ, μάκαρ, νημερτέα μέλψω.*
*φῆς ἐλεημοσύνην τεκταινέμεν ἤματα πάντα* 3
*σεῖό τ' ἀληθείην ὑπὲρ αἰθέρα θέσθαι ἑτοίμην.*
*συνθεσίην ποίησα μεθ' ἡμετέροισιν ἀρίστοις,* 4
*ὤμοσα Δαυίδῳ, θεράπων δ' ἐμὸς αἰὲν ἐτύχθη·*
*νωλεμέως σέο φῦλον ἐπεντύναιμι θοώκοις* 5
*καὶ πολυκυδήεντα θρόνον σέο πάντοτε τεύξω.*
*οὐρανοὶ ὑμνήσουσι, μάκαρ, τεὰ θέσκελα ἔργα,* 6
*καί σευ ἀληθείη ὁσίων κλισίῃσι μελέσθω.*
*τίς ναέτης νεφέων πανομοίιος ἔσσετ' ἄνακτι* 7
*ἢ τίς τοί ποθ' ὁμοῖος ἐν υἱάσιν ἀθανάτοιο;*
*κύδιμος ἐν βουλαῖς ἁγίων θεὸς αἰὲν ἐτύχθη,* 8
*ὡς μέγας ὣς φοβερός, περὶ δὲ τρόμος ἔλλαβε πάντας.*
*ἡγητὴρ σθενέων, τίς τοι μένος ἰσοφαρίζοι;* 9
*αὐτὸς ἀληθείῃ κεκορυθμένος ἄλκιμα ῥέξεις.*
*αὐτὸς ἐρισμαράγοιο βίην κτεατίσσαο πόντου,* 10
*κύματα μειλίσσων, ἀνέμοις ὅτε κυρτὰ κορύσσῃ.*

---

Υ 88, **1** *ἄξιον* $L^2$*Ω*; *ἐξ* $L^1$. — *οὐρανίοις DMS*; om. *O* in lac. — *πϊνϋ* sic *O*. — *ἐτάνου* $L^1$*Ω*, cum *γρ′ P* im.; *-άννου* $L^2$; *-άμου P* it.; *αἰθάμου O*. — **2** *ἀμφιμέλος OS*; *-ίμελος D*. — Ψ 88, **1** *ωλελέως S*. — **2—7** om. *O*. — **3** *φῆς Pgm*; *φῇς R*; *φὴς* s. *φὴς Ω*. — **5** *ποιησάμεθ' Ω* (*-αμεθ'* pc. *L*). — **6** *δ' ἐμὸς Ω*; *δέ μοι DMPR*. — *αἰὲν* om. *DLMS*. — **7** *σέο* $L^2$*Ω*; *ἔσο* $L^1$*R*; *ἔσσο DMS*. — **8** *πολυκηδήεντα O*; *-κυδύεντα S* ac. — **9** *οὐρανὸν M*. — **10** *ἀληθείην S* ac. — **11** *ἔσσεται O*. — **12** *υἱᾶσιν* $L^1$, *έ* ss. $L^2$; *ὑΐασι S*. — **13** *βουλῆς* (*-ῆς*) *Ω*, pc. *S*; *-ῇ* (*-ῆ*) *L*, ac. *S*. — **14** *ὡς μ. ὡς Ω*. — *ἔλλαβε* ($M^2$*Sv**, *ἔλα-* *OD*$L^1M^1$*S*) *πάντας Ω*; *εἷλεν ἅπαντας PRv*, im. $L^2$. — **15** *ἰφαρίζοι D*. — **16** *ἄλκιμα ῥέζεις Ω* (*-ξεις D*$L^2$*M*); *-μαρ ἔξῃς S*; *ἄλκημος ἥξεις* $L^1$. — **18** *κύματ' ἀμειλίχων M*, pc. *D* (*-είλιχον* ac.). — *ἀνέμοις* $L^2$*PR*; *ἄνεμος O*; *ἀνέλοις Ω*. — Hom. Φ 306 *κόρυσσε δὲ κῦμα ῥόοιο ὑψόσ' ἀειρόμενος*. — *κορύσσῃ DLM*, pc. *S*; *-οι S* ac.· *ει Ω*.

οἷά περ οὐτηθέντα ὑπέρβιον ἄνδρα καθεῖλες, 11
κάρτεϊ δὲ βρίθων στυγεροὺς ἐκέδασσας ἀλείτας.
οὐρανοὶ ἠδὲ καὶ αἶα τεῆς κτέρας εἰσὶν ἀνωγῆς, 12
εὐκύκλου παλάμῃσι θεμείλια θήκαο κόσμου.
καὶ Βορέην καὶ πόντον ἀθέσφατον αὐτὸς ἔτευξας· 13
σοὶ περὶ Θαβῶρός θ' Ἑρμωνίιμός τε χαρεῖεν.
ἀστυφέλικτος ἀεὶ περὶ κάρτεϊ σεῖο βραχίων· 14
σὴ μεγαλιζέσθω πρὸς θάρσεϊ δεξιτερὴ χείρ.
εὐδικίη καὶ κρῖμα τεὴν περιίσταται ἕδρην, 15
ἄντα σέθεν προθέουσιν ἀληθείη τ' ἔλεός τε.
ὄλβιος ἔπλετο λαὸς ἐπισταμένως ἀλαλάζων· 16
τῶν ἤτοι σέο φέγγος ἀγήραον ἡγεμονεύσει
πάντοτε τερπομένων, οἷσιν τεὸν οὔνομα τέρψις, 17
καὶ κλέος ἀμφιβόητον ὑπ' εὐδικίῃσι τεῇσιν.
οὕνεκα σύ σφισιν εὖχος ἔφυς περιώσιον ἀλκῆς, 18
σοί τ' ἐπὶ θαρσαλέοι σφέτερον κέρας ὑψώσειαν.
ἀθανάτου κατὰ γαῖαν ἀεὶ πέλει ἕρκος ἀρωγῆς, 19
ἀχράντου βασιλῆος ἀγακλέος Ἰσραήλου.
δὴ τότε παισὶ τεοῖσι τάδε προσελέξαο βάζων· 20

---

**19** *οἷ ἄπερον τιθέντα D*; *οἷα περοντιθε- M*. — *οὐτιθέντα LS*; *-ηθέντες O*. — **20** *ἐκέδασας* $DL^1M^1S$, cr. $L^2M^2$; *-ασεν O*. — *ἀλεῖτας L*. — **21** *ἠδὲ καὶ v*; *δὲ καὶ ODLMS*; *ἠδέ τε PR*; *ἠδέ κε gm*. — *αἶα DLMS*; *γαῖα Ω*. — **22** *παλάμοισι* $L^1S$, cr. $L^2$. — *θήκας* $L^1$, cr. $L^2$. — **24** *περι O*; *πέρι P*. — *θαβῶρός (-ος) θ' OPRv*; *θαβῶρ θ' DM*; *-ῶρστ S*; *-ὼρ τ'* $L^1$, *-ὼρ θ'* $L^2$. — *ἑρμόνηίμος* (ω above ο) $L^1$ (*ἑ-* $L^2$); *ἑρμονϊήμονος O*; *ἑρμωνόϊμός Dv*; *ε- S*; *ἑρμῶνόϊμός M*; *-ωνοΐμος PR*. — **25** *ἀεὶ DLMScgm*; *αἰεὶ Ω*. — *περι OS*. — *σεῖο DLMS*; *σῷ (σῶ) Ω*. — *βραχίων LMS*; *-είων D*; *βραχίωνι Ω (-ίονι O)*: cf. 43. 43, 7. Schneider[1] 142. — **26** *πρὸς Ω*; *περὶ* Sternbach 69. — *δεξιτερὴ* $L^2\Omega$; *δευτέρη* $D(L^1?)M$; *-ερῇ S*. — **27** *εὐδικίην DM* (ac. *P*?). — *καὶ Ω*; *ἠδὲ P*. — *περιΐστατε DS*. — **29** *ἐπισταμέν ὡς S*; *-άμενος M*. — **31** *οἷσι* $OL^1PR$, cr. $L^2$. — **32** *ἐπ' L*. — **34** *ἐπι ODLMS*; *ἔπι P*; *ἔτι gm*. — *θαρσαλέον O*. — **35** *ἕρκος* $L^1\Omega$ (*ἕ- PR*); *ἕλκος* $L^2$. — **37** *προσελέξατο O*; *προέλέξαο D*; *προε- M*.

„κάρτος ἐπὶ κρατερῷ καὶ ἐπ᾽ εὐρυβίῃ πόρον ἀλκήν,
ἐκ λαοῦ πανάριστον ἑλὼν κόσμησα θοώκοις·
Δαυΐδον θεράποντα φίλον καὶ ἔριθον ἐφεῦρον, 21
εὐαγέι δ᾽ ἤλειψα δέμας περικαλλὲς ἐλαίῳ·
καὶ γὰρ νωιτέρην παλάμην ἐπιτάρροθον ἕξει, 22
ἡμέτερος δέ μιν αἰὲν ἐποτρύνειε βραχίων.
οὔ ποτε δυσμενέεσσι γενήσεται ἦδος ἐπ᾽ αὐτῷ 23
οὐδέ ἑ δυσνομίης ἐπὶ πήμασιν υἱὸς ἐλέγξει.
δερκομένου παλάμῃσιν ἑοὺς δηίους ἐναρίξω 24
καί μιν ἀπεχθαίροντας ἐλεγχέας ἐξαναφήνω·
καί οἱ ἀληθείῃ ἔλεός θ᾽ ἅμα σύνδρομος εἴη, 25
ἀμφὶ δ᾽ ἐμοὶ μεγαλαυχὲς ἀειρόμενον κέρας ἕξει.
χεῖρα μέν οἱ στήσαιμι δι᾽ ἀτρυγέτοιο θαλάσσης, 26
καί οἱ δεξιτερὴ ποταμῶν καθύπερθεν ἀνάξει.
αὐτὸς ἀρίζηλον ποθέων καλέσει με τοκῆα, 27
ἀλκτῆρα σφετέρου φάεός θ᾽ ἅμα καὶ θεὸν ἴσχων.
πρωτότοκον δέ μιν αὐτὸς ἐμὸν φίλον υἱέα θήσω, 28
ὑψηλὸν μετὰ πᾶσιν ἀριστοπόνοις βασιλεῦσι.
νωλεμέως ἐλεητὺν ἐνηέα τῷδε φυλάξω 29
καί οἱ συνθεσίης ἐρικυδέα πίστιν ἐρείσω·
ἐκ γενεῆς γενεὴν δὲ φίλος σπόρος ἔμπεδος εἴη 30
καὶ θρόνος αἰγλήεις, ὅσον οὐρανοῦ ἤματα μίμνει.

---

**38** καρτερῷ *DS*. — πόρεν *D*. — ἀλκῇ *O*. — **39** κόσμησα θοώκοις $L^2$Ω; κόσμοις ἀθο- *D*($L^1$?)*MS*. — **40** ἐφ᾽ εὗρον *S*; εὐφ᾽ εὗρεν *D*; ἐφεῦ- *M*. — **41** ἤλειψα $L^2$Ω; ἤμ- *D*$L^1$*MS*. — περικαλὲς *LR*; -καλλέϊ *O*. — ἐλέῳ (-ω) *LS*. — **42** ἐπιτάρροθος *O*. — **44** ἦδος $O^2$*P*; ἧ- *S*; ἥ- Ω; εἶ- $O^1$. — **45** ἐπὶ πήμασιν $L^2$Ω; ἐπίμασιν *S*; -μοσιν $L^1$. — **46** δερκομένους *O*. — ἑαῖς *DM*. — **48** ἀληθείῃ] μοι add. expunxit *D*; -θείῃ θ᾽ ἔ. θ᾽ *O*. — σύνδρομον *ODLMS*. — **49** δ᾽ ἐμοὶ *OL*; δέ μοι Ω. — **50** et **51** om. *DM*. — στήσαιμι *OLS*; θή- *PRv*. — **51** ποταμοῦ *O*. — **52** ἀρίζηλος $L^1$, cr. $L^2$. — **53** φάος *D*$L^1$*MS*, cr. $L^2$. — **54** ἀμὸν *abc*. — **56** ἐνήεα *D*; -ήεσα *S* (ac. *L*?). — **57** συνθεσίῃς *R*. — **58** πόρος *DL*$M^1$*S*, cr. $M^2$. — ἔμπορος *O*. — **59** αἰγλείης (η pc.) *O*.

εἰ δέ κε κείνου παῖδες ἐμῶν λησαίατο θεσμῶν 31
μηδὲ μετ' εὐδικίησιν ὁμαρτήσουσιν ἐμῇσιν·
αἴ κε δικαιοσύνην ἐμέθεν τεύξωσι βέβηλον, 32
ἡμετέρων δὲ γένωντ' ἀμνήμονες ἐννεσιάων,
ἱέμενος σκήπτρῳ στυγερά σφεων ὄψομαι ἔργα, 33
σφωιτέρας μάστιξιν ἀτασθαλίας ἐρεείνων.
τῶν δ' ἐλεημοσύνην προτέρην οὐ πάγχυ κεδάσσω 34
οὐδ' ἐπ' ἀληθείῃ ἄδικον τῇ πρόσθε τελέσσω
οὐδ' ἐπὶ συνθεσίῃσιν ἐμαῖς ῥέξαιμι βέβηλα 35
οὐδὲ μεταστρέψαιμι, τά περ χείλεσσιν ἔειπον.
ὤμοσα Δαυίδῳ, σταθεροὺς δ' οὐ ψεύσομαι ὅρκους· 36
ὄλβιόν οἱ μετὰ πᾶσι διηνεκέως γένος ἔσται 37
καὶ θρόνος ἠελίῳ πανομοίιος αἰγλήεντι,
τοῖος ἐών, οἵη περ ἔφυ πλήθουσα σελήνη, 38
καί οἱ ναιετάων πιστὸς μέγαν οὐρανὸν ἵστωρ."
ἀλλὰ σὺ παντοδαποῖσιν, ἄναξ, μεθέηκας ἐλέγχοις, 39
ἀμβολίῃ χρισθέντα τεῷ παρέλασσας ἐλαίῳ·
συνθεσίην ἔστρεψας ἐρισθενέος θεράποντος 40
καί οἱ πᾶσι βέβηλον ἐπὶ χθονὶ θήκαο νηόν·
ἕρκεά οἱ σύμπαντα μεγακλήεντα καθεῖλες, 41

---

60 παῖδας *L* ac. — 61 μὴ δέ μ' εὐδ. *D*; μὴ δὲ μεν εὐδ. *M*. — 62 εἰ (ε rubr.) *O*. — τεύξουσι *DM*. — 63 γένωντ' *DS*; -οντ' *L*; -ωνται *Ω*; γελόωντ' *M*. — ἐννεσσιάων *S*; γεννεσι- *DM*. — 64 ἱέμνος *D*. — συγερὰ σφέων *S*. — 66 post 67 collocat *M* ac. — ὦν $O^1$, σὴν $O^2$. — προτέρων *L* ac. — κεδάσω *ORa*. — 67 ἄδικόν τι *bm*. — πρόσθεν *O*. — τελέσω *DL*, ac. *M*. — 68 ἐμαῖς *R*; ἐμῇς (-ῆς) *Ω*. — βέβηλον *OR*. — 69 μετατρέψαιμι *P*. — 70 δ' *DLMS*; om. *Ω*. — ψεύδομαι *Rv*. — 71 πᾶσιν $DL^1MS$. — 73 οἱή *LS*; οἵή *P*; οἱή *R*. — ἔφη *L*. — 74 ἵστωρ *PRa*; ἵ- *Ω*. — 75 συμπαντοδ. *D*. — ἐλέγχοις $L^2Ω$; ἀλόγοις $L^1$. — 76 ἐμβολίη (ἐ rubr.) *O*. — ἀμβολήη χρησθ. $L^1$, cr. $L^2$. — παρέλασσας *M*; -ελάσσας $L^2$; -έλασας *Ω*; -ελάσας $OL^1PR$; περάλασας (α, έ supra) *D*. — 77 θεράποντας *DM*, pc. *S*. — 78 χθόνα *O*. — 79 ἕρκεά οἱ *O*; ἕρκάοι *S*. — σὺ πάντα *M*. — μεγακλήεντα *ODMS*; -ηίεντα *m*; -είεντα *Ω*, pc. *R*: v. Volkmann 75.

οἷσι πάρος φρουρεῖτο· τὰ δ' οἱ ῥίγιστα τέτυκται·
καί ἑ παραστείχοντες ἀφαρπάζεσκον ὁδῖται· 42
λωβητὸς γεγένητο παρὰ σφετέροισι θυραίοις.
δεξιτερὴν ἀνάειρας ἐπειγομένων μιν ὀλέσσαι, 43
σφωιτέρους κύδηνας ἀναιδέας ἁρπακτῆρας·
μαρναμένου ξίφεος κρατερὴν ἔστρεψας ἐρωὴν 44
οὐδ' ἐπιδευομένῳ κατὰ φύλοπιν ἦλθες ἀρωγός,
ἀλλ' ἔμεν' οὐλομένοισι μάχης πεπαλαγμένος ἔργοις· 45
ἆ πῶς οἱ στονόεσσα κατήριπεν ὑψόθεν ἕδρη,
ἆ πῶς τόσσον ὄλεσσε μινυνθαδίῳ θρόνον ὥρῃ, 46
ἀντὶ δέ μιν στεφάνων κατερήτυε πάντοθεν αἶσχος.
εἰπέ, μάκαρ, τέο μέχρι κοτεσσάμενος χαλεπαίνοις 47
πυρσὸν ἀναπτόμενον σθεναρόν σεο θυμὸν ἀέξων;
μνῆσαι, παμβασιλεῦ, βρότεος βίος ὅσσος ἐτύχθη· 48
μὴ γὰρ μαψιδίως μερόπων τεκτήναο φῦλον;
τίς βροτός, ὃς θανάτοιο βίην καὶ δεσμὸν ἀλύξει 49
ἐξ Ἀίδαο φίλον καλέων παλινάγρετον ἦτορ;
ποῦ μοι σῆς προτέρης ἐλεητύος ἄσπετος ἀλκή, 50
ἣν Δαυίδῳ πρόσθεν ὑποσχόμενος κατένευσας;

---

**80** *φρουροῖτο OPR.* — *τὰ δ' Mm; τάδ' Ω; τά L* ir. — *οἷ P.* — *ῥίγια O.* — *τέτυκται OL²PR; -το L¹Ω.* — **82** *γεγένητο Ω (-ται O); δὲ γεγ- D; δὲ γένῆτο* (οι supra) *M; δὲ γεγένητο* (ex *-ται* cr.) *S.* — *παρα DS; περὶ O.* — **83** *δεξιτερὴν L²Ω; -ὴς S; -ῆς DL¹.* — *ἀναείρας OS.* — *μοι DLMS.* — *ὀλέσαι ODMS.* — **85** *μαρναμένους O; -άμενον LR.* — *ἀνέστρεψας ὁρμήν O.* — **87** *ἔμεν' OL²Pm*; ἔμεν Ω.* — *πεπελαγμένοις D.* — **88** om. *DL¹MS*, add. *L²* im. — *ὢ* rubr. *O* (ʾ ac.); item 89. — *οἱ* om. *O.* — *κατήριπεν OL²P; -έριπεν R; -έρριπεν Ω.* — **89** *θρόνον OΩm*; -νος v; χρόνον P.* — **90** *κατερήτυε L²* pc., *v* (*-ήτυεν* cum *γρ´ P* ss.); *-ήτεε D; -ύτεε M; -ήτυθε OPR; -ήτε S.* — **91** *κοτεσσάμενοι M* ac. — *χαλεπαίνοις PRv; -εις OD; -ης LS.* — **92** *πυρσῶν DMS.* — *ἀναπτομένων DLMS.* — *σθεναρῶν L; -ναρῶν M; -ραρῶν DS.* — **93** *βροτέ* (ο supra) *O; βρότεο Sa.* — **96** *ἐξαΐδαο ODS.* — **98** *ἣν S; ἢ M.* — *κατένευσεν DM.*

*μηδὲ τεῶν δμώων ἐπιλήθεο μωμηθέντων,* 51
*ὧν πάρος ἡμετέρῳ φερόμην κατὰ νείκεα κόλπῳ,*
*ὥς σε πάρος δήιοι κακοεργέσιν ἔψεγον ἔργοις,* 52
*οἵ ῥα τεοῦ χριστοῖο καὶ εἰκόνα λωβήσαντο.*
*αἰνετὸς ἔσσετ᾽ ἄναξ θεὸς εἰς αἰῶνα. γένοιτο.* 53

## πθ′ (89)

*Εἰ θέμις οὐράνιον φάσθαι βροτόν, αἰὲν ἐτύχθη*
*Μωσῆς ἀθανάτου πιστότατος θεράπων,*
*ὃς πάρος εὐχωλὴν τῆνδ᾽ ἴαχεν· ἡ δὲ τέτυκται*
*ὀγδοάτης δεκάδος ἀμφ᾽ ἐνάτῳ μέλεϊ.*

*Ἄμμι, μάκαρ, γένου ἕρκος ἐπ᾽ ἀλλήκτοισι γενέθλαις,* 1
*πρὶν ἕδρας ὀρέων, πρὶν καὶ χθονὸς ἕρμα γενέσθαι·* 2
*ἐκ παλαχῆς βασιλῆα καὶ εἰς αἰῶνά σε μέλψω.*
*μή μοι ἀποστρέψας χθαμαλὸν πάλιν ἀνέρα τεύξῃς* 3
*κεκλόμενος μερόπεσσι βίον παλίνορσον ἑλέσθαι.*
*χθιζὸν ὅπως ἐτέων σέο χιλιὰς ἦμαρ ἐν ὅσσοις,* 4
*ὃ πρὶν ἀποφθίμενον φυλακήν ἑο νυκτὶ παρέσχε.*
*μωμητά σφισιν ἔργα γενήσεται εἰς ἐνιαυτούς,* 5
*ἠὼς ἠριγενὴς παρελεύσεται οἷά περ ἄνθος·*

---

**101** *ὥς* $L^{2}Ω$; *ὡς DMS*; *ὧ* $L^{1}$; *οἵ P*. — *ἔψεγον* $L^{2}Ω$; *ἔλεγον* $DL^{1}MS$. — **102** *τε. οὐ O*; *τε οὐ M*; *το οὐ S*. — *καὶ* om. *O*. — **103** *αἰνετὸς*] *ἄναξ* add., tum del. *S*. — *ἔσσεται* $OD(L^{1}?)MS$. — *εἰς αἰῶνα γένοιτο* $L^{2}$ ir.; *ἔσσεται* (*ἔσται OPR*) *ἰσραήλου* (*ἰσδρα- M*) *Ω*.

*Υ* 89, **1** *βροτὸς O*; *-τῶ S* ac. — **2** *πιστώτατος DM*; *-ότατο O*. — **3** *ἡ δὲ Ω*; *ἥδε R*; *ἠδὲ P*. — *τέτυκται* $L^{1}Ω$; *-ακται* $OL^{2}$. — **4** *ἀφ᾽ O*. — *ἐννάτω D*. — *μέλεϊ DLMS*, cum *γρ′ P* im.; *μέλει O*; *τε μέλει Ω*. — *Ψ* 89, **1** *γένου Rv*; *γενοῦ OmΩ*. — *ἕρκοις M* ac. — *ἀλλήκτοισι DM*; *ἀλή- Ω*; *ἀλήκτησι OS*. — *γενέθλης DM*. — **2** *τέρμα DM*. — **3** *παλαχοῦ O*. — *βασιλῆα* $L^{2}Ω$; *-ῆος* $L^{1}$; *-ήου DM*; *-ῆου* (o pc.) *S*. — *εἰς*] *τὸν* add. *O*. — **4** *τεύξοις O*; *-εις DM*. — **5** *κεκλόμενος OgmΩ*; *-νον DM*; *κελλόμενος PRv*. — **7** *῞* $O^{1}$, *ἧ* $O^{2}$. — *ἀποφθίμενον Ω*; *-ιμένως* (ω pc.) *O*; *-ιμένη* $DL^{1}MS$; *-ιμένης* $L^{2}$. — *παρέσχες O*. — **9** om. *M*. — *οἷά Ω*; *ὥς O*.

ἠὼς ἀνϑήσειε καὶ ἀνϑήσασα παρέλϑοι, 6
ἑσπέρῃ αὖϑι πέσοι κάρφοιτό τε πετρωϑεῖσα·
σεῖο γὰρ ἀδρανέες γεγενήμεϑα μηνίσαντος, 7
αἰνὰ κοτεσσαμένοιο ταρασσόμενοι βασιλῆος.
δυσνομίας προύϑηκας ἐπ᾽ ὄμμασι σοῖσιν ἑτοίμους, 8
ζωὴ νωιτέρη τελέϑει σέο φέγγος ὀπωπῆς·
ἐξ ὀλιγηπελίης ἴκελοι γεγενήμεϑα καπνῷ 9
καί σευ ὀδυσσαμένοιο φίλην κατατηκόμεϑ᾽ ἀλκήν·
ἡμετέροις ἐτέεσσι πανείκελός ἐστιν ἀράχνης.
ζωῆς ἀνδρομέης δεκάδες χρόνου ἑπτὰ πέλονται, 10
ἢν δ᾽ ἔτεα ζήσαιμεν ἐπὶ πλέον, ὀγδώκοντα·
τῶνδε κόπος καὶ μόχϑος ἀεὶ βίου ἐστὶ περισσόν,
οὕνεκα μειλιχίη βροτέην δαμάσειε γενέϑλην.
τίς σεο χωομένοιο μέγα φρεσὶ κάρτος ἀνέγνω; 11
τίς σευ ἀριϑμήσειεν ἀμειδέα δείματα ϑυμοῦ;
δεξιτερὴν ἐρίτιμον, ἄναξ, σφίσιν ὧδ᾽ ἀναφαίνοις, 12
ὅσσοις ἀϑανάτη σοφίη πραπίδεσσι μέμηλε.
παύεο χωόμενος· τί νόον βαρύμηνιν ἀέξεις; 13
σεῖο, μάκαρ, δμώεσσι λιταζομένοις ὑποείκοις.
ἐξ ἠοῦς ἐλέῳ βεβρίϑαμεν, ἄφϑιτε, σεῖο, 14

---

**10** ἀνϑήσει *O*. — παρέλϑει $DM^1$; -ϑῃ $M^2S^1$. — **11** κάρφοτό $DM^1S$; -ειτό $M^2$. — **12** ἀνδρανέες $DM^2$ (-ανες $M^1$); -άνενες *S*. — μηνίσαντο *D*. — **13** ινὰ $O^1$, δεινὰ $O^2$. — κοτεσαμένοιο *O*; -σσάμενοι $L^1M^1$, cr. $L^2M^2$; -σσαμένοι *DS*. — **14** δυσνομίας $L^2\Omega$; -ίηνσα $L^1$; -ίησα *S*. — ὄμμασι σοῖσιν *Ω*; ὄματος (ὄμμ- $M^2$) οἷσιν $DL^1M^1S$; ὄμμασιν οἷσιν $OL^2P$. — ἑτοίμως *O*. — **17** κοτεσσαμένοιο φ. κατατηκόμεϑα *O*. — **18** ἡμετέρης *S*. — ἔτεσσι *DMS*. — πανεικέσιν *O*. — **20** ἐν (ἐ rubr.) *O*. — τήσαιμεν $DM^1$; κτή- $M^2$. — ὀγδοήκοντα *P*. — **21** τῶν δὲ *R*. — κόπως *S* ac. — ἔστι *L*. — **22** μειλιχίη *OLP*; -ίοι *S*; -ίης *Ω*; -ίῃς *c*; -ίοις *DM*. — **24** τί *S*, ac. *M*. — ἀμηδέα *M*. — ϑύματα *S* ac. — ϑυμῶν *DM*. — **25** ἐρίτημ᾽ $D(L^1)M$, pc. *S* (ἐρή- ac.). — ἀναφῄνης *O*. — **26** ὅσσοις δ᾽ *P*. — πραπίδεσι *O*; -ήδεσι *DMS*. — **27** βαρύμην ἀέξεις *S*; -μηνᾶ ἔξεις *D*. — **28** λιταζομένης *M* ac. — ὑπείκοις *O*; ὑποείκεις *P* ac. — **29** βεβρίϑεμε *S*; βέβριϑέ με *DM*; βέβρυϑέ με *L*.

*τερπωλῆ καὶ ἐυφροσύνῃ φρένας ἤματα πάντα,*
*ὧν χάριν ἡμερέων παρὰ σοὶ δεδμήμεθα μόχθοις,* 15
*ἀντ' ἐτέων, ὧν πρόσθεν ἐλεύσσομεν ἄλγεα τόσσα.*
*δέρκεο σοὺς θεράποντας, ἀκήρατε, καὶ σέθεν ἔργα,* 16
*τῶν δ' ἄρα παισὶ φίλοισι παλίσσυτος ἡγεμονεύοις.*
*ἀγλαΐη βασιλῆος ἀοίδιμος ἄμμι φανείη,* 17
*ἔργα δὲ νωιτέρων ἰθύνειας παλαμάων.*

## ϛ′ (90)

*Αἶνον ἀγακλήεντα μέγας Δαυῖδος ἔμελψε*
*καλλιχόρων μελέων εἰς ἐνάτην δεκάδα.*

*Ἄφθιτα ναιετάων, ὑψαύχενος ἄλκαρ ὀπωπῆς,* 1
*ἐν σκέπαϊ βασιλῆος ἐπουρανίοιο διάξει.*
*ἐξερέει βασιλῆι· „βίη καὶ πύργος ἐτύχθης* 2
*καὶ θεὸς ἄμμι πέλεις καὶ ἀοίδιμος ἐλπὶς ἀρωγῆς·“*
*αὐτὸς ἐπεὶ ῥύσαιτο λίνοιό με θηρητήρων* 3
*μύθου τ' ἀσταθέος ταραχῆς περιπεπτηῶτος.*
*αὐτὸς ἄναξ σκιερῷ σε μεταφρένῳ ἀμφικαλύψει,* 4
*ἐλπίδα σὴν πτερύγεσσιν ὑπ' ἀθανάτοισι δοκεύοις,*
*ἀμφὶ δ' ἀληθείῃ θωρήξεαι οἷά περ ὅπλῳ.*
*οὔ ποτέ μοι νυχίῳ περὶ δείματι δειμήνειας* 5

---

**30** *τερπωλὴ OMPR*; *-ολὴ D*; *-ολῆ S*. — *εὐφροσύνῃ* (-η) *Ω*, cr. Ritter 19. — *ἤματα* $OL^2$; *νή- DMS*. — **32** *ἐλεύσομεν O*; *-σομαι DLMS*; *-σαμεν bcm*. — **36** *νωϊέρων S*; *νῶ ἱερῶν M*; *νωΐ ἐρῶν D*. — *ἰθύνειας DLMS*; *εὐθ- Ω*. — post 36 add. *ἐφ' ἡμᾶς· χειρῶν δ' οἰκείων εὔθυνον ἔργον* $L^2$ im.

*Υ* 90, **1** *ἀγακλήεντα OmΩ*; *-είεντα PRv*. — **2** *ἐνάτω M*. — *Ψ* 90, **1** *ἄφθιτα* scripsi (coll. 79, 3); *-τε OΩ*. — *ὑψαύχενον O*. — *ὀπωπῆς* $L^2$; *ἀρωγῆς* (ex 4?) $OL^1Ω$. — **2** *σκεπάϊ DS*: cf. 87, 27. Ritter 29. Rzach[1] 752. [3] 335. — *παμβασιλῆος O*. — *ἐπουρανίῳ* (-ω) *DLS*; *ἐποὐ- M*; *ἐπ' οὐρανίοιο PR*. — *δικάζοι O*. — **3** *ἐτύχθη* (pc.?) *O*. — **5** Opp. cyn. 4, 124 *λίνων ἔπι θηρητῆρες*. — **6** *μύθον τ' ἀσταθαὸς M*. — *ἀσαφέος L*. — **7** *ἀμφικαλύψεις a*. — **8** *ἀθανάτοιο O*. — **9** *θωρήξεαι* $LM^2$; *-ξαις OP*; *-ξαιε* $DM^1S$; *-ξειεν Rv*. — **10** *δείματα δ. DM*.

*οὐδὲ μεθημερίῳ πταμένου ῥοιζηδὸν ὀιστοῦ,*
*οὐδ' ὑπὸ νισσομένου σκοτίους περὶ πυθμένας ἔργου* 6
*οὐδ' ὑπὸ δαιμονίοιο μεσημβρινοῦ ἀντιόωντος.*
*ἔκ σεο μὲν λαιῆς παλάμης κατὰ χιλιὰς ἔρροι,* 7
*ἐκ δ' ἄρα δεξιτερῆς μάλα μυριὰς αὖθι πεσεῖται,*
*ἀλλ' οὔ τίς ποτε σεῖο δυνήσεται ἆσσον ἱκέσθαι·*
*ἔμπά γε μὴν καθαροῖσιν ἐν ὀφθαλμοῖσι δεδορκὼς* 8
*ἄξιον ἀμπλακίης κακοεργέος ὄψεαι ὦνον.*
*αὐτὸς ἐπεί ῥ' ἐμέθεν φυσίζοος ἐλπὶς ἐτύχθης,* 9
*ἦ ῥα παρ' ὑψίστῳ φορέεις τεόν, ἄλκιμε, θάρσος.*
*μή ποτε δείδιθι πάγχυ κακῶν ξυνιοῦσαν ἀνάγκην* 10
*μηδ' ἀλύῃς, ὅτι σεῖο δέμας μάστιγι δαμείη·*
*ἀμφὶ σέθεν στρατιῇσιν ἐπουρανίοισι κελεύσει,* 11
*ὄφρά κεν ἐν πάσῃσι περιστιχόωσιν ὁδοῖσι·*
*καί σε, μάκαρ, παλάμῃσιν ἀειράμενοι φορέοιεν,* 12
*μή ποτε τιμήεντα τεὸν πόδα λᾶι καθάψῃς.*
*ἀσπίδα θαρσαλέως ἐπιβήσῃ καὶ βασιλίσκον,* 13
*ἰοβόλον δὲ δράκοντα ποσὶν καὶ θῆρα πατήσεις.*
*ῥυσαίμην μιν ἐμῇ μεμελημένον ἐλπίδι θυμῷ,* 14
*εὖ δέ μιν ἀμφιέσω· μάλα γὰρ μάθεν οὔνομ' ἐμεῖο.*
*τοῖο λιταζομένοιο θοώτερον αὐτὸς ἀκούσω* 15

---

**11** om. *O.* — *μεθημερίῳ* scripsi (coll. 10 *νυχίῳ*); *μεθημέριον Ω*; *μεθ' ἡ- DLMS.* — **12** *οὐδ' ὑπονισσομένου* sic *Ω*, pc. *O*; *-νους L*[2], ac. *O*; *οὐδὲ πονησομένους DL*[1]*MS.* — *πυρὶ L*[1]*S*, cr. *L*[2]. — *ἔργον M.* — **13** *δαιμονίοιο DLM*; *-νοίο S*; *-νίου O*; *-νίου τε PRv.* — **15** *ἄρα L*[2]*Ω*; *ἄνα DL*[1]*MS.* — *αὖθι*]ς eras. *L.* — **17** *ἐν Ω* (cf. 78, 23); *ἐπ' DLMS.* — **18** *ὄψεται DL*[1]*MS*, cr. *L*[2]. — *ὦνον OΩ*; *αἶνον Sv.* — **19** *ἐπὶ DS.* — **20** *ἦρ ἆ D*; *ἡ ῥα S.* — *φορέῃς DM*; *φέροις O.* — *ἄλκιμον O.* — **22** *ἀλύεις DLMS.* — *ὅτε O.* — **23** *ἀμφι DS.* — *στρατιοῖσι L.* — *ἐπουρανίοισι LS*; *-ίῃσι* (*-ίησι*) *Ω*; *ἐποὐρανίῃσι D*; *ἐπ' οὐ- R.* — **24** *περιστοιχόωσι S.* — **26** *τιμήεντι O.* — *λᾶϊ Ocm* (Lobeck[7] 12); *λάϊ Ω*; *λαΐ MS.* — **27** *θαρσαλέου S.* — *ἐπιβήσῃ Ω*; *πατήσεις* (ex 28) *O*; *τε πα- L*[2]; *ἠὲ πατήσειε DL*[1]*MS.* — **28** *θηρία b.* — *πατήσῃς LS.* — **31** *θοώτερος DM.*

*καί οἱ τειρομένῳ πέλας ἔσσομαι ἤματα πάντα·*
*ῥυσάμενος δέ ἑ κῦδος ἀεὶ μεγαλαυχὲς ὀπάσσω*
*καί μιν ἐνιπλήσαιμι ἀτερμάντοισι γενέθλαις,* 16
*νωλεμέως οἱ φέγγος ἀγήραον ἐξαναφήνω.*

## ϛα΄ (91)

*Πρῶτος ἐνενηκοστός τε τῶν σοφῶν μελῶν* 1
*ὁ ψαλμὸς οὗτος ἡμέραν εἰς σαββάτου.*

*Ὡς ἀγαθὸν βασιλῆα μεγακλήεντα λιγαίνειν* 2
*καὶ πολυκύδιστον κιθάρῃ τεὸν οὔνομα μέλπειν*
*ἐξ ἠοῦς ἐρέοντι περιφραδέως ἐλεητὺν* 3
*καί σεο τιμήεσσαν ἀληθείην διὰ νυκτὸς*
*νεύρων πλεξαμένῳ δεκάδα φόρμιγγι λιγείῃ.* 4
*ὡς γάνυμαι· μάλα γάρ με τεοῖς, μάκαρ, ἔργμασι θέλγεις,* 5
*καί σεο θεσπεσίοισι νόον κεχαρήσομαι ἔργοις.*
*τίς κεν ἀνυμνήσειε τεὴν μεγαλαυχέα τέχνην;* 6
*τίς πινυτὴν μέλψειε περὶ πραπίδεσσι βαθεῖαν;*
*οὔ τίς τοι τάδε νῆις ἐνὶ φρεσὶν εἴσεται ἀνὴρ* 7
*οὐδ' ἀεσιφροσύνῃ μεμελημένος αὐτὰ νοήσει,*
*εὖτ' ἀδίκους θαλέθοντας ἐσόψεται ἠύτε χόρτον,* 8
*ὑψόθεν ὀπτεύοντας ἀθεσμοσύνης ὑποφήτας,*

---

**32** *καί οἱ τειρομένῳ* (-ω) *ODMS* (Ritter 13, Scheindler[1] 905); *καὶ οἰκτει- Lv.* — *πάλας DMS* (*ἴσως· τάλας M* im.). — **33** *ἑ* scripsi; *σε Ω*; *γε m**. — **34** *ἐνιπλήσαιμι DMSm*; *ἐνοπλ- L*; *ἐνὶ πλ- Ω.* — *ἀτερμάντῃσι O.* — **35** *ἀείραον S.* — *ἐξαναφῆναι O*; *-ῆναι DLMS.*

*Υ* 91, **1** *ἐννενηκοστός L*; *ἐνν- S.* — **2** *ἡμέραν OLSgm*; *-ας Ω.* — *Ψ* 91, **1—3** ir. *O.* — *βασιλεῖα S* ac. — *μεγακλήεντα ODMPm*; *-είεντα Ω.* — **2** *πολυκύστον O[1]*; *-κύδηστον O[2]*; *-κύδιστον Ω* ('nisi id quoque dissuendum est' Lobeck[8] 1, 569). — **3** *ἐξηοῦς OS.* — **5** *πληξαμένῳ* (-ω) *DMS*; *δεξ- L.* — *δεκάδα*] v. Kzach[3] 320. — **6** *ἔργμασι P*; *ἐρμίοις O.* — *θέλγεις OΩ*; *-γοις PRv.* — **7** *θεσπεσίῃσι νόον DLS*; *θεσπεσινόου* (ex *-ον* cr.) *M.* — *κεχαρίσομαι DM.* — **10** *ἐνι D*; *περι* (del.) *ἐνι S.* — *εἴσεται Ω* (*εἶ- D*); *εἴπ- DLMS.* — **11** *νοήσει* (superscr. *η*) *S.* — **12** *ἐσόψεται ODLMS*; *ἐπόψ- Ω*; *ἐπ' ὄψ- R.* — *ἠΰτε Ω*; *ἤυπερ M[1]* (im. *ἴσως· ἠέπερ M[2]*). — **13** *θεσμοσύνης L.*

ὄφρ' αἰεὶ σφετέροιο κακοῖς ἄρξειαν ὀλέθρου.
ἀθάνατος δὲ σὺ μοῦνος ἄναξ ὕψιστος ἐτύχθης· 9
δυσμενέων ἀπόλοιτο τεῶν κακοεργέα φῦλα, 10
πανσυδίῃ δ' ἀνέμοισι κεδασθήσονται ἀλεῖται.
οἷα δὲ μουνοκερῆος ἐμὸν κέρας ὑψόσε θύοι 11
καὶ πολιὸν θαλέθοι περὶ πίονι γῆρας ἐλαίῳ.
δυσμενέων πολύμοχθον ἐμῶν ἴδον οἶτον ὀπωπῇ, 12
πικραῖς δ' ἀντιβίων τερφθήσομαι ἀγγελίῃσι.
τῆμος ἄρ' ἀνθήσει ὅσιος βροτὸς οἷά τε φοῖνιξ, 13
ἶσα βριθόμενος χλοερῇ Λιβανίτιδι κέδρῳ.
ὅσσοι θεσπεσίοισι δόμοις πεφυτευμένοι εἰσίν, 14
αὐλαῖς ἀθανάτῃσιν ἐπανθήσουσι θεοῖο·
πιαλέου πλήθοντες ἔτι περὶ γήραος ὥρῃ, 15
ὡς θέμις ἐσθλὰ παθόντες, ἀπαγγελέουσιν ἕκαστα,
οὕνεκεν ἰθύφρων βασιλεὺς θεὸς αἰὲν ἐτύχθη 16
οὐδ' ἄδικον πραπίδεσσι νόον πινυτῇσι καλύπτει.

## ϛβ′ (92)

*Ἤματι σαββάτου τὸ μέλος Δαυῖδος ἔμελψεν*
*ἀμφ' ἐνενηκοστὸν δεύτερον ἐκτελέσας.*
*ἔστί γε μὴν πινυτοῖς ἀνεπίγραφον Ἑβραίοισιν.*

Ἀθάνατος βασίλευσεν, ἑὸν δ' ἐνεδύσατο κάλλος· 1

---

**14** *αἰεὶ Ω; ἑοῖς O.* — *κακοῖς OΩ; -κῶς P; -κοῦ Rv.* — *ἔρξειαν O; ἄρθειαν L* ac. — **15** *ἀθάνατοι M.* — *ἄναξ* om. *L.* — **16** *ἀπόλυτε DLMS.* — *κακοεργέων O.* — **20** *ὀπωπαῖς O.* — **21** *πικραῖς O* ac.; *-ῇς (-ῆς) Ω*, pc. *O.* — **22** *ἀνθήσειεν O.* — **23** *ἶσα Ω; ἶσά γε Rv; ἶσον* Ritter 24. — *βρυθόμενος LS; βριθόμενοι M.* — *χλοερῆς DM.* — *λιβανίδι LS; -άνιδι DM.* — *κέδρων DLMS.* — **24** *ὅσοι S; ὅσϊσοι D.* — **25** *αὐλῇς (-ῆς) Ω; ἀελῆς S.* — *ἀθανάτοισιν L.* — **26** *πλήθοντος ODMS.* — *ἔτῑ*] v. Ritter 29. Rzach[1] 753. [3] 343. — **27** *παθόντας O; ποθόντες M*[1], *-οῦντες M*[2]. — *ἀπαγγελέουσιν Ω; -έλουσιν ODLMS.* — **29** *νόων S* ac. — *πινυτῇσι (-ῆσι) DMS*, pc. *P; -τοῖσι Ω*, ac. *P.* — *καλύπτει* (η ss.) *S.*

*Υ* 92, **2** *ἐννενηκοστὸν L*[1], *ῶ* ss. *L*[2]. — **3** add. *ODLMPS*; om. *Ω.* — *πινυτῆς L*[1], cr. *L*[2]. — *ἀνεπίγραφον L*[1]*PS; -φος ODL*[2]*M.* — *ἑβραίοισι OL*[2]; *-οις MPS (ἑ- D); -ω L*[1]. — *Ψ* 92, 1

δυσάμενος δ᾽ ἐρατεινὸν ἄναξ ἐζώσατο κάρτος,
ἀσφαλέως δ᾽ ἀδόνητον ἀπείρονα θήκατο κόσμον.
ἄφθιτε, σεῖο δὲ θῶκος ἑτοιμότατος πέλει αἰεί· 2
ἐκ παλαχῆς κόσμοιο, μακάρτατος, ἔπλεο μοῦνος.
πάντοθεν εὐκέλαδοι ποταμοὶ βοόωσι ῥεέθροις 3
ῥοίζῳ κυματόεντι λιλαιόμενοι κελαρύζειν.
ἐξ ἀναειρομένων πολέων ὑδάτων ὀρυμαγδοῦ 4
πάντα πέλει θηητὰ μετήορα ἔργα θαλάσσης·
μοῦνος ἄναξ θηητὸς ἐν ὑψηλοῖσιν ἐτύχθη.
μαρτυρίαι σευ, ἄναξ, συμφράδμονα πίστιν ἔχουσι· 5
νηῷ ἀκηρασίη βασιληίῳ αἰὲν ἀρήρει
ὥρῃ ἀτερμάντῳ καὶ ἐπ᾽ ἤμασι μηκεδανοῖσιν.

## ϟγ΄ (93)

*Τετράδι σαββάτων γλυκερῶν Δαυῖδος ἄεισεν*
*ἀμφ᾽ ἐνενηκοστὸν ἡδὺ μέλος τρίτατον.*

Ἀθάνατος μετὰ πᾶσιν ἀεὶ πέλει ἔκδικος ἐσσήν· 1
οὔ τιν᾽ ἐρευθιόων βασιλεὺς ποινῇσι δικάζοι.
καλὰ θεμιστεύων, ἀναείρεο, κοίρανε γαίης, 2
μισθὸν ὑπερφιάλοισιν ὑπερβασίας ἀποτίσοις.
κλῦθι, μάκαρ· τέο μέχρι βίῃ κρατέουσιν ἀλεῖται; 3
μέχρι τεῦ ἀμπλακίης ὑποφήτορες αὐχήσουσι;

---

ἐνδύσατο O; ἐνεδύσσ- P. — 2 δυσσάμενος OP. — 3 ἀνητον (ἀνῦτὸν cr. rubr.) O; ἀδόνητο S. — ἀπείρονα O; ἄπειρον Ω. — θήκατο Ω; ἐθήκ- DLS (Hilberg 124); ἐθήσ- M. — 4 ἄμφί τε M. — ἑτοιμώτατος L; -ότατο O. — 5 ἔπλεο v; -ετο OΩ. — 6 βοῶσι DM; βοῶσοι S. — 7 κελαρύζειν Obcm; -ίζειν Ω. — 8 ἐξαναειρ. DS. — πολέων om. M. — ὀρυμαγδοῦ b*m; ὀρυγμαδοῦ Ω (ὀ- L). — 9 μετήορα Oc; μετεί- DLS, ac. M. — 10 ἐτύχθης L. — 11 μαρτυρίαις O. — 13 ἐφ᾽ ἤμασι ODLM; ἐφή- S; ἐφ᾽ (ex ἐπ᾽ cr.) ἤ- R. — μηκεδανοῖσιν a; -σι OΩ.

Υ 93, 1 σαββάτων (ss. ου) P; σάββατον M. — γλυκερῶν OΩ; -ὸν PRv. — 2 ἐνενηκοστὸν Ω (ἑ- LS); -τῶ OL². — Ψ 93, 3 ἀναείραο P; ἀείρεο O; τοι ἀεί- R. — 5 τεὸν S. — βίῃ bcm; -η Ω.

*γλώσσῃ ἐρευγόμενοι κραδίης ἀθεμίστιον ὕβριν* 4
*ἐργατίναι κακότητος ἅδην ἐρέουσιν ἄπαυστα;*
*οἵ σεο λαόν, ἄναξ, δαπέδῳ θέσαν ἶσον ἀνάγκῃ* 5
*καὶ κλῆρον κακότητι τεὸν διέπερσαν ἑλόντες·*
*ὀρφανικὸν κατέπεφνον, ἐχειρώσαντο δὲ χήρην* 6
*καὶ ξεῖνον δαμάσαντο νεήλυδα νόσφιν ἀρωγοῦ·*
*οὐδ' ὄπιν οὐρανίην βασιλήιον ἐμπάζοντο·* 7
*οὐ γὰρ Ἰακώβου δόκεον θεὸν ἴδμεναι ὕβριν.*
*ἀλλ' ἄγε σύνθεσθε κραδίῃ τάδε, νήπιοι, ἔργα·* 8
*οἷς πρὶν ἐπ' ἀφροσύνῃ βίοτος, ξυναγείρατε θυμόν.*
*ἦ ῥ' ἀκοὴν ἑτέροισι διδοὺς οὐ μᾶλλον ἀκούσει;* 9
*ἢ φάεος γενέτης ἑτέρων οὐκ ὄψεται ἔργα;*
*ἔθνεα παιδεύων κακίην οὐκ οἶδεν ἐλέγχειν,* 10
*ὃς μοῦνος μερόπεσσι νοήματα πάντα φυτεύει;*
*μαψιδίην δεδάηκεν ἄναξ μεροπηίδα βουλήν.* 11
*ὄλβιος, ὅς ῥα τεῇσιν ὑπ' ἐννεσίῃσι δαμείη* 12
*θεσμοτόκους μελεδῶνας ἑαῖς φρεσὶ σεῖο νοήσας,*
*μείλιχα βουλεύων, κακίης ἵνα καιρὸν ἀλύξῃ,* 13
*βόθρος ἕως δυσάλυκτος ἀτασθάλλοντι φανείη·*
*οὐ γὰρ ἑῆς ποτε λαὸν ἀπορρίψειεν ὀπωπῆς* 14
*οὐδὲ καταφθιμένην σφετέρην ὑπερόψεται αἶσαν,*
*εἵως κρῖμα τεκοῦσα δικαιοσύνη πάλιν ἔλθῃ* 15

---

7 *ἀώσσῃ* *S* (ac. *L* ?). — *ἐρευγόμενον* *O* ac. — 8 *ἄκαυστα* *S* ac.; *ἅπαντα* *O*. — 9 *δαπέδωσαν* *ἶ.* *L*. — 10 *κλῆρος* *M*. — *κακότητ' ἑὸν* (*ἑ-* pc.) *O*; *-τητος τεὸν* *M*. — 11 *ἐχειρώσαντο* *Ω*, ac. *S*; *ἐχηρώσ-* *OD*, pc. *S*; *ἐχηρώσσ-* *M*; *ἐχωρήσ-* *L*. — *χήρϊν* $DM^1$. — 12 *νεήλυθα* *DM*; *νἐήλυθα* *S*; *ἐλήλυθα* *L*. — *ἀρωγὴν* *DLMS*. — 14 *δόκεον* $L^2\Omega$; *δίκαιον* $DL^1MS$. — 15 *ἀλλά γε* *ODM*, pc. *S*. — *σύνθεσθαι* *S* ac.; *σύνθεσθ' ἐν* Hilberg 95. — 16—18 om. $DL^1MS$, add. $L^2$ im. — *ξυναγείρατο* *O*. — 19 *εἶδεν* *DLMS*. — 22 *τεῇσι* *S*; *τεοῖσιν* *L*. — *ὑπ' ἐνεσίῃσι* *O*; *ὑπεννε-* *LPS*. — *δαμείης* *D* ac. — 23 *ἑῆς* (*ἑῆς*) *Ω*; *ἑοῖς* *O*. — 24 *ἀλύξῃ* (*-η*) *OΩ*; *-ξει* *DLMS*. — 27 *καταφθιμένης* *DLMS*. — *σφετέρης* *S* ac. — *αἶσαν* ex *ὕβριν* cr. *L* — 28 *εἵως* $L^2\Omega$; *εἰ ἐπὶ* $L^1$. — *κρίμα* *ODS*; *κρεῖμα* *a*. — *ἔλθοι* *O*.

*πάντας ἀποκρεμόωσα φίλων ἰθύφρονας ἔργων.*
*τίς μ᾽ ὀλοῶν τεύξειεν ἀναστήσας ὀλετῆρα;* 16
*τίς δέ με θωρήξας ἀνόμων ἐπὶ δῆριν ἐγείροι;*
*εἰ μή μοι μενέχαρμος ἄναξ ἐπιτάρροθος ἔστη,* 17
*καί κεν ἐμὸς πεπότητο συνέστιος Ἄιδι θυμός·*
*εὖτε γὰρ ὀκλάζοντι νόῳ ποδὶ φύζαν ἐδέγμην,* 18
*αὐτίκα σή μ᾽ ἐλεητύς, ἄναξ, ἐσάωσε φανεῖσα.*
*ὅσσον δ᾽ ἀμφ᾽ ὀδύνησιν ἀμέτρητον φέρον ἄλγος,* 19
*σῇσι παραιφασίῃσιν ἐμὸν περὶ θυμὸν ἰάνθην.*
*μή τοι θῶκος, ἄναξ, ἀθεμίστιος ἐγγύθεν ἔστω,* 20
*ὅς τις ῥιγεδανῷ τελέει θεσπίσματι μόχθον*
*ἀνέρος ἰσχανόων ὁσίου διὰ θυμὸν ὀλέσσαι,* 21
*μαψιδίως ποθὲν οἶτον ἀναιτίῳ αἵματι ῥάπτειν.*
*ἀλλά μοι αὐτὸς ἄναξ πανυπέρτατος ἕρκος ἔγεντο,* 22
*ἐλπωρῆς ἐπίκουρος ἐμῆς θεὸς ἦλθεν ἑτοῖμος,*
*ὅς κείνοις ὀπάσειεν ἑῆς ἀντάξια λώβης* 23
*καί σφεας ἀμφ᾽ ἔργοισιν ἄναξ σφετέροις ἀμαθύνοι.*

## ϛδʹ (94)

*Δαυίδου πινυτοῦ καλλιχόρου κιθάρης*
*ἀμφ᾽ ἐνενηκοστῇ τετράτῃ εὐεπίη.*

*Δεῦτ᾽ ἐπαγαλλόμενοι γηθήσομεν ἀμφὶ ἄνακτι,* 1

---

**29** *ἀποκρεμόωσα Ω*; *ἀπωκρο- L*¹, *ἀποκρο- L*²; *ἀπεκρομόωσα S*; *-κρομόωσαν D*; *-κρεμοῦσαν M*. — *ἰθυόφρονας O*. — **30** *τίς μ᾽ Ω*; *τίσιν DMS*; *τὶς L*. — **31** *ἐγείροι* scripsi; *-ρει ΟΩ*; *-ρῃ Rv*. — **33** *καί* ex *κέ* cr. *O* rubr. — *ἀΐδι DLMS*; *ἀΐδη O*. — **34** *ποδὶ φύζαν* scripsi; *ποτϊφύζαν O*; *ποτὶ φ- Ω*; *ποτίζων DLMS*. — **35** *σύ μ᾽ ODMS*. — *φανεῖσαν S*. — **36** *ἶσον* (*ἶ* rubr.) *O*. — *δ᾽* om. *L*. — *φέρων DMS*. — **37** *σῇς τε PR*. — *παρ(αι)εφρασίῃσιν S*. — *παρὰ O*. — **38** *μή τοι L*²*Ω*; *μή τι S*; *μῆτις L*¹. — **39** *τ᾽ ἐλέει O*. — *μόχθων S* ac. — **40** *ὁσίων M*. — *θυμοῦ DLS*. — **41** *ποθὲν cm*; *πόθεν Ω*. — *οἶκτον c*. — **42** *ἕ. ἔγνωστο O*. — **43** *ἐμῆς ἐπίκουρος O*. — **44** *κείνης O*. — *ἑῆς Ω*; *ἐκῆ M*. — **45** *ἀμφιέργ. D*; *ἀμφὶ ἔργ. MS*. — *ἀμαθύνοι Om**; *-νει Ω*; *ἅμα θύνει L*.

*Υ* 94, 1 *πινυ*]*τοῦ* ss. *O*². — 2 *ἐνενηκοστῇ* scripsi; *-στῷ* (*-στῶ*)

μέλψομεν ἀθανάτῳ παιήονα ποιμένι κόσμου·
ἀμφ' ἀγανοφροσύνῃ θείην μεθέπωμεν ὀπωπήν, 2
γηθόμενοι ψαλμοῖσιν ὁμῶς ἀλαλάξομεν ὕμνον,
οὕνεκα δὴ μετὰ πᾶσι θεὸς μέγα κάρτος ἀέξει 3
καὶ πάντων μακάρων βασιλεύτατος αὐτὸς ἐτύχθη.
οὔ ποτ' ἀπορρίψειε φίλον καὶ ἐνηέα λαὸν 4
ἀθανάτῳ παλάμῃ μεθέπων κλυτὰ πείρατα γαίης,
οὔρεσιν ὑψικόμοισιν ὑπέρτατος ἐμβασιλεύων·
αὐτὸς πόντον ἔτευξεν, ἀνακτορίῃ δέ μιν ἴσχει, 5
καὶ χθόνα πουλυβότειραν ἑαῖς τεκτήνατο χερσί.
δεῦτε λιταζόμενοι περὶ γούνασιν οἷσι πέσωμεν, 6
ἄντα θεοῦ κλαύσωμεν, ἑὸν δ' οἰκτίσσεται ἔργον,
οὕνεκεν ἡμερίων βασιλεὺς ἅμα καὶ θεὸς αὐτός, 7
τοῦ δ' ἡμεῖς ἄρα λαὸς ὁμοῦ καὶ θρέμματα ποίης.
σήμερον εἴ κεν ἄνακτος ἀκούσαιτ' οὔασιν αὐδήν, 8
„μή τινι χαλκείῃ κραδίῃ καὶ ἀμείλιχος εἴη,
ὡς ὁπότ' ἀθανάτου κραδίην ἐρεθίζετε ἔργοις,
ὡς πάρος, εὖτε θεοῖο κατὰ τρηχεῖαν ἔρημον
ὑμέτεροι τὸ πρόσθεν ἐπειρήσαντο τοκῆες, 9
οἵ μευ τεσσαράκοντ' ἐτέων ἴδον ἔργα καὶ ἀλκήν·

---

*ODP* (ἐνενη- $L^2S$, ἐνινι- *M*); -στὸν *Rv*; ἐνενηκοστὸς $L^1$. — τέτρατος *Ω*; τέταρτος *M*. — Ψ 94,1 ἐπαγγελλόμενοι *O*. — γηθήσωμεν *DMS*. — 2 μέλψωμεν $L^1$, cr. $L^2$. — παιήον ἀπ. *D*. — 3 θύην *DLMS*. — μεθέπομεν *O*; -έσσωμεν *LS*; -έσωμεν *DM*. — 4 ἀλαλάξωμεν *P*, ac. *S*; ἀλλάξομεν *M*. — 7 del. *P* rubr.; notam ∵ praescripsit $L^2$. — ἀπορρίψεις $DL^1MS$, cr. $L^2$. — καὶ om. *O*. — 8 an ἀθανάτη? coll. 63, 21. — 10 ἀνακτορίῃ *cm*; -ίη *Ω*; -ίην *L*. — 14 ἡμετερίων *DMS*; -τέρων *L*. — 15 σοῦ (σ rubr.) δ' *O*. — 16 εἴ κεν $L^2Ω$; εἵνεκεν *DS*; εἴ- *M*; εἵνεκ' $L^1$. — ἀκούσαιτ' scripsi; -σετε $L^2Ω$; -σεται $ODL^1MS$; -σητ' Ritter 21. — 17 τινη *DM*. — χαλκέη *DM*; -κίη *O*; -κείη *P*. — κραδίη usque ad ἀθανάτου 18 om. $DL^1MS$, add. $L^2Ω$. — 18 spurius. — ἐρεθίζετε *Ω*; -ζεται $D(L^1?)MS$; -ζετ' *O*. — 19 ὧς *PR*; ὂς (o rubr.) *O*. — ἔν τε *M*. — κατα *ORS*. — 20 ὑμέτεροι $ODL^1MS$; ἡμ- $L^2Ω$. — τοπρόθεν *P*. — 21 μεν $D(L^1?)$; μὲν *M*. — τεσσαράκοντα *L* ac.

*ἔνθεν ἐγὼ κείνην ὀλοὴν ἔστυξα γενέθλην,* 10
*ἐκ δ' ἐφάμην· ‛κραδίῃσι διηνεκέως ἀλάληνται,*
*ἡμετέρας δ' οὐ πάμπαν ἐπεφράσσαντο κελεύθους.'*
*ὤμοσα μηνίσας, μή σφεας κατάπαυσιν ἰδέσθαι."* 11

## ϛε΄ (95)

*Δώματος αἰγλήεντος ἀνεγρομένου βασιλῆος*
*Δαυῖδος κελάδησεν ἄναξ μετὰ ληίδος αἶσαν*
*ἀμφ' ἐνενηκοστῷ πέμπτον ἄεισμα λιγύ.*

*Μέλψατέ μοι βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,* 1
*πᾶσα μεγασθενέτην ἀναμέλψατε ποιμένα γαῖα·*
*οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος,* 2
*αἴσιον ἦμαρ ἐπ' ἦμαρ ἑὸν σημήνατε φέγγος.*
*ἔθνεσι παντοδαποῖσιν ἑὴν ἀγγείλατε τιμήν,* 3
*θαύματα τιμήεντα θεοῦ μηνύσατε λαοῖς,*
*οὕνεκα δὴ μέγας ἐστὶ καὶ αἰνετὸς αἰὲν ἐτύχθη* 4
*καὶ δέος ἐν πάντεσσι θεοῖς κρατερώτατον ἴσχει·*
*δαιμονίων εἴδωλα θεοὶ πέλον ἔθνεσι πάντες,* 5
*οὐρανὸν αὖ πολύχαλκον ἑῇ θεὸς ἔκτισε βουλῇ.*
*αἶνος καὶ μέγα κάλλος ἑῶν κατεναντίον ὅσσων,* 6
*νηῷ ἀκηρασίῃ καὶ ἀριπρεπὲς ἥρμοσεν εὖχος.*

---

22 *ὀλοὴν* usque ad *ἐφάμην* 23 om. it., add. im. *D*. — *ἔστηξα* *DLS*; *ἔστηγα* $M^1$ (*-ῆγα* $M^2$). — 23 *δὲ φάμην* *LS*. — 24 *ἐπεφράσαντο* *OL*; *-άσσοντο* *M*. — 25 *σφεας* scripsi; *σφας* *OLS*; *σφὰς* *DMPR*; *σφᾶς* *v*.

*Υ* 95, 1 *ἀνεγρομένου* $L^2Ω$; *-γειρομένου* $L^1$. — 2 *λήϊδος* *OD*. — *αἶσαν* $L^2Ω$ (*αἶ-* *D*); *αἴης* $L^1$. — 3 *ἀφ'* $L^1$, cr. $L^2$. — *ἐνενηκοστῷ* (*-ῶ*) *OΩ* (*ἑ-* *LS*); *-στὸν* *PRv*. — *λιγὴ* *M*. — *Ψ* 95, 1 *βασιλῆαν ἐκγενέεσσιν* *R*. — 3 *παμβασιλῆες* *DM*. — 5 *τιμὴν* usque ad *μηνύσατε* 6 om. *M*. — 7 *αἰὲν* om. *S*. — 8 *πάντεσι* $DM^1S$, pc. *O*. — *θεοῖς* om. *O*. — *καρτερώτατος* *O*. — 9 *πλέον* *D*; *πλέων* *M*. — 10 *ἑῇ* (*ἑῆ*) *Ω*; *αἰεὶ* *O*. — *βουλὴν* *DMS*. — 11 *κατεναντίων* *DM*; *κατ' ἐναντίον* *Rv*. — 12 *σηῷ* (*σ* rubr.) $O^1$, cr. $O^3$. — post 12 add. *οἴσετε ἀθανάτω αἰδοιότεροι ἐν ἔθνεσιν* $L^2$ im.; *αἱ πατριαὶ βασιλῆϊ ἐθνῶν μέγα οἴσατε κῦδος* serius interiecit *P*.

οἴσετε τιμήεντι φερώνυμον εὖχος ἄνακτι, 7
οἴσετε παμβασιλῆι θεῷ τιμήν τε καὶ εὖχος, 8
δεξάμενοι θυσίας σφετέρας νίσσεσθε ἐπ' αὐλάς,
αὐλῇ ἐν εὐαγέι λιτανεύσατε ποιμένα κόσμου. 9
ἄντα θεοῦ χθὼν πᾶσα ταρασσέσθω βασιλῆος.
εἴπατέ μοι δήμοισι· „θεὸς μετὰ πᾶσιν ἀνάσσει· 10
καὶ γὰρ κύκλον ἔρεισε, τὸν οὐ χρόνος οἶδε δονῆσαι·
λαοὺς ἰθυπόροισιν ἀεὶ θεσμοῖσι δικάζοι."
οὐρανοὶ εὐφραίνοιντο, ἀγαλλέσθω δ' ἅμα γαῖα, 11
πόντος ὀρινέσθω καὶ ὅσα τρέφει οἶδμα θαλάσσης,
καρποτόκοις πεδίοισιν ὁμοῦ σύμπαντα χαρείη. 12
δὴ τότε γηθήσειεν ὁμοῦ δρυμὰ πυκνὰ καὶ ὕλη
ἄντα θεοῦ μετὰ γαῖαν ἐπειγομένου βασιλῆος· 13
ἤλυθε γὰρ μερόπεσσιν ὀιζυροῖσι δικάζειν
πάντας ὑπ' εὐδικίης καλέων ἀψευδέα θεσμόν,
γλῶσσαν ἀληθείῃ προχέων ἀκλινέα λαοῖς.

## ϟϛʹ (96)

*Δαυίδου, παλίνορσον ἐὴν ὅτε δέξατο γαῖαν,*
*ἀμφ' ἐνενηκοστῷ ἕκτον ἄεισμα φίλον.*

Χαῖρε, χθών, σέθεν ἦρξεν, ὃς οὐρανίοισιν ἀνάσσει, 1

---

**13** ante **14** habet *O*, post **14** collocant *Ω*. — *οἴσεται DMS*; *εἴσ-* (ε rubr.) *O*. — **14** om. $L^1R$, add. $L^2$ im. — *οἴσεται DM*; *εἴσ-* (ε rubr.) *O*. — *παμβαλῆϊ O*; *-βασιλεῖ* (om. *θεῷ*) *P*. — *τε* (*τὲ*) *καὶ Ω*; *καὶ ἄσπετον P*. — **15** spurius? — *νίσεσθε L*; *-σθαι S*; *-σθ' DM*. — *ἐπ' Ω*; an *μετ'*? — **16** *αὐλῆεν DM*. — *αναγγέϊ S*: cf. Ritter 29. Rzach[1] 752. [3] 335. — **17** *βασιλῆα S* ac. — **18** *εἴπατέ μοι* $ODL^2S$; *εἶπα τέ μοι M*; *εἶπατε ἐν P*; *εἴπατε Rv*. — *δήμοισι OΩ*; *-σί γε Rv*; *δήμοισίν γε* Hilberg 56. — **20** *δικάζοι* $L^2v$; *-ζει OΩ*. — **21** *εὐφραίνονται O*. — **23** *παιδίησιν S*. — **24** *δρύμαν*(τ del.)*ε πυκνὰ D*; *δρύμαν ἐπυ- M*. — **25** *ἐπειγόμενοι DM*; *ἐπιγ- S*. — **26** *οἰζυροῖσι S*. — **27** *θεσμόν OΩ*; *-ῶν S*; *θυμόν PRv*. — *π. ἐπ' εὐδικίην κ. ἀψευδέϊ θυμῷ m**. — **28** *λαοῦς D*; *-οὺς M*.

*Υ* 96 add. $D(L^1?)MPRSv$; om. $OL^2$. — **1** an *παλίνορσος*? *-ινόρσου*? — **2** *ἐνενηκοστὸν Ω* (*ἑ- S*). — *φίλων M*. — *Ψ* 96, **1** *χαῖρε*] cf. 65, 1.

*χαίρετ᾽ ἐπ᾽ ἀγλαΐῃ, νῆσοι πολιῆς ἁλοσύδνης.*
*ἐγγὺς ἄναξ νεφέλῃ πεπυκασμένος ἠδὲ θυέλλῃ,* 2
*θῶκον ὑπ᾽ εὐδικίῃ κρίσιος πέρι πάντα πυκάζων.*
*κοιρανίης σθεναρῆς προπορεύσεται αἰθόμενον πῦρ,* 3
*ὄφρά κεν ἔνθα καὶ ἔνθα καταφλέξειεν ἀλείτας.*
*χθὼν ὑπὸ θεσπεσίῃσιν ἐλάμπετο μαρμαρυγῇσιν·* 4
*ὡς δ᾽ ἴδεν, ὣς δεδόνητο θεμείλια πάντοσε γαίης.*
*οὔρεα δ᾽ ἀμφὶ ἄνακτι ὁμῶς κατετήκετο κηρῷ* 5
*γαίης παντοδαπῆς κατεναντία παμβασιλῆος.*
*οὐρανοὶ ἀστερόεντες ἀνήγγειλαν θέμιν αὐτοῦ* 6
*καὶ κλέος εἶδον ἅπαντες ἐπουρανίου βασιλῆος.*
*αἰδείσθων προκυλινδόμενοι γλυπτοῖσι πάροιθε,* 7
*κῦδος ὅσοι παρέχουσιν ἐνὶ σφετέροις εἰδώλοις·*
*ἄγγελοι αἰγλήεντες, ὁμῶς ὑποκλίνατε γοῦνα.*
*τάρπη ἑῇσιν ἐνὶ φρεσὶν ἔξοχα οὔρεα Σιὼν* 8
*καὶ πραπίδεσσι χάροντο ποσίκροτ᾽ Ἰούδα κοῦραι*
*ὑψιμέδοντος ἕκητι μεγασθενέος σέο δίκης·*
*οὕνεκα μοῦνος ἔπλευ, πανυπέρτατε, τέρμασι γαίης,* 9
*ὡς οὔ τις, κλυτόμητι, λίην θεὸς ὑψόσ᾽ ἀέρθης.*
*ἐκ κραδίης φιλέοντες οἷον θεόν, μέρμερα θέσθε·* 10
*ὧν θυμὸν φιλέει πανεπίσκοπος ἔξοχα δούλων,*

---

2 *ἀγλαΐην M.* — *ἁλοσύδνης R*; *ἁλοσί- $L^2$*; *ἁλοσί- S*; *καλοσί- DM*; *ἁλοσύνης O.* — 3 *θέλλη S*; *θάλη DM.* — 4 *ἐπ᾽ m**. — *πέρι $L^2$*; *περι O*; *περὶ Ω.* — *πάντων O*; *-τω M* ac. — *δικάζων R.* — 5 *κοιρανίοις S.* — *προπορεύσομαι DMR*, pc. *S*; *-με S* ac. — *αἰθόμεν S.* — 6 *καταφλέξεις ἀλεῖτας DMS.* — 8 *ὡς δεδόνητο Ω.* — *πάντοτε σε M.* — 9 *ἄνακτος S* ac. — 11—27 locum interpolatum add. *$OL^2PRv$*; om. *$D(L^1)MS$*: v. Lch$^1$ 53. $^2$ 349. — 12 *ἐπούρανίου O*; *ἐπ᾽ οὐρ- R.* — 13 *αἰδείσθω O.* — 14 *περ ἔχουσιν O*; *περιέχ- $L^2$.* — *ἐν $L^2$.* — *εἰδώλοις*] cf. Lch$^1$ 53. Ritter 31. — 16 *χάρπη* (*χ* rubr.) *O*; *τάρπῃ b*; *τέρπῃ gm.* — 17 *ποσὶ κρότ᾽ $L^2$*; *ποσσὶ κρότου* (?) *O*; *ποσίκροτοι PR.* — *ποσίκροτα κοῦραι Ἰούδα* Ritter 32 (Hilberg 18); *κόραι ποσσίκροτ᾽ Ἰούδα* Nauck$^4$ 321: sed v. Lch$^1$ 52. — *ἰοῦδα O.* — 18 *ὑψιμέδοντες a.* — 19 *ἔπλευσε O*: cf. Ritter 23. — *πανυπέρτατος O.* — *τέρμα O*; *ἔρμασι P.* — 20 *κλυτόμητι*] cf. Nauck$^4$ 388. — *ὑψόσ᾽ ἀέρθης OP*; *-όθ᾽ ἀέρθης $L^2$*; *-όσε ἤρθης Rv*: cf. Scheindler$^1$ 907. — 21 *οἷον O.* — *οἱ θεὸν ἐκ κρ. φιλ. μέρ. θ. b*c*.*

*καί σφεας αἰὲν ῥύσετ' ἀλάστορος ἐκ παλαμάων.*
*ἀντολίη περίλαμψεν ἐνὶ βλεφάροισι δικαίου* 11
*τερπωλή τ' ἐφύπερθεν ἐσίκετο εὐθέων ἦτορ.*
*παμβασιλῆι χάρητε, ἀμύμονες ἰθυδίκαι,* 12
*καὶ βροτέοις οὔασιν ἐνήσατε τοῖό γε μνήμην.*

## ϙζʹ (97)

a *Καὶ τόδε ἀμφ' ἐνενηκοστῷ ἕβδομον ᾖσε Δαβῖδος.*

b *Ἀμφ' ἐνενηκοστῷ ἕβδομον ἡδὺ μέλος*
*Δαυίδου λιγυρῇ μελπομένου κινύρῃ.*

c *Δαυῖδος τόδε ἀμφ' ἐνενηκοστῷ ἕβδομον ᾖσε.*

*Μέλψατέ μοι βασιλῆα νεηγενέεσσιν ἀοιδαῖς,* 1
*μοῦνος ἐπεὶ θνητὰ σοφαῖς ποιήσατο χερσί·*
*δεξιτερῇ σφετέρῃ ζωαρκέι πάντα σάωσε*
*καὶ πολυκυδήεντι βραχίονι πάντα φυλάσσει.*
*παντοδαπῶν ἀλκτῆρα κακῶν ἀνέφηνε βροτοῖσιν* 2
*ἀθάνατον κατέναντα πολυσπερέων γενεάων,*
*σφωιτέρην ἀνέτειλε δικαιοσύνην ἐρατεινήν·*
*μνήσατο γὰρ κατὰ θυμὸν Ἰακώβοιο μελάθρων* 3
*εἷό τ' ἀληθείης περὶ δώμασιν Ἰσραήλου·*
*ἀμφαδίην ἐνόησαν ὅλης κλυτὰ πείρατα γαίης*
*φέγγος ἀλεξίκακον μεγαλοσθενέος βασιλῆος.*
*πᾶσα μεγακλήεντ' ἀλαλάξατε ποιμένα γαῖα,* 4

---

23 *σφας* $L^2$. — *αἰὲν*] cf. Hilberg 101. — *ῥύσοιτο* $OL^2$ (voluitne interpolator *ῥύσεται αἰὲν* ?). — **24** *ἐνὶ* $OL^2$; *ἐπὶ* *Ω*. — **25** *ἐφύπερθεν* $L^2$; *ἀφύπ-* *O*; *ἀφ' ὕπ-* *Ω*. — *εὐθέας* $b^*c^*$: cf. Lch[1] 52, Hilberg 18. — **26** *ἰθυδίκας* *O*; *-δικάσται* $b^*c^*$; *-δίκασται* Ritter 36. — **27** *οὔασι καὶ βροτέοισιν* $b^*c^*$. — *βροτέης* *O* (ac. *R*?). — *ἐνήσατε* *v*; *ἐνά-* *m*; *αἰνή-* *O*. — *τοίο γενέθλην* *O*.

$Υ^a$ 97 add. *Ra*; om. *ODLMPv*. — $Υ^b$ add. *P*; om. *Ω*. — $Υ^c$ add. *bcgm*; om. *Ω*: cf. *Υ* 1 et 98. — *ἐνεκοστῷ* *b*; *ἐνηκ-* *gm*. — *Ψ* 97, 1 *νεηγενέεσιν* $DM^1$. — **2** *ἐπὶ* *O*, ac. *S*. — **3** *πάντας* *O*. — **5** *κακῶν* *Ω*; *βροτῶν* *O*. — *ἀνέφηνα* *ODMS*. — **9** *εἷο* *R*; *οἷό* (-ο) *Ω*; *οἷς* *O*. — **10** *ἐνόησα* $L^1$, cr. $L^2$. — **11** *ἀλέξικον* *S*. — **12** *μεγακλείεντ'* *Rv*; *μεγαλήεντ'* *DM*. — *ποιμένα* *O*; *-νι* *Ω*; *-νη* *S*.

ψάλλετε γηθόσυνοι, λιγυρῷ δ' ἀναμέλψατε κώμῳ·
εὐκελάδῳ κιθάρῃ φορμίζετε παμβασιλῆι, 5
ἀμφ' ἐλαταῖς σάλπιγξι καὶ ἣ κέρας ἴαχε βόμβον· 6
ἀντίον ἀθανάτου ἀλαλάξατε παμβασιλῆος.
πόντος ὀρινέσθω καὶ ὅσα τρέφει οἶδμα θαλάσσης, 7
κύκλος ὅλος καὶ πάντα, τά περ χθόνα ναιετάουσι·
χερσὶν ἀγειρέσθων ποταμοὶ πλαταγεῦντες ὁμαρτῇ, 8
οὔρεα τερπέσθων θείου κατέναντα προσώπου·
εἶσι γάρ, ἦλθε δὲ μᾶλλον, ὅπως χθονὶ καλὰ δικάζοι 9
πάντας ὑπ' εὐδικίης καλέων ἀψευδέα θεσμόν,
γλῶσσαν ἐπεσσυμένοις προϊεὶς ἀκλινέα λαοῖς.

## ϛη' (98)

*Ἀμφ' ἐνενηκοστῷ ὄγδοον ἡδὺ μέλος*
*Δαυίδου λιγυρῇ μελπομένου κινύρῃ.*

Ἀθάνατος βασίλευσε θεός· μὴ χαίρετε, λαοί· 1
ἥμενος ἦλθε Χερουβίμ, ὅλης χθονὸς ἕρμα δονείσθω.
κλεινὸς ἄναξ [Σιῶνι] μέγας λαοῖσί τ' ἀγητός. 2
μελπόντων ἅμα πάντες ἀγήραον οὔνομα σεῖο, 3
οὕνεκα δὴ φοβερόν τε καὶ ἀπροτίοπτον ἐτύχθη

---

**13** ψάλλετε scripsi; ψάλατε *OcΩ*; ψάλλατε *ab*. — γηθόσυνον *DM*; -οσύνη *O*. — λιγυρά *L*; -ρᾶ *S*. — **14** εὐκελάδως *S*. — **15** ἐλατῆς (-ῆς) *Ω*; -τῆ *O*; ἐρατῆς *L*. — σάλπιγγι *O*. — ἣ *DLMS*; ἡ *O*; οἱ *PRv*. — ἴαγχεν *S*. — βόμβω *O*. — **18** χθόναι ναιτάουσιν *S*. — **19** πλαταγεῦντες *Lv*; πατα- *P*; παντα- *R*; πλαταγοῦντες *DM*; παττα- *O*. — ὁμαρτῇ Volkmann 52; -τῆ *Ω*. — **20** κατέναντι *O*. — **21** εἶσι γὰρ om. *O*. — δικάζει *DM*. — **22** ἐπ' *m**. — **23** ἐπεσσυμένοις *Ω* (ἐπέσσυ- *O*, ἐπεσυ- *L*); -νῆς (οι) *D*; -νοι *M*; ἐπ' ἐσυμένοις *S*. — προϊ εἰς *DM*. — λαοῦς *D*; -οὺς *M*.

*Υ* 98 add. *Ω*; om. *O*. — **1** ἀφ' *M*. — *Ψ* 98, **2** δονεῖσθε *L*; -σθεν *DM*; -σθαι *S*. — **3** Σιῶνι inserui (coll. *Σ* et 50, 35); τε *L*; om. *Ω*. — μέγας] ἐν add. *PRv*. — λαοῖσι *Ω*; θεοῖσί (-σι) add. *PRv*. — **4** ἀγείραον *L*.

*καὶ τιμὴ βασιλῆος ἀεὶ θέμιν ἀμφαγαπάζει.* 4
*αὐτὸς Ἰακώβῳ ἰθύφρονα δῶκας ἐρωήν,*
*εὐδικίην ψῆφόν τε τεῷ πόρες Ἰσραήλῳ.*
*ἄφθιτον ἡμείων ἀναείρατε παμβασιλῆα* 5
*λισσόμενοι θρῆνυν σφετέρην· ἅγιος γὰρ ἐτύχθη.*
*Μωσῆς ἀμφ' ἱερεῦσι μέγας καὶ ἀοίδιμος Ἀαρών,* 6
*ἐν δὲ λιταζομένοισι Σαμουῆλος μενέχαρμος·*
*κεῖνοι μὲν λιτάνευον, ὁ δ' ἀντεφθέγγετο φωνῇ*
*καί σφεας ἐκ νεφέλης σταθερῆς ἠμείβετο μύθῳ·* 7
*ἐσθλοὶ μαρτυρίης φύλακες ἐγένοντο θεοῖο,*
*θείων δ' οὐκ ἀμέλησαν, ὅσων μάθον, ἐννεσιάων.*
*ἄφθιτε, σύ σφισι δῶκας ἀπ' οὐρανοῦ οὖας ἑτοῖμον,* 8
*καὶ θυμὸς μετὰ τοῖσιν ἀεί σεθεν ἵλαος ἦεν·*
*πάντα δ', ἅ κεν ῥέζεσκον, ἐπιθύνεσκες ἀρωγῇ.*
*ἄφθιτον ἡμείων ἀναείρατε παμβασιλῆα,* 9
*ἀχράντῳ δέ μιν αἰὲν ἐν οὔρεϊ γουνάζεσθε,*
*οὕνεκα δὴ μετὰ πᾶσιν ἄναξ ἄχραντος ἐτύχθη.*

## ϟϑ' (99)

*Ἀμφ' ἐνενηκοστῷ εἴνατον ᾆσμα κλυτόν·*
*ἦσεν Δαυῖδος μελπόμενος κιθάρᾳ.*

*Πᾶσα μεγακλήεντ' ἀλαλάξατε ποιμένα γαῖα,* 1

---

**6** *τιμὴν DLMS.* — *βασιληϊ M*; *-λέως R.* — *ἀμφ' ἀγαπάζει S.* — **7** *ἰακώβου DM.* — **9** *ὑμείων DMS.* — **10** *θρήνην DLMS.* — **11** *ἀάρὼν O*; an *Ἀρών*? cf. 104, 50 (105, 34). — **15** *φύλακες̄*] cf. Ritter 29. Rzach[2] 415. — **16** *δ'* om. *S.* — *ὅσον O.* — *μῦθον O*; *μάθων DS.* — **18** *ἦεν Ω*; *εἶεν DLM*; *εἴεν S.* — **19** *ἀρωγῇ* (-ῆ) *OΩ*, ac. *R*; *-γήν R* pc., *v.* — **20** *ὑμείων DLMS.* — *ἀναείρετε O.* — **21** om. *S.* — *γουνάζεσθε L[2]Ω*; *παμβασιλῆα* (ex 20) *DL[1]M*; fort. ad hunc vs. pertinet *γουνάσονται* lectio in *a** perperam ad 79, 4 relata. — **22** *οὕνεκε O* pc.

*Υ* 99, **1** *ἐνενηκοστῷ L*, pc. *S* (*-στὸς* ac.); *ἐνενηκοστὸν O.* — *εἴνατον ODLS.* — *ἄεισμα O.* — **2** add. *P* ir.; om. *Ω.* — *Ψ* 99, **1** = 97, 12. — *μεγακλήεντ' OmΩ* (*-αλήεντ' D*); *-ακλείεντ' v*, pc. *R.* — *ἀνολύξατε* (errore?) Schneider[1] 341. — *γαῖα R*; *γαίη Ω*; *-ης DM.*

ἀθανάτου χαίροντες ὑπὸ ζυγὸν αὐχένα θέσθε, 2
σπεύσατε γηθόμενοι θείων κατεναντίον ὄσσων,
αὐτὸν ἀεὶ πραπίδεσσι νοήσατε παμβασιλῆα. 3
ζωὴν αὐτὸς ἔτευξε βροτοῖς, οὐχ ἡμέες αὐτοί,
αὐτὸς ἔτευξ' ἡμέας, οὐδ' ἡμεῖς ἄρκιοί εἰμεν,
ἡμεῖς αὖθ' ἕο λαὸς ὁμοῦ καὶ θρέμματα ποίης.
σπεύσατε μελπόμενοι θείων ἔντοσθε πυλάων, 4
ἐν δ' αὐλαῖς βασιλῆα θεὸν λιτανεύσατε μολπῇ·
οὔνομα μέλψατε θεῖον ἐπὶ χθονὶ μείλιχον αἰεί,
νωλεμέως ἐλεητὺν ἐπεὶ μετὰ πᾶσι φυλάσσει, 5
ἐκ γενεῆς γενεὴν δὲ φέρει παναληθέα βουλήν.

## ϱ′ (100)

a *Ψαλμὸς ὧδ' ἑκατοστὸς Δαυίδου πέλει.*

b *Δαυῖδος ᾖσεν ᾆσμ' ἑκατοστὸν τόδε.*

Εἰν ἐνὶ σεῦ ποινήν, βασιλεῦ, ἔλεόν τ' ἀναμέλψω, 1
φορμίζων ξυνίοιμι ἀμωμήτοις ἐν ἀταρποῖς· 2
δέγμενος ὁππότε δή μοι ἀφίξεαι, ἄφθιτε ποιμήν;
ἀμφ' ἀγανοφροσύνῃ διὰ δώματος ἤια μέσσῳ
οὐδὲν πάμπαν ἄθεσμον ἐν ὀφθαλμοῖσι δοκεύων, 3
ἀλλ' ἔτι καὶ στυγέων ἀλιτήμονας ὑβριστῆρας.
οὐδέ ποτ' ἀλλοπρόσαλλος ἐμοὶ πάρος ἥνδανε μῆτις·

---

**2** ἀθάνατον $L^1$, cr. $L^2$. — θέσθαι $DL^1MS$, cr. $L^2$. — **3** κατενατίον *O*; κατ' ἐναντίον *Rv*. — **4** πραπήδεσι $DM^1S$, cr. $M^2$. — **5** del. *P* rubr.; notam ∵ praescripsit $L^2$. — ζωὴν $L^1Ω$; ζώων $L^2$; ζῶον *O*. — βροτοὺς $L^1$, cr. $L^2$. — ἡμέες $L^1Ω$ (contra Apolinarii usum); -έας $OL^2$. — ἐσμεν *m*. — **9** ἐν $L^2Ω$; ἀν $L^1S$. — αὐλῆς (-ῇς) *Ω* (αὐ- *D*); αὐλῇ *O*. — μολπῆν *S*. — **10** θείων *DMS*.
$Υ^a$ 100 hab. *DLMS*; om. *Ω*. — ὧδ' ἑκ. *M*. — $Υ^b$ hab. *PRv*; om. *Ω*. — δαβῖδος *Ra*. — Ψ 100, **1** σεῦ (σευ) *Ω*; σοι *m*. — **2** ξυνίοιμι *OΩ*; ξεν- *DS*; ξυνίημι *PR*; ξενίοισιν *L*. — **3** δέγμεν *O*. — **4** ἀμφ' ἀγανοφροσύνῃ (-η) $L^2Ω$; ἀμέγαν- *S*; ἡμεγαν- *DM*. — ἤϊε $DL^1S$, cr. $L^2$. — μέσσῳ (-ω) *OΩ*; μέσσου *bcm*. — **5** οὐδὲ $DL^1MS$, cr. $L^2$. — δοκεύων *Ω*; δακρύων *DLMS*.

φεῦγε μὲν αἰνὸς ὄφις, δολερῶν δ' ἀδάητος ἔμιμνον, 4
οὖας ἐμὸν πέφρακτο κακηγορέοντος ἀκοῦσαι, 5
οἷα δὲ λυμαντῆρα φίλων ἐδίωκον ἑταίρων·
ἀπλήστῳ κραδίῃ καὶ ὑπερφιάλοισιν ὀπωπαῖς
οὐκ ἔθελον παρὰ δαιτὶ φίλος καὶ ὁμέστιος εἶναι.
ἀνδράσιν ἀμφ' ὁσίοισιν ἐμαὶ τετάνυσθεν ὀπωπαί, 6
ξυνὸν ὅπως μοι θῶκον ἅμ' ἑδριόωντες ἔχοιεν·
δρηστῆρ' ἀτραπιτοῖς ὁσίαις μεμελημένον εἶχον.
οὐδέ μοι ἐνναίεσκε δόμοις ὑπερήφανος ἀνὴρ 7
οὐδ' ἄδικον λαλέων μευ ἐναντίον ἤλυθεν ὄσσων.
ἠῶθεν κατέπεφνον ἀτασθαλίης ὑποφήτας 8
δυσνομίης μεμαὼς δαμάσαι θεράποντας ὀλέθρῳ.

## ϱα΄ (101)

*Εὐχωλὴ πτωχοῖο κακῇ βεβαρηότος ἄτῃ,* 1
*εὖτε μάλ' εὐχωλὴν προχέῃ κατέναντα θεοῖο.*
*ἔμπά γε μὴν ἑκατοστὸν ἔφυ καὶ πρῶτον ἄεισμα.*

Εὐχῆς ἡμετέρης ἐπικέκλυθι, φέρτατε ποιμήν, 2
οὔασι δευομένοιο τεοῖς ὑποδέχνυσο φωνήν.
μή μευ σὴν χαρίεσσαν ἀποστρέψειας ὀπωπήν· 3
τειρομένῳ κλίνειας, ἄναξ, ὀξεῖαν ἀκουήν·
εὖτε, μάκαρ, καλέσω σε, θοῶς φίλον οὖας ἐρείδοις,
οὕνεκ' ἐμὴ ζωὴ ἰκέλη κατετήκετο καπνῷ, 4
ὀστέα δ' ἀζαλέῳ φρυγίῳ κατεκαίεθ' ὁμοῖα.

---

8 δολερῶ *D*. — 13 ἄμφ(ο)ωσίοισιν *S*. — αἰμαὶ *O*. — τετάνυσθεν scripsi (cf. 32, 35); ἐτάνυσθεν *cgm*; -σθον *OΩ*. — 14 κοινὸν *O*. — θῶκαμ' *L*; -ἅμ' *S*; θῶκ' ἅμ' *DM*. — 15 χρηστῆρ' (χ rubr.) *O*; δρασ- *L*. — δρηστῆρα οἴμοισιν *R*. — ὁσίαις scripsi (cf. 139, 12); ὁσίης *S*; ὁσίοις *OΩ*; θ' ὁσίοις *Rv*. — μεμελημένος *O*. — 17 ἄδικα *MP*. — καλέων με *O*. — 19 δαμάσας *M*.

*Υ* 101, 1 βεβαρηότης *S*; -ρυότος *PR*. — 2 μάλα *M*. — κατέναντι *Ω*. — 3 ἔφη *R*. — *Ψ* 101, 2 τεὴν (?) *O* ac. — 3 ὀπωπῆς *S* ac. — 4 ἀπωπήν *O* ac.; ἀκοήν *DMS*, pc. *O*. — 5 ἐρείδης *S* ac. — 6 κατετήκετο *bcm*; καταττή- *Ω*. — 7 ἀζαλέη *O*; ἀλζαλάω *DS*; -λέα *M* (ἀζ- pc.). — κατεκαίεθ' *O*; κατακ- *Ω*; κατακάλεθ' *M*.

ἐπλήγην ἅτε χόρτος, ἐμὸς δ' ὑπεκάρφετο θυμός, 5
γαστέρι δ' ἐκλαθόμην δόμεναι φίλον ἄρτον ἀνάγκης.
νωιτέρῃ στοναχῇ περιπίλναται ὀστέα σαρκί. 6
δέρκεσθαι φαίης κεν ἐρημονόμον πελεκᾶνα 7
ἢ νυκτὸς κόρακα ψιλῶν δαπέδων ναετῆρα
ἢ στρουθόν τιν' ἄυπνον ἐόντ' ἐν δώματι μοῦνον. 8
δυσμενέες μ' ἐπέεσσι πανημέριον στυφέλιζον, 9
οἱ δὲ γεραίροντές με μάτην ἐπίορκον ὄμοσσαν,
οὕνεκα τειρόμενος πασάμην σποδὸν ἄρτῳ ὁμοίην 10
καὶ γοεροῖς πιόμην ἅμα δάκρυσι πῶμα κεράσσας
μήνιος ἐξ ὀλοῆς, πανυπέρτατε, καί σεο θυμοῦ, 11
οὕνεκεν ὑψώσας μ' ἐξ αἰθέρος ἔκβαλες αὖτις.
ἡμετέρης αἰῶνος, ὅπως σκιή, ἤματα λήγει, 12
χόρτῳ δ' ἀζαλέῳ πανομοίιος αὐτὸς ἐτύχθην,
μοῦνος ἐπεὶ ζώοντα διηνεκέως βίον ἕλκεις 13
ἐκ γενεῆς γενεὴν δὲ βροτοῖς μνημήιον ἴσχων.
αὐτὸς ἀνεγρόμενος, βασιλεῦ, Σιῶν' ἐλεαίροις· 14
ὥρη γὰρ μάλα τῆνδε πιεζομένην ἐλεαίρειν,
καὶ δὴ καιρὸς ἐκεῖνος ἐπέχραεν, ὃν πρὶν ἔδεκτο.
οὕνεκά σοι θεράποντες ἑαῖς λαΐγξιν ἔθεντο, 15

---

8 ἐμὸν *S* ac. — ὑποκάρφετο *M* (ac. *P*?). — **10** στοναχὴ *MPR*. — περιπίλνατε *S*; -πίμπλαται *DM*. — **11** φαίη]σ *L*² pc. — κεν *Ω*; κεν νέμεσθαι *OS*; κε νέ- *D*, pc. *M* (κενέσθαι ac.). — ἐρημονόμου *M*. — πελεκᾶνα *O*; πελέκαντα *DLMS*; -εκάντα *Ω*; -εκᾶντα *m*. — **13** ἀΰπνον *S*. — **14** μεπέεσιν *S*. — **15** οἱ δὲ *Ω*; αἱ δὲ καὶ *DMS*. — ἐπίορκον *OΩ* (Ritter 21); ἐπὶ ὅρ- *PRv*. — ὤμοσσαν *DLMS*; -οσαν *O*. — **16** σποδῷ (-ῶ) ἄρτον *DLMS*. — ὁμοίην *OPR*; -οῖον *Ω*. — **17** πιόμην ἅμα δάκρυσι πῶμα (πό- *ODMS*) *Ω*; πόμ' ἔπιον δάκρυσ' ἐμοῖσι *P*; π- ἔ- δ- ὁμοῦ γε *R*; ἔπιον πόμα δ- ὁ- γε *v*. — κεράσας *ODMPS*; -σαι *L*. — **18** πανυπέρτατος *S*. — θυμός *S*. — **19** ὕψωσάς *O*. — οὕνεκά μ' αἰθέρος ἐξ ὑψώσας κάββαλες (κάμβ- *R*) α. substituunt *PR*. — αὖθις *Ω*. — **20** ἡμετέρης *ODL*¹*MS* (cf. Hom. *X* 58. Hes. scut. 331); -ρου *L*²*Ω*: v. Ritter 13. — **21** ἐτύχθη *L*. — **24** σιῶν *S*; σιὼν *M*. — ἐλαιαίροις *L* ac.; ἐλαίρ- *S*. — **25** ὥρη *R*. — τήνδε *Ω*; τὴν δὲ *M*.

*καὶ σφέτερον κραδίῃσι κονίσαλον οἰκτίσσονται.*
*πάνθ᾽ ἅμα δειμήνειαν, ἄναξ, τεὸν οὔνομα φῦλα,* 16
*πάντες σὴν τρομέοιεν ἐυκλείην βασιλῆες,*
*οὕνεκα τεκτήνειε θεὸς Σιῶνα πεσοῦσαν* 17
*ἀμφαδίην μερόπεσσι φαεινόμενος κατὰ γαῖαν.*
*ἱκεσίην χθαμαλῶν πανεπίσκοπος ἔδρακε ποιμὴν* 18
*οὐδέ τ᾽ ὀνοσσάμενος σφετέρων ἀμέλησε λιτάων.*
*γράψατε δή μοι ταῦτα μετ᾽ ὀψιγόνοισι γενέθλαις,* 19
*καὶ λαός σεο χερσὶ γενησόμενός σε βοήσει·*
*οὕνεκεν ὑψόθεν αὐτὸς ἐπεσκοπιάζετο κύψας,* 20
*οὐρανόθεν μετὰ γαῖαν ἑὴν ἐτάνυσσεν ὀπωπήν,*
*ἰλλομένων ὄφρ᾽ οἶκτον ἀλυκτοπέδῃσι πύθοιτο* 21
*καὶ δεσμῶν φίλα τέκνα καταφθιμένων ἀπολύσῃ,*
*οὔνομα δ᾽ αὖ Σιῶνι πολύλλιτον ἐξαναφήνῃ,* 22
*ἐν δ᾽ Ἱερουσαλῇ λιγυρὸν καὶ ἀοίδιμον αἶνον,*
*ὄφρά κε παντοδαπῶν πολίων ἄπο λαὸν ἀγείρῃ,* 23
*αὐτὰρ κοιρανίῃσιν ἑὸν ζυγὸν αὐχένι θήῃ.*
*νισσόμενος σθεναρῶς μιν ἀμείβετο καὶ φάτο τοῖα·* 24

---

28 *κονίσσαλον Ω* (-*αιλον M*). — *οἰκτίσονται DM*; -*τιάσονται* pc. *PR*; -*τίσσοντο O*. — 29 *δειμήνειαν OP*; *δημή- DS*; *δὴ μή- LM*. — *ἄναξ* om. it., ss. *P*. — *φῦλαι D*. — 30 *σὴν πάντες P*. — *σὴν τρομέοιεν ODLv**; *συντρο- M*; *σὴν προμέοιον S*; *σὴν ταρβήσοιτ᾽* (ν ss.) *P*; -*βήσοιεν R*; -*βοῖεν v*. — *ἐϋκλείην Lv*; *εὐ- Ω*. — *βασιλῆος M*. — 31 *τεκτήνει M*. — 32 *φαεινόμενος Ω* (v. Hilberg 12); *φαιν- m*. — 33 *πανεπίσκοπος ἔδρακε ποιμὴν PRv*; *πτωχῶν παν- ἔδρακε* (-*κεν D*, -*μεν M*) *ποιμὴν* (sic *O*$L^2$, *ποιμὴν* om. *D*$L^1$*MS*) *Ω*. — 34 *οὐδ᾽ ἔτ᾽ L*. — *σφετέρων* om. *D*$L^1$*MS*, add. $L^2$. — 35 *γράψατέ μοι δὴ O*. — 36 *σέο* $L^2$*Ω*; *σαῖς O*$L^1$. — 37 *ἐπεσκοτιάζετο S*; *ἐπισκοπ- m*. — 39 *ἀλλομένων* (*ἀ* rubr.) *O*; *ἰλο- D*$L^1$*S*, cr. $L^2$; *ὀλο- M*. — *ἀλυκτοπέδοισι PR*. — 40 *ἀπολύσει ODM*. — 41 *ὄκνομα M*. — *πολύκλιτον DM*. — *ἐξαναφήνη O*. — 42 *ἱερουσαλὴμ L*. — *λιγυρὸς M*. — 43 *παντοδαπὸν OD*. — *ἄπο OLMm*; *ἀπὸ Ω*. — *λαῶν L*. — 44 *κοιρανίῃσιν* (-*ησιν*) *Ω*; -*ίοισιν PRa*: cf. Naeke$^2$ 58. — *αὐχένι* $L^2$*m** (Naeke l. l.); -*ένα* $L^1$*Ω*. — *θήῃ* scripsi (coll. Hom. *κ* 301); *θήσῃ L*; -*σει Ω*. — 45 *νισσόμενος* $L^1$*Ω*; *νισό- D*$M^1$*S*; *νεισσό-* $M^2$; *λισσό-* (*λ* rubr.) *O*; *λισό-*

*„εἰπέ μοι ἡμετέρας ὀλίγας βιότοιο κελεύθους,*
*μηδ' ὥρης προπάροιθε ταμὼν βιοτόν με καλέσσῃς·* 25
*σεῖο, μάκαρ, γεγάασι διηνεκέες ἐνιαυτοί.*
*ἀρχόμενος τὸ πρῶτον ἐπεστηρίξαο γαῖαν,* 26
*καὶ χειρῶν τελέθουσι τεῶν, μάκαρ, οὐρανοὶ ἔργα.*
*αὐτοὶ ἀποφθίσονται, ἀτὰρ σύ μοι ἄφθιτος εἴης·* 27
*εἰδόμενοι πέπλοισι παλαιγενέεσσιν ὄλοιντο,*
*πάντα δ' ἐναλλάξουσιν ἑλισσόμενοι ἅτε φᾶρος·*
*αὐτὸς δ' ἄφθιτός ἐσσι, βίος δέ τοι οὔ ποτε λήξει.* 28
*δρηστήρων σέθεν υἷες ἀεὶ κλισίῃσι παρεῖεν* 29
*καί σφεων οὐ λήξειεν ἐπιθύνουσα γενέθλη."*

## ϱβ′ (102)

*Ὕμνος Δαυίδου, ὃς δεύτερος ἀμφ' ἑκατοστῷ.*

*Θυμέ, τεὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε,* 1
*οὔνομα δ' αὐτοῦ μέλπετ' ἀκήρατον, ἔγκατα πάντα.*
*θυμὲ τεὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε* 2
*μηδὲ θεοπρεπέων ἱερῶν τ' ἐπιλήθε' ἀμοιβῶν·*

---

*L*². — *σθεραρῶς D* (-*ὼς S*); *στε- L*. — *τοῖα Ω*, cum *γϱ′ P* ss.; *μῦθον P* it. — **47** *ὥρῃ L*¹, cr. *L*². — *βιοτόν Ω*, pc. *L*²*R*; *βίον* (-*ων* pc. *M*) *τόν D*(*L*¹)*M*. — *με* (ss. *L*², *δε* it. *L*¹) *καλέσσῃς L*; *με καλέσεις DM*; -*σει S*; *μ' ἀπολέσσῃς* (-*ης*) *Ω*. — **48** *γεγάασι DLMPS*; -*ασσι Ω*. — *διηνεκέε̄ς*] v. Rzach³ 414. — **49** *ἀρχόμενοι R*. — *τὸ πρῶ L*¹, *τοπρῶτον L*²*v*: v. Scheindler² 421. — *ἐπεστηρίξαο ODPm**; -*ρέξαο S*; *ἀπεστηρίξαο Ω* (-*ρέξαο L*¹ ?); -*ρίξατο M*. — **50** *τεῶν* om. *O*. — **51** *αὐτὸς M*. — **52** *πέπλουσι M*, pc. *D* (*πάνπλ-* ac.). — *παλαιγενέσιν DM*; -*έσσιν S*. — **53** *πάντα Ω*; *εἰδόμενοι πάντα DMS*. — *ἐναλλάξουσιν OmΩ* (-*σι S*); *ἀναλ- v*. — *ἄτερ M*. — **54** *δ'* om. *OMS*. — **55** *ρηστήρων O*¹, *ἀρητή- O*². — *ἧες M*. — **56** *γενέθλης DMS*.

*Υ* 102 *ὃς L*²; *ὁ ODL*¹*S*, ir. *M*; om. *Ω*. — *ἑκατοστῷ ODLMS*; *ἑκατόν PRv*. — *Ψ* **102, 2** *αὐτοῦ μέλπετ'* scripsi; *αὐτοῦ μέλποιτ' L*²; *οἵ μέλποι μευ L*¹; *οἱ μέλπε* (*μευλ-* ac. *S*) *μευ* (*μεῦ M*) *OΩ*; *οἱ* (*οἵ bm*) *μευ μέλπετ'* (-*πε a*) *v*. — *ἔγκατα Ω* (*ἔκα- DM*¹, im. *ἴσως· ἤματα M*²), cum *γϱ′* ss. *P*; *ἤπατα P* it.

παντοίης ἀνάμελπε κακοῤῥαφίης ἐλατῆρα, 3
αἴνεε παντοίων κρυερῶν ἰήτορα νούσων,
σεῖο δυσηλεγέως φθιμένου ῥυτῆρα βίοιο, 4
ὅς ῥ' ἐλεημοσύναις τε καὶ οἰκτιρμοῖσι πυκάζει,
ἀλλήκτοις ἀγαθοῖσί σεθεν καταθύμια ῥέζει· 5
αὖτις ἀνηβήσειας ἅτ' αἰετὸς ὑψιπετήεις.
κλεινὸς ἄναξ ἐλεητὺν ἀεὶ δεδάηκε τελέσσαι 6
ἀθανάτην πάντεσσι δικαιοσύνην ἀναφαίνων.
θεσπεσίας ἀνέφηνε σοφῷ Μωσῆι κελεύθους, 7
υἱάσιν αἰγλήεντος ἀεὶ νόον Ἰσραήλου.
οἰκτίρμων μετὰ πᾶσι πέλει θεὸς ἠδ' ἐλεήμων, 8
ἡγητὴρ ἐλέοιο καὶ ἠπιόθυμος ἐτύχθη.
οὐκ αἰεὶ κρυόεντα κότον στέρνοισιν ἐρύξει 9
οὐδ' ἡμῖν ἐτέλεσσεν ἐπάξια δυσφροσυνάων 10
πικρὸν ἐν ἀμπλακίῃ βαρυπήμονι μισθὸν ὀπάζων,
ἀλλ' ὅσον ἀστερόεις μέγας οὐρανός ἐστ' ἀπὸ γαίης, 11
τόσσον ἀνηέξησεν ἄναξ ἐλεητὺν ἐρίθοις·
ὁππόσον ἀντολίαι δύσιος γεγάασιν ἄνευθε, 12
τόσσον δυσνομίας μερόπων μεθέηκε φέρεσθαι·
ὡς δὲ πατὴρ παίδεσσιν ἑοῖς φρένα μείλιχον ἴσχει, 13
ὧδε θεὸς θεράποντας ἑοὺς οἰκτίσσατο θυμῷ·
ἔγνω γὰρ θεὸς ἔργμα, τό περ τεκτήνατο χερσί· 14

5 ἀνάμελ *D*; ἀνὰ μελ(πε ss. *M*²) *M*. — ἐλατῆρ *D*; -τὴρ *M*. — 6 κρυερῶν usque ad δυσηλεγέως 7 om. *M*. — ἰητῆρα *O*. — 7 om. it., add. im. *R*. — δυσηλεγέος *O*; δυσυλεγέως *g*; δυσαλ- *m*. — 8 ἐλεημοσύνῃς (-νῃς) τε *OLS*; -νῃσε *DM*; -νῃσι *Ω*. — πυκάζοι *O*. — 9 ἀλλήκτοις *OL*²*M*²; ἀλή- *L*¹*M*¹*Ω*. — ῥέζει *L*²*Ω*; -ξει *ODL*¹*MS*. — 10 αὖθις *Ω*. — ἀναβήσειας ἅτε *O*. — 11 ἄναξ δ' *S*. — ἀεὶ *Ω*; ἃ *O*. — 13 σοφῶν *S*; -ὸν *L*¹, cr. *L*². — μωσῆ *O*. — 14 υἱάσιν *Ω*; υἱᾶ- *L*¹, υἱέ- *L*². — ἀεὶ *P* ss., *b***c**; αἰὲν *P* it., *Ω*. — 15 εἰδ' *M*. — 16 ἐλέοιο Koechly; -έου *Ω* (-αίου *S*); -έου τε Ritter 20. — 19 βαρυπήμονι *L*¹*Ω*; -να *L*². — 20 οὐρανός ἐστ' *m*; -νὸς ἔστ' *Ω*. — 22 ἄνευθε *DL*; -θεν *Ω*; ἄνωθε *M*. — 24 ἑοῖς *L*²; ἑὴν *L*¹*Ω*. — 25 ὧδε *OL*²; ὡς *L*¹; ὡς δὲ *Ω*; ὧς δὲ *PRbc*. — θεὸς *L*²*Ω*; om. *DL*¹*MS*. — 26 ἔγνωκα γ. *DM*.

μνῆσαι, παμβασιλεῦ, ὅτι τοι κόνις εἰμὲν ἀφαυρή.
ἀνδρομέη χόρτῳ πανομοίιός ἐστι βιώνη 15
ἄνθεσιν ἶσ' ἕρπουσα μινυνθαδίοισιν ἀρούρης,
ἣ ψυχῆς πταμένης μελέων ἐξέφθιτο πᾶσα 16
οὐδὲ δόμον βλεφάροισιν ἑὸν γνοίη κεν ἰδοῦσα.
εὖ δ' ἔλεος βασιλῆος ἀεὶ τρομέουσιν ὀπηδεῖ 17
καί σφεων υἱωνοῖσι μεθ' υἱέας αἴσια ῥέζει,
οἷς περὶ θεσπεσίη φυλακὴ μέλει ἁρμονιάων, 18
οὐδέ οἱ ἐξελάθοντο διαμπερὲς ἐννεσιάων.
οὐρανῷ ἀστερόεντι μάκαρ τεκτήνατο θῶκον, 19
καί οἱ ἀνακτορίης κρατέει μέγα κῦδος ἁπάντων.
ἄγγελοι αἰγλήεντες, ὁμοῦ κελαδήσατ' ἄνακτα, 20
ἄλκιμοι, οἷσι μέμηλεν ἐφημοσύνη βασιλῆος.
ἀλκαὶ παντοδαπαί, κελαδήσατε παμβασιλῆα, 21
οἷς τ' οὖας μεμέληται ἐπ' ἀθανάτῃσιν ἀνωγαῖς.
ἔργα πολυκλήεντα θεοῦ, κελαδήσατ' ἄνακτα, 22
κοιρανίῃσιν ἃ κάρτος ἀεὶ τετανυσμένον ἴσχει·
θυμέ, τεὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε.

---

27 *μνήσαι* $DL^1$, cr. $L^2$. — *εἶμεν* *DL*, pc. *M* (ac. *εἶκεν*). — 28 *χόρτος* *O*. — *ἔσται* *O*. — 29 *ἴσσ'* *O*; *ἴς* *DS*; *ἳς* *M*. — *μινυνθαδίῃσιν* *LS*. — 30 *ἣ* *DLM*; *ἡ* *S*; om. *O*. — *ἐξεύτο* *M*. — 31 *δόμον* $DL^2MS$ (*-ων* $L^1$), cum *γϱ′* ss. *P*; *δόλον* $O^1$; *τόπον* $O^3Ω$, it. *P* (cf. *a**). — 32 *οὐ* (o rubr.) *O*. — *δ'* *OΩ*; om. *Rv*: cf. Ritter 13. — *ὀπηδεῖ* *v*; *ὀπηδοὶ* *Ω* (*ὁ-* *O*); *-ηδοῖ* *D*; *-αιδοὶ* *M* ir. — 33 *καὶ υἱῶν σφεων* Hilberg 167. — *υἱωνοῖσι* *c*; *υἱῶν οἷσι* *Ω*. — *ῥέζει* $OL^2$; *-ξει* $L^1Ω$. — 34 *περι* *DS*; *πέρι* *m*; *παρα* *O*. — *θεσπίη* *S*. — *θεσπεσίῃ φυλακῇ* *P*. — 35 *οὐδέ* *OΩ*; *οἱ δέ* *DLMS*. — 37 *ἀνακτορίη* *L*; *-τωρίοις* *S*. — post 39 serius interiecit *ἀτρεκέων φθόγγων ἑῶν γῆρυν ὅπως τε πύθοιντο* *P*. — 40 om. *DM*. — *παμβασιλῆα* $L^2Ω$; *-ῆος* $L^1S$. — 41 *ἑις* (*ἑ* rubr.) $O^1$, cr. $O^3$. — *μεμέληται* *OΩ*; *-το* *PRv*. — *ἀθανάτοισιν* *OΩ*; *-τοιο* *PRv*; correxi. — *ἀνωγῆς* (*-ῆς*) *OPR*; *ἀρω-* *Ω*; *ἀρρω-* *DM*. — 42 *πολυκλήεντα* $L^2M^2PS$; *-κλῦεντα* *O*; *-κλίεντα* $DM^1$; *-κλείεντα* $L^1Rv$; *-κληίεντα* *m*: cf. 115, 15. 120, 8. Volkmann 75. — *θεοῦ* $L^1Ω$; *θεὸν* $L^2$. — 43 *κοιρανίεισιν* *S*. — *αἳ κ.* *m*. — *τενυσμένον* *O*; *τετάνυς μέλον* *M*.

## ϱγ' (103)

*Δαυίδου λιγυϱὸν τϱίτατον μέλος ἀμφ' ἑκατοστῷ.*

*Θυμέ, τεὸν βασιλῆα διαμπεϱὲς αἰνετὰ μέλπε·* 1
*ἄφθιτε παμβασιλεῦ, μάλα τοι μέγα κῦδος ἀέϱθη.*
*δύσαο πάντοθεν αἶνον ὁμοῦ καὶ ἀϱιπϱεπὲς εὖχος*
*ἀμφιβαλὼν ἅτε φᾶϱος ἀκηϱάσιον μέγα φέγγος,* 2
*ἐκτανύων ῥινῷ μέγαν οὐϱανὸν ἶσον δϱᾶσθαι,*
*ὕδασιν ἀχϱάντοις ὑπεϱώια κλεινὰ καλύπτων,* 3
*ἴχνεσιν ἀθανάτοις νέφεα στηϱίγματα τεύχων,*
*σπεϱχομένων ἀνέμων πτεϱύγων ἔπι μακϱὰ βιβάσθων,*
*ἀγγελίην στϱατιὴν ἰθύδϱομα πνεύματα ῥέζων,* 4
*εἰς δὲ βίην φλογεϱοῖο πυϱὸς δϱηστῆϱας ἀμείβων*
*πυθμένα παγχάλκειον ἐπεστηϱίξατο γαίῃ,* 5
*ὄφϱα βίην ἀδόνητον ἀεὶ φοϱέουσα φυλάσσοι.*
*φάϱεϊ θεσπεσίην ἰκέλην πεϱιθήκατ' ἄβυσσον,* 6
*ὑψικόμων στήσοντ' ὀϱέων ὕπεϱ ὕδατα πολλά.*
*ἀλλὰ τϱάποιντ' ἐπὶ φύζαν ὁμοκλήσαντος ἄνακτος,* 7
*καί σευ ὑποδδείσουσιν ὑπεϱμενέος κτύπον αὐδῆς.*
*οὔϱεα μὲν βαίνει, χθαμαλὴ δέ τις εἴδεται αἶα* 8
*κεῖσ', ὅθι δὴ μετὰ τοῖσι θεμείλια πήξαο χώϱων.*

---

Υ 103 *ἀμφὶ O.* — *ἑκατοστῷ* (-ῶ) *Ω*; *-τὸν DMS.* — Ψ 103, **1** *τὸν M.* — **2** *ἀέϱθη Om*Ω*; *-θης PRv.* — **3** *ἀϱιπὲς* $O^1$, cr. $O^3$. — **5** *τανυῶν* $O^1$, cr. $O^3$; *ἐντανύων m.* — **8** *ἐπεϱχομένων* (*ἐ* rubr.) $O^1$ (*gm*), cr. $O^3$ (*m**). — *ἀνέμων* (ο supra ω) *S.* — *ἔπι m*; *ἐπι S*; *ἐπὶ Ω.* — Hom. *N* 809 *μακϱὰ βιβάσθων.* — *βιβάσθων* $O^1$*Ω* (Mommsen 270); *-άζων* $O^3$; *-άσκων PRv.* — **9** *ῥέζων* $L^2$*Ω*; *-ξων D*(?)$L^1$*MS.* — **10** *ὡς* (ω rubr.) *δὲ O.* — **11** *ἐπεστηϱίξατο* scripsi; *-ξαο Ω.* — *γαίην DLMS.* — **12** *φιλήσσοι* $O^1$, cr. $O^3$. — **13** *θεσπεσίη D*$L^1$*MS*, cr. $L^2$. — *παϱεθήκατ' O.* — **14** *ὀψικόμων* (ὀ rubr.) *στήσαντ'* $O^1$, cr. $O^3$. — *ὕπεϱ v*; *ὑπεϱ S*; *ὑπὲϱ Ω.* — **15** *τϱάποιντ'* $O^3$; *-οιτ'* $O^1$*Ω*, pc. *S* (*-ητ'* ac.); *τϱαποῖτ' PR.* — **16** *ὑποδδείσουσιν* $O^3$; *-δδείσωσιν* $O^1$*Ω*, pc. *R*; *-δείσωσιν DM*, ac. *R.* — *ὑπεϱμενέος Ω* (*-ένεος DM*); *-ενέως bcm*; *ὑπὲϱ μενέα O.* — **17** *τι O.* — **18** *δὲ S.*

πήξαο τέρμα, μάκαρ, τό περ οὐ παρελεύσεται ἄλλος, 9
οὐδὲ φίλην ποτὲ γαῖαν ἀποστρέψουσι καλύψαι.
γαίης τρηχαλέης προϊεὶς μετὰ ῥήγμασι πηγὰς 10
ὑψικόμων ὀρέων διελεύσεται ὕδατα μέσσον·
θηρσὶν ὀρεσσικόμοισι διὰ δρυμὰ πῶμα φανείη, 11
ἔθνος διψαλέων σε μένοι παντοῖον ὀνάγρων·
αἰθέρος αὖτ᾽ ἐπὶ τοῖσι παραστίψει πετεηνά, 12
μεσσόθι πετράων σθεναρῶν δώσουσιν ἀυτήν.
πιαίνων ὑπερωιόθεν σέθεν οὔρεα, ποιμήν, 13
γαῖα φερεζώων πλησθήσεται ἐκ σέο καρπῶν
χόρτον τετραπόδεσσιν ἐπαντέλλουσα μελιχρόν, 14
αὐτὰρ δουλοσύνῃ χλοερὴν μεροπηίδι ποίην,
ἐκ χθονὸς ὄφρά κε καρπὸν ἄγοι μελιηδέα σῖτον
καὶ θνητῶν κραδίῃσι πόροι πολυγηθέα οἶνον 15
ὄμματα πιαίνων λευκόχροος αἵμασ᾽ ἐλαίης
ἄρτῳ τ᾽ ἀνδρομένην κραδίην τρομέουσαν ἐρείδων.
καρποτόκου πεδίοιο κόρος ξύλα μυρί᾽ ὀφέλλοι 16
καὶ κέδρους Λιβάνοιο τεῶν, μάκαρ, ἔρνεα χειρῶν·
κεῖσε νεηγενέων πέλεται στρουθῶν ἀλεωρή, 17

---

19 ἄλλος $L^1Ω$; ἄλλη $L^2$. — 20 ἀποστρέψουσι $O^1Ω$; ἐπι ss. $O^3$. — 21 τρηχαλέης $M^1Ω$, pc. $R$; τρα- $R$ ac.; τροι- $P$; τρυ- $M^2S$; τρηχαλέοις $O$. — 22 ὀψικ. ut 14 $O$. — 23 ὀρεσσικόμησι $D$; ὀρεσικόμοισι $L$. — διάδρομα $P$. — πόμα $O^1DMS$, cr. $O^3$. — 24 διψαλέον $O$. — μένοι $DMSv$; -νει $OΩ$. — παντοῖον $cgm$; -τοίων $Ω$. — 26 ἀϋτήν $PΩ$, pc. $R$; αὐ- $DMS$; γρ′ ἀοιδὴν ᾠδὴν ss. $P$. — 29 τετραπόδεσι $D$; πε- $S$; τετράπόσι $M$. — ἐπ᾽ ἀνατέλλ. $O^1$, cr. $O^3$. — 30 μεροπηΐδι $bcm$; -πηΐδα $Ω$; -πήϊδα $M$; -ποιΐδα $DS$. — γαίην $O$; τοίην $DM$. — 31 ἄγοι $OL^2M$, pc. $S$ (ac. ἄγι); ἄγει $L^1Ω$; ἄγῃ $bcm$. — μελίδεα $DS$. — σίτον $DLMS$. — 32 θνητὸν $MS$. — 33 λευκόχροος $ODLMS$; -οχρόου $Ω$. — αἵμασ᾽ ἐλαίης $S$; αἵματ᾽ (αἷ- $D$) ἐλαίης $Ω$; αἷμα σελήνης $L^1$. — 35 πεδίου $DL^1M$; παι- $S$. — κόρον $P$. — μυρί᾽ (μύρι᾽ $L^2$) ὀφέλλοι $L^2Ω$; -ει $OPR$; μυριόφελλοι $D$; -φυλλοι ($L^1$)$S$; -φιλοι $M$ ir. — 36 ἔρνεα $DLS$; ἕ- $M$; ἔργεα $Ω$; ἔργα $O$; ἕρκεα et ἕργματα $b^*c^*$. — 37 καί σε νεηγ. $D(L^1?)S$; καί σεν (σευ $M^2$) θηγ. $M$. — ἀλεωρῇ $M$: cf. Lobeck[5] 406.

*δῶμα φίλον πτερόεντος ἐρωδιοῦ ἡγεμονεύει.*
*οὔρεα μακροπόροις ἐλάφοις σκιόεντα μέμηλε,* 18
*πέτραις ἠλιβάτοις περιθαρσέες εἰσὶ λαγωοί.*
*καιρῶν ἔμπορον αὐτός, ἄναξ, τεκτήναο μήνην,* 19
*ἠέλιος φαέθων σφετέρας ἐφράσσατο δυσμάς.*
*ὄρφνη ἀμείδητος σημήιον ἔπλετο νυκτός,* 20
*νὺξ δ' ἄρα θηροκόμος· φιλέουσι δὲ θηρία νύκτα*
*καὶ σκύμνοι μεμαῶτες ἀναγκαίην ἐπὶ θήρην,* 21
*σφωιτέρην θαλίην θεόθεν διζήμενοι αἰεί.*
*ἠελίου ξυνάγερθεν ἐπὶ χθονὶ λαμπομένοιο* 22
*καὶ λέχος ἠντύναντο παρὰ ξυλόχοισιν ἑοῖσιν·*
*αὐτὰρ ἀνὴρ παλίνορσος ἑὸν μετανίσσεται ἔργον* 23
*ἑσπερίην καμάτοιο τέλος ποτιδέγμενος ὥρην.*
*ὡς σέθεν ἀμφιβόητα, μάκαρ, μεγαλίζεται ἔργα,* 24
*πάνθ' ἅμα θεσπεσίῃ σοφίῃ τεκτήναο, ποιμήν·*
*χθὼν ἱερὴ βέβριθεν ἀμετρήτων σέθεν ἔργων,*
*κῦτος ἀπειρεσίης τε καὶ εὐρυχόροιο θαλάσσης.* 25
*ἆ πόσα τοι βρεμέθοντος ἐγείρεται ἑρπετὰ πόντου,*
*ζῷά κε θηήσαιο μεμιγμένα μείζονα τυτθοῖς·*
*ἔνθα πολυκληῖσιν ὁδὸς νήεσσιν ἐτύχθη,* 26

---

**38** *φίλων DM.* — **39** *μακροπόροις* $L^2$*Ω*; *-πόροι DS*; *-τέροις O.* — **40** *πέτρης* (*-ης*) *OΩ*; *-οις Rv.* — *ἠλιβάτοις Ω* (*ἡ- OR*), pc. *D* (*-της* ac.); *-του O*: cf. 26, 13. — **41** *αιρὸν* $O^1$, *παιρῶν* $O^3$. — *μῆνην L*; *-ιν DMS.* — **42** *ἐφράσσατο OPbcm*; *-άσατο Ω.* — **43** *ἀμείδεκτος σημεΐον M.* — **44** *θηροκόμοις* $L^1$, cr. $L^2$; *θηρηκόμος R.* — **45** *θήρων D*; *θήρῶν M.* — **46** *διζήμενοι* usque ad *ξυνάγερθεν* 47 om. *D*$L^1$*MS*, add. $L^2$. — *διζήμενος* $O^1$, cr. $O^3$. — **48** *ἠντύνατο OD*$L^1$*MS*, cr. $L^2$. — **49** *ἑὸν* $L^2$*Ω*; *ἕω* $L^1$. — *ἔργον* $L^2$*Ω*; *-γα D*$L^1$*MS.* — **51** *ὡσσέθεν D*; *ἑσσέ-* $M^1$ (im. *ἴσως· ἐκ σέθεν* $M^2$); *ὡσέ- S.* — **52** om. it., add. im. *O.* — **53** *ἱερὴν DM.* — **54** *αὐτος* (*α* rubr.) *O.* — *τε Ω* (*τὲ a*); *σε DM.* — *εὐρυγόροιο D*; *-χώροιο LS.* — **55** *ἆ* (*ἀ DMS*) *πόσα* (*-ά a*) *Ω*; o(rubr.)*πό- O*; *ὀπό-* $L^2$ ir. — **56** *ζῷά P*; *ζῶά* (*-α*) *Ω.* — *κε* $O^3$*Ω*; *καὶ* $O^1$*DMS.* — **57** *πολυκλήϊσιν* $L^1$*m*; *-ηΐσιν* $O^1L^2$, cr. $O^3$. — *ὁδὸν M* ac.

ἔνϑα δράκων, ὃν πρὶν τεκτήναο παίγνιον εἶναι.
εἰς δὲ σὲ πάντα βλέπει, δόμεναι φίλον εἶδαρ ἑκάστῳ· 27
πᾶς δ' ἄρα δωτίνην ἀγαθήν σεϑεν εἰς ἓ κομίσσοι. 28
πάντα λίην γάνυται, παλάμας ὅτε σεῖο πετάσσαις,
καὶ κλόνος αἰνὸς ἔχει, ὅτε σὴν στρέψειας ὀπωπήν. 29
ϑυμὸν ἀπαινυμένοιό σεϑεν ϑνήσκουσι δαμέντες
καὶ προτέρην φϑινύϑουσιν ἄφαρ περὶ μητέρα γαῖαν.
εἰ δ' ἄρα καὶ ψυχὴν σφετέρην παλίνορσον ὀπάσσοις, 30
αὖτις ἀνηβώουσιν, ὅλη δ' ἀναμέλπεται αἶα.
ἔσται κῦδος ἄνακτος ἀεί, πανακήρατον ἔσται, 31
ἔργων ἀγλαΐῃσιν ἑῶν ἐπιτέρψεται ἐσσήν.
χϑὼν ὑπὸ μαρμαρυγῇσι τεῆς ἐλελίζετ' ὀπωπῆς, 32
τυτϑὸν ἐφαψαμένοιό σεϑεν βρέμει οὔρεα καπνῷ.
αὐτὰρ ἐγὼ βασιλῆα διαμπερὲς ὑμνοπολεύσω, 33
ἀϑάνατον μέλψαιμι πολύλλιτον, εἰσόκεν ἕρπω.
τερπόμενος γλυκερῆς μελεδήματα δέχνυσο μολπῆς· 34
ἀλλήκτοις βασιλῆος ἐν εὐφροσύνῃσι χορεύσω.
πάμπαν ἀπολλήξειαν ἀτασϑαλίης ὑποφῆται, 35

---

58 Orph. Arg. 993 ἔνϑα δράκων. — τεκτήνατο S. — 59 εἶδαρ Ω; ἦτορ ODLMS. — 60 δ' ἄρα δωτίνην $L^2$Ω; γὰρ ἀδω-D($L^1$?)MS. — σεϑεν εἰς ἓ scripsi; σέϑεν εἰς σὲ ODLMS; ἐκ σεῖο Ω. — κομίσσοι O$L^2$v; -ω $L^1$; κόμισσοι S; κομίσσει PR; -ίσει DM. — 61 πᾶσα D($L^1$?)MS. — πετάσσαις scripsi; -άσσεις Ω; -άσεις P; -άσσει S; -άσσης L; -άσης O. — 62—65 om. DM. — καὶ $L^2$Ω; ἦν ($L^1$?)S. — 64 περὶ $L^2$Ω; παρὰ O; παὶ (ε ss.) sic S. — μητέρα om. $L^1$, ss. $L^2$. — 65 ὀπάσσοις $L^2$, ac. S, pc. P; -εις $L^1$Ω, pc. S, ac. P. — 66 αὖϑις Ω. — ἀνηβώουσιν Ω (cf. Lobeck[7] 213); ἀναβώ- DM; ἀνειβώ- $L^1$; ἀνειβό- S. — ἀναμέλπεται ODLMS; -λάμπεται Rv; -λάμψεται P. — 67 πανακήρατον $O^1$; -γήρατον $O^3$Ω; an -γήραον? — 68 ἐπιτέρψατε M. — ἐσσήν $O^1$Ω; ἐς δήν (ss. ἐπὶ πολὺ) $O^3$. — 69 μαρμαρησι $M^1$, ιγῆ ss. $M^2$. — τεῆς R. — ἐλελίζετ' $L^1$Ω; ὀλ- $L^2$. — 72 πολύλλι]τον ss. $O^2$. — 73 γλυκεροῖς DMS. — μελεδήματι $O^1$, cr. $O^3$. — δέχνυτο $O^1$, cr. $O^3$; -νησο S. — 74 ἀλλήκτοις D$L^2$MS; ἀλή- Ω; ἀλλήκτῃς O; ἀλή- R. — εὐφροσύνη DMS.

ἐκ γαίης δ' ἀθέμιστος ὅλη παύσαιτο γενέθλη.
θυμέ, τεὸν βασιλῆα διαμπερὲς αἰνετὰ μέλπε.

## ρδ' (104)

Τέτρατος ἀλληλούια βοὴ θείων στρατιάων.
ψαλμὸς ἑκατοστὸς τέταρτος.

Μέλψατε λισσόμενοι παναγήραον οὔνομ' ἄνακτος, 1
ἔργα θεοῦ δήμοις ἀγγείλατε παντοδαποῖσι·
μέλψατε καὶ ψαλμοῖς λιγέως φορμίζετ' ἄνακτα, 2
πάντα περιφραδέως ἀγορεύσατε θέσκελα ἔργα.
ἡμέτερος πέλει αἶνος ἐπ' ἀθανάτῳ βασιλῆι, 3
ἦτορ ἰαινέσθω διζήμενον αὐτὸν ἄνακτα.
δίζεσθε βασιλῆα, ὅθεν κράτος ὔμμιν ἐτύχθη, 4
καί οἱ θεσπεσίην ἰχνεύσατε πάντοτ' ὀπωπήν·
θαυμασίων μνήσασθε, ὅσων τεχνήσατο χερσί, 5
γλώσσης εὐδικίας σφετέρας τεράεσσιν ὀπηδούς.
δμῶες ἑοὶ γεγάασι φίλον γένος Ἁβραάμου, 6
παῖδας Ἰακώβου προλελεγμένον εὕρετο λαόν.
αὐτὸς ἄναξ μετὰ πᾶσι δικαιοσύνην ἀναφαίνει· 7
νωλεμέως σφετέρων ἐμνήσατο συνθεσιάων 8
μύθου θ', ὃν γενεῆς ἐνετείλατο χιλιάδεσσιν,
ὃν μεμαὼς κατένευσεν ἑῷ πάρος Ἁβραάμῳ, 9

76 γενέθλην *DMS*.

Υ 104, 1 om. *P*. — τέτρατος scripsi (coll. Υ 105. 106); τετράδος Ω. — βοὴ θείων $OL^2c$; βοηθείων Ω; -ειῶν *m*. — 2 om. *O*. — τέταρτος *DLM*; τέτρατος *S*; καὶ τέτρατος τελέθει *PRv* (cf. Υ 140, 2). — Ψ 104, 1 παναγήραον Ω (cf. 134, 28); -κήρατο *O*. — 2 ἀναγγείλατε *R*. — 3 ἄνακτος $DL^1MS$, cr. $L^2$. — 4 πάντα $L^2$ ir.; θεῖα ($L^1$?)Ω. — ἀγορεύσατο *M*. — 5 ὑμέτερος *S*. — 6 αὐτὸν *L*; αἰὲν Ω; om. *DMS*. — 7 δίζεσθε Ω; -ησθε *PR*: cf. 81, 4. 126, 6. Hilberg 49. Rzach$^2$ 328. — 8 πάντ' *DM*. — 9 ὅσον *DLM*. — 10 γλώσσας *O*. — ὀπηδούς *L*; ὀπωπήν *S*. — 11 ἑοὶ *DM*; ἕοι *P*. — ἀβραάμου $O^2LMPR$; ἁ- Ω. — 12 παῖδας *PRv*; -ες *O*Ω. — 14 νωλεμέου *S*. — 15 μύθου $DL^2S$; μῦθον (-όν) $L^1$Ω. — γενεῆς *Pacm*: cf. 118, 131.

Ἰσαάκῳ θεράποντι φίλῳ μέγαν ὅρκον ὀμόσσας·
ὃν πρὶν Ἰακώβῳ πινυτῷ θέσπιζε τελέσσαι, 10
συνθεσίην ἀλίαστον· ὑπέσχετο δ᾿ Ἰσραήλῳ,
γαῖαν ὅλην δόμεναί οἱ ὑποσχόμενος Χανάαμου, 11
ὑμετέρου διαμετρήσας σχοινίσματα κλήρου.
τῶν δ᾿ ὀλίγιστος ἀριθμὸς ἔην, ὀλίγοι δ᾿ ἔσαν αὐτοὶ 12
γαίης ναιετάοντες ἐπ᾿ ἀλλοτρίης μετανάσται.
πολλάκις ἐξ ἑτέροιο μετέστιχον ἔθνεος ἔθνος, 13
ἐκ δ᾿ ἄρα κοιρανίης λαὸν μετεκίαθον ἄλλον.
σίντην οὔ τιν᾿ ἔασεν ἐπὶ σφίσι χεῖρα κορύσσαι, 14
ἀλλ᾿ ἔτι τῶνδ᾿ ἐδάμασσε χάριν βασιλῆας ἐλέγχων·
„ἴσχεσθ᾿ ἀντιθέων· τί νύ μευ σίνεσθ᾿ ὑποφήτας;“ 15
πικρὸν λυμαντῆρα καλέσσατο λιμὸν ἀρούρης, 16
εὐφόρβου ξυνέαξε βίην φυσίζοον ἀκτῆς.
τῶν δ᾿ ἀγανὸν προὔπεμψε σαόφρονα κηδεμονῆα, 17
Ἰώσηφος ἄναξ ὑπεδύσατο δούλιον ἦμαρ.
ἆ τότε πῶς μογέεσκεν ἀλυκτοπέδῃσι πεδηθείς, 18
πῶς δὲ πιεζομένην κραδίην δέδμητο σιδήρῳ,
εἰσόκεν ἔλπετο κεῖνος ἑῶν τέλος ἐσθλὸν ὀνείρων. 19
αὐτὸς ἑὸν θεράποντα μακάρτατος ἔφλεγε μύθῳ.

---

17 ἰσάκῳ (-ω) *ODMS*. — φίλον *ODMPR*. — ὀμόσας *L*; ὀμώ- *DM*; ὀμόσσαι *gm* (cr. *m**). — 18 ἣν (η rubr.) *O*[1], cr. *O*[3]. — ἰακώβου *DL*[1]*MS*, cr. *L*[2]. — 21 ὑμετέρας *O* ac.; ἡμετέρου *DLPS*. — κλῆρον *M*. — 22 ὀλίγητος *DMS*. — αὐτὸς *M*. — 23 ναιετάζοντες *S* ac. — ἀπ᾿ *O*. — ἀλλοτρίοις *DLMS*. — 24 ἑτέροις *S*. — 26 σίντην (-ην᾿ *DM*) οὔτιν᾿ *DMS* (Volkmann 51); ἄντην (ἄ rubr.) οὔτιν᾿ *O*; οὔτινα σίντιν *Ω*. — ἔασεν *DLMPS*; -σσεν *Ω*. — 27 τῶνδε δάμασσε *DLS*; τῶνδε κά- (im. ἴσως· δά) *M*. — χάρις *L*[1], cr. *L*[2]. — 28 ἴσχες θ᾿ *DM*. — 29 μικρὸν (μ rubr.) *O*. — 30 φυσίζωον *DLMPR*; -ζωω *S*. — 31 ἀγανῶν *DLMS*; ἀγαθὸν *O*. — 32 om. *L*[1], add. *L*[2] im. — ἰώσηφος *OL*[2]; -πος *MPR*; -πῶς *S*; -πον *D*; -πός τε *v*. — ἄναξ usque ad πῶς 33 om. *DMS*. — 33 ῏ *O*[1], ὦ *O*[2]. — ἆ τότε ir. *L*[2]. — μογέεσκον *DL*[1]*MS*, cr. *L*[2]. — πεδηστεὶς *S*. — 34 ῥαδίην *M*. — δήρῳ *S*. — 35 ὀνείρω *M*. — 36 αὐτὸν *L*[1], cr. *L*[2]. — μακάρτος *S*.

*ἐκ δεσμῶν μιν ἔλυσεν ἄναξ Νείλοιο κελεύσας,* 20
*ἡγητὴρ λαῶν σφετέρης μεθέηκεν ἀνάγκης*
*οἶκον ἐπιτρέψας ὑπὸ νεύματι τοῖο φέρεσθαι·* 21
*καί μιν κοιρανίης ἔθετο κλυτὸν ἡγητῆρα,*
*ὄφρά κεν οἷσι νόμοις προμάχους Νείλοιο διδάξαι* 22
*καί σφεων πρεσβυτάτην πινυτὴν τεύξειε γενέθλην.*
*ἔνθεν ἄρ' Ἰσραῆλος ἐπ' Αἰγυπτίην μόλε γαῖαν* 23
*Χάμου δ' Ἰάκωβος ἀγακλέα νάσσατο χώρην.*
*αὐτὰρ ἄναξ ἑὸ λαὸν ἀνηέξησεν ἀγητὸν* 24
*καί μιν δυσμενέων ἔθετο κρατερώτατον εἶναι.*
*οἱ δ' ἄρα λυμήναντο πάλιν θεοτερπέα δῆμον* 25
*ἤθεα θεσπεσίοισιν ἐπαλλάξαντες ἐρίθοις.*
*τοῖσδε θεὸς θεράποντα πολύφρονα Μωσέα πέμψας* 26
*ἀντίθεόν τ' Ἀρῶνα, ὅς οἱ προλελεγμένος ἦεν·*
*οἷσιν ἀριπρεπέως παρακάτθετο σήματα βουλῆς* 27
*καὶ τεράων, Χάμοιο βίην κατὰ γαῖαν ἀνύσσαι.*
*ἔνθ' ὄρφνην προέηκεν ὑπὲρ Νειλωίδα γαῖαν,* 28
*οἱ δ' ἐπέων βούλευον ἐναντία πικρὰ θεοῖο.*
*τοῖσιν ὕδωρ ἔτρεψε δαφοινεὸν αἷμα τελέσσας,* 29

---

**37** *ἄ. εἴλοιο M.* — **39** *οἰκαὶ M.* — *ἐπιστρέψας DLMS.* — **41** *νόμος O* pc. — *διδάξαι* scripsi; *-ξοι O*; *-ξει DMS*; *-ξη (-ξη) Ω.* — **43** om. it., add. im. *R.* — *ἔνθα L.* — **44** *χαμοῦ δ' Ω*; *χαοῦ δ' D*; *λαοῦ δ' M*; *καὶ χάμου* $L^2$. — *χαμοῦ δι' ἀκώβου S.* — *ἰάκωβος* $L^2$*Ω*; *ἰακώβου D(*$L^1$*)M.* — *νΐσσετο O.* — *χάριν* $L^1$, cr. $L^2$. — **45** *ἄναξ* om. it., ss. *L.* — *ἀνηέξησεν* $L^2$*Ω*; *ἀήξησεν M*; *ἤξη- D*$L^1$; *ἤξει- S.* — *ἀγητήρ O.* — **46** an *κρατερώτερον*? — **47** *λυμήναντο DLMPRSbcm*; *λυμή- O*; *λημή- a.* — **48** *θεσπεσίῃσιν LS.* — *ἐπαλλάξαντ' D*$L^1$*MS*, cr. $L^2$. — **49** *τοῖς δὲ Mm.* — **50** *ἀρῶνα ODMPS*; *ἀαρ- Ω*: cf. 98, 11. — *ὅσοι π. LMS.* — *προλελεγμένοι L.* — *εἶεν DLMS.* — **51** *ἀριπρεπέος* $L^1$, cr. $L^2$. — **52** *χαμοῖο* $L^1$*Ω*; *χααμ- O*; *γε χάμοιο* $L^2$. — *ἀνύσσαι OPR*; *-ύσαι DLMS*; *ἄνυσσε bcgm*; *ἀνύ- a.* — **53** *προέοικεν* $L^1$, cr. $L^2$; *-εικεν S.* — *λεινωΐδα D(*$L^1$*?)MS.* — *νειλωΐδος αἴης O.* — **54** *ἐβούλευον O.* — **55** *ἔτρεψε Ω* (cf. Ritter 24); *-υψε M*; *ἔστρεψαν O*; an *ἔστρεψε*?

ἰχθύας αὖ κατέπεφνε μελαμβαφέος ποταμοῖο·
χθὼν ὑδατοτρεφέων βατράχων ἀνέτειλε γενέθλην, 30
δώμασι θωρήχθησαν ἐρισθενέων βασιλήων·
εἶπε δέ, καὶ κυνάμυια μετέστιχε δώματ' ἄνακτος 31
καὶ σκνῖπες διέπερθον ὅλης κλυτὰ τέρματα γαίης·
ψυχρὴ ὑπ' ὀμβροτόκων νεφέων κελάρυζε χάλαζα 32
καὶ φλὸξ γαῖαν ἔδουσα βοηθόος ἦλθε χαλάζης·
ἡμερίδας μὲν ὄλεσσεν, ἀπεφθίνοντο δὲ συκαῖ, 33
καί σφεων ἀνθεμόεντα κατέκλασε δένδρεα γαίης·
εἶπε, καὶ ἀμώωσα μετέσσυτο νήχυτος ἀκρὶς 34
καὶ βροῦχος πολύθεστος ἀμετρήτοισιν ἐρωαῖς,
οἳ χθονὸς ἐξαλάπαξαν ὅλην πολυανθέα ποίην. 35
ἆ πῶς πρωτοτόκων ὀλοφύρατο πότμον ἕκαστος 36
θάπτων οἰχομένης γενεῆς πρωτάγριον ἀλκήν.
χρυσῷ δὲ βρίθοντα καὶ ἀργύρῳ ἔξαγε λαόν, 37
οὐδέ τιν' ἠπεδανὸν μεταδήμιον εἶχον ἑταῖρον.
ἆ πῶς νισσομένων ἐχάρη Νειλωὶς ἄρουρα· 38
πάντες γὰρ βεβόληντο δυσαλθέι δείματι θυμόν.
ἐκπετάσας νεφέλην σκιερὴν ἡγήσατο λαοῦ 39

---

56 μελαμβαφέος Ω (μελεμ- L); -φέως M; -θέος O. — 57 ὑδατοτρεφέων O; -τραφέων Ω; -τροφέων P. — 59 κυνάμυια LS; κυνό- Ω. — 60 καὶ Ω; μετὰ O. — σκνίπες DLMP; -φες Ω (σκνῖ- bgm). — τέρματα OΩ; δώμ- Rv. — 61 ὑπ' (ἀπ' m*) ὀμβροτόκων (ὀμβρι- L[1], cr. L[2]) Ω; ὑποβρυ- D; ὑπὸ βρυ- M; ὑπομβρυ- S. — κελάριζε DLMS; -υξε m. — 62 βοηθὸς O; -θόως S. — 63 ὄλεσσεν ODL[2]MPRgm; -εσεν S; -εσσαν L[1]v. — 64 δένδρα DMS. — 65 ἀμώωσα ODLS; ἀμμώ- Ω. — κατέσσυτο O. — 66 πολύθετος ODM: cf. Naeke[2] 251. — ἀμετρήτῃσιν O. — post 67 add. καὶ γαίης φορὰν ἄρδην παντοίην κατέθεντο (ss. δοντο) L[2] im. — 68 ᾿ O[1], ὢ O[2]. — ὀλοφύρετο O. — πότμου L[1], cr. L[2]. — 69 πρωτόσπορον b*c*. — ἀλκήν ODLMSv*; ἥβην PRv. — 71 μετὰ δήμιον O. — ἦχον S. — ἕτερον (im. ἴσως· ἑταῖρον) M. — 72 ἆ DS; ὢ O rubr. — 73 βεβούληντο DL[1]MS, cr. L[2]. — δείγματα DMS. — θυμόν OLS; -μῷ (-μῶ) Ω; -μῶνος DM. — 74 ἐκπετάσαι R. — λαόν O ac.

*καὶ πυρὶ παννυχίην κέδασεν διὰ νήχυτον ὄρφνην.*
*ἦλθε μάλ' αἰτίζουσιν ἀπείριτος ὀρτυγομήτρα,* 40
*ἄρτου δ' οὐρανίου σφέτερον ἐμπλήσατο θυμόν·*
*ῥηξάμενος πέτρην ῥοθίων ἐξήγαγε χεῦμα,* 41
*καὶ ποταμοὶ δαπέδοισι βίῃ κελάρυζον ἀνύδροις·*
*μνήσατο γὰρ κατὰ θυμὸν ὑποσχεσίης ἐρατεινῆς,* 42
*ἣν πρὶν ἄναξ κατένευσεν ἑῷ πάρος Ἀβραάμῳ.*
*τοὔνεκα τιμήεντα γεγηθότα ῥύσατο λαόν,* 43
*εὐφροσύνῃ θεράποντας ἀεξομένους ξυναγείρας·*
*χώρας δέ σφισι δῶκε πολυσπερέων γενεάων,* 44
*καὶ λαῶν ἑτέρων καμάτους διεμοιρήσαντο,*
*ὄφρα δικαιοσύνης μνησαίατο πάντοτε θείης* 45
*καὶ νόμον ἰχνεύσωσιν ἐπουρανίου βασιλῆος.*

## ϱε' (105)

*Πέμπτος ὅδ' ἀλληλούια βοὴ θείων στρατιάων.*

*Λαοί, μειλιχίην ἀναμέλψατε παμβασιλῆος,* 1
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*τίς σθένος ἀστυφέλικτον ἐμεῦ βασιλῆος ἀείσοι* 2
*καί οἱ παντοδαπῶν μερόπων βάλοι οὔασιν αἶνον;*

---

75 *κέδασε O*; *-ασσε R*; an *σκέδασεν?* — *διὰ νήχυτον OMP*; *διανήχ- Ω*; *διάχ- L*: cf. Volkmann 74. — *ὀρφνήν S*; *ὀρφὴν* $L^1$, *ὄρφην* $L^2$. — 76 *μάλ' αἰτίζουσιν* $O^3L^2\Omega$ (*-σα* $O^1$); *μ' ἀναιτ- D*($L^1$?)*S*; *μᾶν' αἰτ- M*: cf. Lobeck[5] 392. — 77 *ἄρτον M.* — *σφέτερōν*] v. Ritter 29. Rzach[3] 409. — 80 Hom. α 29 *μνήσατο γὰρ κατὰ θυμόν.* — 81 *ὃν* (o rubr.) *O.* — *ἀβραάμῳ* (*-ω*) *OLPR*; *ἀ- Ω.* — 82 *οὕνεκα O.* — *τιμήεντα τοὔνεκα D*$L^1$*MS*, cr. $L^2$. — *λαῶν D*$L^1$*MS*, cr. $L^2$. — 84 *πολυσπερέων OLPbcm* (cf. Hom. *B* 804); *-σπορέων Ω*; *-πορέων S.* — 85 Crinagoras in Anth. Pal. VII 645, 5 *καμάτους τοὺς σοὺς διεμοιρήσαντο.* — *διεμοιρήσατο* $L^1$, cr. $L^2$; *διημοιρήσαντο M*; *διεμορ- S.* — 87 om. $L^1$, add. $L^2$ im. — *ἐπούρανίου ODM*; *ἐπ' οὐ- R.*

*Υ* 105 *βοὴ θείων O*$L^2$*c*; *βοηθείων* (*-ειῶν*) *Ω.* — *Ψ* 105, 3 *ἀστυφέλικτος* $O^1$, cr. $O^3$; *-ληκτον DLMS.* — *ἐμοῦ m.* — *ἀείσοι OLSgm*; *-σει Ω.* — 4 *βάλῃ P*; *-λϊ S* ac.

ὄλβιοι εὐδικίῃ μεμελημένοι ἄνδρες ἔασιν, 3
οἷσι δικαιοσύνη καταχείριος αἰὲν ἐτύχθη.
λαοῦ ἐπ᾽ εὐδικίῃ μιμνήσκεο σῶν ἱκετάων 4
καὶ κλεινόν σεο φέγγος ἐπίσκοπον ἄμμιν ὀπάζοις·
σῇσι διοπτεύσαιμεν ἐνηείῃσιν ἀρίστους, 5
ἔθνεος εὐφροσύνῃσι τεοῦ κεχαρησόμεθ᾽ ἦτορ
ἀθανάτου κλήροιο συνήορον αἶνον ἔχοντες.
νωιτέροις τοκέεσσιν ὁμῶς ἀλιτήμονες ἦμεν 6
δυσνομίας ῥέξαντες ἀθεσμοτάτοισιν ἐπ᾽ ἔργοις·
θαυμασίων ἐγένοντο τεῶν ἀδαήμονες αὔτως 7
οὐδὲ νόῳ σκέψαντο τεῆς ἐλεητύος ἐσμὸν
πικρὰ νόῳ πνείοντες ἔτι κατὰ πόντον Ἐρυθρόν·
ἀλλ᾽ ἔμπης ἐσάωθεν ἑοῦ βασιλῆος ἀρωγῇ, 8
κάρτος ἵν᾽ ἀθανάτοιο μέγα γνώωσι καὶ ἄλλοι.
κεκλόμενος τέρσηνεν ἄναξ διὰ πόντον Ἐρυθρόν, 9
βυσσόθι δ᾽ ἡγεμόνευεν ἐρημαίῃ ἅτε χώρῃ·
καί σφεας ἐξεσάωσεν ὑπ᾽ ἐχθομένων ὀλετήρων, 10
δυσμενέων δ᾽ ἐξείλετ᾽ ἐλεύθερον ἦμαρ ὀπάσσας·
ἀντιβίους ἐκάλυψε βαθύρροον οἶδμα θαλάσσης, 11
οὐδέ τις ἐκ δηίων ναέτης μόλεν ἄγγελος ἄλλοις.
οἱ δὲ τέως ἐπίθοντο θεοῦ ζωαρκέι μύθῳ 12

5 εὐδικίῃ *P*; -η $O^1DL^2M$; -ης $O^2L^1\Omega$; -ην *S*. — 6 om. $DL^1MS$, add. $L^2$ im. — 7 ἐπευδικίῃ $O^1R$; ἐπ᾽ εὐδοκίῃ Hoeschel.; μεμελημένοι ἄνδρες ἔασιν (ex 5) add. *S*. — μεμνήσκεο *M*; μιμνήσκει *gm*, cr. *m**. — 9 διοπτεύσομεν *O*; -σωμεν *m*. — 11 κλήροιο $L^1\Omega$ (cf. 118, 114); -ριο *M*; -ροις *O*; -ροισι $L^2$. — συνήορον c. — ἔχοντος *ODLS*. — 12 νωϊτέρης *S* ac. — τεκέεσσιν *ODL*; -εσιν *S*. — ὅμως $L^1$, cr. $L^2$. — ἀλιτήμον᾽ *S*. — ἦμεν scripsi; εἶ- *ODL*; εἶκεν *M*; εἵμεν s. -ὲν Ω. — 13 δυσνομίην *L*. — 14 θαυμασίον $L^1$, cr. $L^2$. — αὔτως *Mm*; αὕ- Ω. — 16 πνείοντες *P* pc., *m** (v. Lobeck[7] 25); πνέο- *O*; πνόω- *L*; πνώο- Ω. — ἔτῑ] v. Ritter 29. Rzach[1] 753. [3] 343. — 18 ἀθατοιο *O* ac. — 19 κεκλόμενος *ODLMS*: κελλό- Ω. — τέρσειεν *DM*. — post 19 repetivit 17 *M*. — 21 ὑπεχθομένων *ODLS*; ὑπεχνο- *M*; ἀπ᾽ ἐχθομ***. — 22 ὁπώσας *M*. — 24 ἄλλοις $L^2\Omega$; -ος $L^1S$; -ους *M*.

*καί οἱ αἰνετὸν ὕμνον ἐπευφήμησαν ἀοιδαῖς.*
*μύθων δ' ἐξελάθοντο θοῶς στρεφθέντος ἄνακτος,* 13
*βουλὴν δ' ἀθανάτοιο διεψεύσαντο θεοῖο·*
*ἵμερον ἱμείροντο κακὸν κατὰ χῶρον ἐρήμου,* 14
*ἐν δὲ πέδῳ βασιλῆος ἐπειρήθησαν ἀνύδρῳ.*
*ἀλλὰ καὶ ὣς σφετέροιο πόθον δωρήσατο θυμοῦ* 15
*πλησάμενος θαλίης κραδίας, ἧς ἤθελον αὐτοί.*
*οἱ δὲ κότῳ Μωσῆος ἐνηέα θυμὸν ὄρινον,* 16
*ἀντιθέῳ δ' ἐν πᾶσιν ἐριδμαίνεσκον Ἀρῶνι·*
*Δάθανον κατέπινεν ἀναιδέα γαῖα χανοῦσα,* 17
*πᾶσαν δ' ἀμφεκάλυψε κακοῦ κλισίην Ἀβιρῶνος·*
*σφωιτέρας κλισίας κατεβόσκετο καιομένη φλὸξ* 18
*καὶ φλὸξ ἀμπλακίῃ μεμελημένον ἔφλεγε λαόν.*
*ἐν δ' ἄρα Χωρήβῳ κεραελκέα μόσχον ἔτευξαν,* 19
*εἰδώλου δ' ἐλίτοντο μάτην παρὰ ποσσὶ πεσόντες·*
*νήπιοι, οἳ τὸ πάροιθεν ἑὸν κλέος ἠλλάξαντο* 20
*μόσχῳ φερβομένῳ ἴκελοι μελιηδέα ποίην.*
*ἀλκῆς δ' ἐξελάθοντο μενεπτολέμου βασιλῆος,* 21
*ὃς πρὶν ἐν Αἰγύπτῳ τελέσας μεγαλαυχέα ἔργα*
*θηητὸς βεβόητο βαρύφρονος ἐν χθονὶ Χάμου,* 22
*τεύχων δείματα πᾶσι βροτοῖς κατὰ πόντον Ἐρυθρόν.*

---

**26** fere = 70, 30. — *ἐφήμησαν O* ac.; *ἐπεφή- DM.* — **27** *μῦθον M.* — *στρεφθέντος ODLMS*; *-τες Ω.* — *ἄλακτος D*; *ἄλλα-* (im. *ἴσως· ἄνακτος*) *M.* — **28** *διεψεύσαν O.* — **29** *κακῶν S* ac. — *ἐρῆμον OS*; *ἔρη- DM.* — **30** *δὲ πέδῳ DL¹MS*; *δαπέδῳ L²Ω.* — **31** *ὧς Ω*; *ὡς DMS.* — *δωρήσαντο O.* — **32** *κραδίης θαλίας O.* — **34** *ἐριδαίνεσκον O*; *ἐριδμέν- DLMS.* — *ἀρῶνι OΩ*; *ἀρῶν DMS.* — **35** *θ*(rubr.)*άθανον O¹*; *δαθά- LMP*; *δαθάνου DS.* — *κατέπινεν DMPS*; *-πιεν Ω.* — **36** *δ'* om. *P.* — **37** *ν*(rubr.)*ωϊτέρας O.* — *καλομένη M.* — **39** *ὀν* (ο rubr.) *O.* — *χωρήπῳ PS*; *-ίπῳ L*; *-οίπω D*; *χοροὶ πω M.* — **40** *ἐλίττοντο OD*, pc. *M*; *ἐλίπτο- M* ac.; *ὀλίτο- S.* — *περὶ O.* — **42** *ἴκελοι* scripsi; *-λον Ω*; *ἴκελον ODLS.* — **43** *ἀλκίην O*; *-κὴν P.* — **44** *ὡς π. M.* — **45** *θηητοὶ βεβόηντο DLMS.* — *Χάμου m*; *χαμοῦ Ω.*

*καί νύ κε πάντας ὄλεσσεν, ἐπεὶ φάτο πάντας ὀλέσσαι,* 23
*εἰ μὴ ἀριστοπόνος θεράπων πέλας ὤρνυτο Μωσῆς,*
*λισσόμενος παλάμην ἵνα μιν παύσειεν ὀλέθρου.*
*γαῖαν ἀγακλήεσσαν ἐλωβήσαντο κακοῖσιν* 24
*οὐδέ ποτ᾽ εὐθέσμῳ μάκαρος θάρσησαν ἀνωγῇ·*
*ἀλλὰ καὶ ἐν καλύβῃσιν ἀεὶ τρύζεσκον ἑῇσιν,* 25
*οὔασιν ἠρνήσαντο θεοῦ λαλέοντος ἀκοῦσαι.*
*τοὔνεκα δεξιτερὴν βασιλεὺς θώρηξεν ἀλείταις* 26
*πάντας ἅμ᾽ ἱέμενος βαλέειν κατὰ χῶρον ἐρήμου,*
*ἔθνεσι δ᾽ ἀλλοδαποῖσιν ἑὸν διὰ φῦλον ὀλέσσαι* 27
*ἠὲ πολυσπερέεσσι μετὰ πτολίεσσι κεδάσσαι.*
*οἱ δὲ Βεελφεγόροιο μιαινόμενοι τελετῇσι* 28
*νερτερίης ἐπάσαντο καταφθιμένων ἑκατόμβης,*
*μαχλοσύνης ἐρέθοντες ἐρωμανίῃσιν ἄνακτα·* 29
*τοῖς δ᾽ ὕβρις θανάτοιο θεοῦ τέκε μητέρα μῆνιν.*
*Φινεὺς δ᾽ εὐχωλῇσιν ἱλάσσατο παμβασιλῆα·* 30
*κεῖνος μὲν λιτάνευε, λιταῖς δ᾽ ὑπεχάζετο λοιμός·*
*μισθὸν δ᾽ εὐδικίης θεόθεν ἀριδείκετον εὗρεν* 31
*ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.*
*ἀμφήριστον ὕδωρ, σὺ δ᾽ ἐπίστασαι, ὥς μιν ὄριναν,* 32
*ὡς Μωσῆς ὀδύνῃ κεκακωμένος ἦεν ἀλιτρῶν,*

---

**47** *εἴλεσσεν* $M^1$, *ὤ* ss. $M^2$. — **49** *παύσειας* *O*. — **50** *ἀγακλήεσσαν* *OPSm*; *-ήεσαν* *DM*; *-ίεσσαν* *L*; *-είεσσαν* *Ω*. — *ἐλωβήσατο* *DLM*; *ἐλωβί-* *S*. — **51** *ἐν θέσμῳ* *M*, ss. *P*. — *μάκαρ* $ODL^1MS$, cr. $L^2$. — **52** *τρίζεσκον* *DLMS*: cf. Lobeck$^7$ 231. — **54** *οὔνεκα* *O*. — *ἀλείταις* *Ω*; *-είτης* *DMS*; *-ήτης* $L^1$, *-ήταις* $L^2$. — **55** *ἅμ᾽ ἱέμενος* (*ἰέ-* *O*) *Ω*, ir. $L^2$; *ἀμηνόμ-* *D*; *ἀμυνόμ-* *M* ir.; *ἄμμϊ᾽ ὕμενος* *S*. — *βαλέεις* *M*. — *ἐρῆμον* *ODS*. — **56** *ἀλλοδαπῆσιν* *DMS*. — **57** *πτολίεσσι* Rzach$^3$ 328; *πολίεσσι* $M^2Ω$; *-εσι* $DM^1$. — **58** *βεὲλ φεγόροιο* *M*. — **59** *καταφθιμέν*]*ων* $L^2$ pc. — **60** *ἐρέθοντο* *O*. — *ἐρωμανίησ*]*ιν* add. $L^2$. — **61** *ὕβριν ἀθανάτοιο* *O*. — **63** *κεῖνα* $L^1$, cr. $L^2$. — *λοιμός* $L^1Ω$, pc. *S*; *λϊ-* $L^2$; *θυμός* *O*, ac. *S*. — **66** *μην* *S*. — *ὅρινα* *D*; *ὅ-* *M*; *ὤ-* $L^1S$; *ὤριναν* $L^2$.

*αἰεὶ τρυχόμενος κραδίην πικρῇσιν ἀνίαις,* 33
*ὅς ῥα καὶ οὐκ ἐθέλων προτέρην ἐψεύσατο πίστιν·*
*ἔθνεα γὰρ ῥύσαντο, τά πέρ σφισιν εἶπεν ὀλέσσαι,* 34
*τοῖς δ' ἐπιμιγνύμενοι ἀθεμίστια μάνθανον ἔργα* 35
*αὐχένα τ' εἰδώλοισιν ὑπ' ἀψύχοισιν ἔθεντο.* 36
*οὐδ' ἄρα τῶν ἀπόνηντο, κακῇ δ' ἐπίεσθεν ἀνάγκῃ*
*δαίμοσι ῥέζοντες σφετέρας κούρας τε καὶ υἷας.* 37
*τεγγομένη στενάχιζεν ἀναιτίῳ αἵματι γαῖα,* 38
*ὧν τέκον, ὧν θρέψαντ', ὀλοοὶ ἐγένοντο φονῆες*
*εἰδώλοις ῥέζοντες ὑπερφιάλου Χαναάμου.*
*αἵματι δ' ὀλλυμένων ἐρυθαίνετο πάντοθεν αἶα*
*μαψιδίως ἔργοισι μιαινομένη στυγεροῖσι* 39
*μαχλοσύνῃ τ' ὀλοῇ· μάλα γάρ σφισιν ὧδε μεμήλει.*
*αὐτὰρ ὁ μήνιε πάμπαν ἄναξ κακοεργέι λαῷ* 40
*κλήρου ὀδυσσάμενος σφετέρου ὑπερήφανον ὕβριν·*
*δυσμενέων παλάμῃσι φίλους θεράποντας ἔδωκε* 41
*κοιρανίην σφετέροισιν ἐὴν δηίοισιν ὀπάσσας.*
*ἀντιβίων ὀλοῇσιν ὑπεδμήθησαν ἀνάγκαις* 42
*οὐτιδανοὶ παλάμῃσιν ὑπ' ἀλλοτρίῃσι πεσόντες.*
*πολλάκις ἐξεσάωθεν, ὀιόμενοί περ ὀλέσθαι·* 43
*οἱ δὲ νόῳ στυγερῷ πλέον ἤκαχον ἢ πρὶν ἄνακτα*

---

68 *αἰεὶ O*; *αἰὲν Ω*. — *πιαρῇσιν M*. — *ἀνίῃς (-ης) ODLMPS*. — 69 *ὃς (ὣς L*[1]*) ῥὰ (ὅς ῥα) καὶ Ω*; *ὃς ῥα δὲ O*. — *οὐ κεθέλων DL*[1]*S*, cr. *L*[2]. — 70 *ῥύσατο L*; *ῥίσαντο M*. — 72 om. it., add. im. *R*. — *εἰδώλοις O*. — 73 *ἀπώνηντο O*; *-όνεντο L*[1], *-όναντο L*[2]. — *κακὴ* et *ἀνάγκη O*. — 74 *ρέξοντες DS*; *ῥέ- M*. — 75 *στενάχιζεν ODLMS*; *στο- Ω*. — *ἐναντίω O*. — *γαῖα OΩ*; *αἶα Ra*. — 76 *ὃν τ. ὃν M* pc. — *θρέψαν τ' m*. — 77 *ῥέξοντες DMS*. — 78 *ἐρυθαίνετο L*[2] (Koechly 28); *ἐρυθραί- OΩ*; *ἐρεθί- L*[1]; *ἐρυθί- DMS*. — 80 *μαχλοσύνη τ' ὀλοὴ L*. — *γὰρ φησὶν L*. — 81 *μῆνις* (-ιε cr.) *P*. — *κακοεργέα* (*R*?)*S* ac. — 82 *κλήρους ὀδυσσάμενοι O*[1], cr. *O*[3]. — 85 *ἀντιβίον M*. — *ἀνάγκῃς (-ης) Ω*. — 86 *ἀλλοτρίοισι πεσσόντες S*. — 87 *ὀϊόμενοί (-οι) ODL*[2]*m**; *οἰό- M*, ac. *S* (*οἰόθενοι* pc.); *ὀιόκεν οἱ L*[1]; *ὀϊόμενός Ω*. — *ὀλέσθαι ODLMS*; *-έσσαι Ω*.

*αὐχένα δυσνομίῃσιν ὑποδμηθέντες ἑῇσιν.*
*ὡς δ' ἴδε τειρομένους, σφετέρου περιφείδετο λαοῦ·* 44
*λισσομένους δ' ἐλέησεν, ἑῶν δ' ἐπάκουσε λιτάων·*
*αὐτίκα γὰρ σφετέρων ἐμνήσατο συνθεσιάων,* 45
*νικηθεὶς δ' ἐλέῳ προτέρης ἀπεπαύετο βουλῆς.*
*θαῦμά μ' ἔχει, πῶς θυμὸν ἑὸν πρήυνεν ἀνάκτωρ* 46
*καί σφεας οἰκτίσσαντο πάρος ληίστορες ἄνδρες.*
*ἡμέας, ὦ βασιλεῦ πανυπέρτατε, ῥεῖα σαώσοις* 47
*πάντοθεν ἀθροίζων, ἵνα περ κεκεδάσμεθα δήμων,*
*ὄφρά σευ ἐσσυμένως ἀναμέλψομεν οὔνομα θεῖον*
*σῇσι μέγα φρονέοντες ἀριπρεπέεσσιν ἀοιδαῖς.*
*αἰνετὸς αἰὲν ἄναξ πέλεται κλυτὸς Ἰσραήλου* 48
*ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα·*
*σὺν δ' ἐρέει πᾶς δῆμος· „ἐτήτυμον ὧδε γενέσθω."*

## ϱϛʹ (106)

*Ἕκτος ὅδ' ἀλληλούια βοὴ θείων στρατιάων.*

*Λαοί, μειλιχίην ἀναμέλψατε παμβασιλῆος* 1
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*βαζόντων, θεὸς οἷσιν ἐλεύθερον ὤπασεν ἦμαρ,* 2
*οὕς ποτε δυσμενέων κρατερῆς ἀπελύσατο χειρός.*
*ἐκ δὲ πολυσπερέων ξυναγείρατο δεῦρο πολήων,* 3

---

**90** add. im. $L^2$ (partim om. $L^1$, v. infra). — *ὡς δ' ἴδε* $L^2$; *ὡς ἴδε Ω*; *ὡσίδε D*; *ὠ- M*; *ὡσὶ δὲ* $L^1$. — *σφετέρου* usque ad *λισσομένους* 91 om. $DL^1MS$ (cr. $L^2$). — **91** *ἐλέησον S* ac. — **92** *γὰρ* om. *R*. — **93** *ἐλαίω OS*. — *προτέρῃς R* pc. — **94** Hom. *κ* 326 *θαῦμά μ' ἔχει ὡς* (v. Naeke² 58). — *θαῦμ' ἔχει O*. — *ἑῶν ODLMS*. — *ἀνάκτων* $ODL^1MS$, cr. $L^2$. — **96** *σαώσοις* $L^2Ω$; *-σεις* $DL^1S$. — **98** *ὄφρα κεν ἐ. O*; *ὄ- σεν ἐ. M*. — *ἐσσομένως* $D(L^1?)MS$. — **99** *μεγάλα O*. — **100** *αἰνετὸν DM*. — **101** *γενεῆς* om. *M* (cum *ἴσως* add. im.).

*Υ* 106 om. *DM* (hunc *Ψ* cum antecedente coniunxit *D*). — *βοὴ θείων OLc*; *βοηθείων Ω*; *-ειῶν m*. — *Ψ* 106, 1 *αοὶ S*; *ἀοὶ D*. — **5** *ξυναγείρατο DLMm*; *ξειν- S*; *ξυναείρατο Ω*.

τοὺς μὲν ἀπ' ἀντολίης, τοὺς δ' ἑσπερίης ἀπὸ γαίης,
ἄλλους δ' ἐκ Βορέαο καὶ ἀτρυγέτοιο θαλάσσης
πλαζομένους ἀνὰ χῶρον ἀπείριτον αὖον ἐρήμου· 4
οὐδ' εἶχον σφετέρης πόλιος σκέψασθαι ἀταρπόν,
δίψῃ δὲ φθινύθεσκον ὁμοῦ καὶ νηλέι λιμῷ, 5
ἐκ δ' ὀλιγηπελίης σφέτερος κατετήκετο θυμός.
ἂν δὲ θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις, 6
αὐτὰρ ἀναγκαίης βασιλεύς σφεας ἔξελε πάσης·
ἰθείην δ' ἀνέφαινε μετὰ τρίβον ἡγεμονεύων, 7
ὄφρα φίλον πτολίεθρον, ὅ περ ποθέεσκον, ἵκωνται.
οἰκτιρμοὶ βασιλῆος, ἑὴν ἀναμέλψατ' ἐρωήν, 8
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ,
οὕνεκα δευομένῃ ψυχῇ πόρε δόρπον ἑτοῖμον 9
πειναλέον τ' ἀγαθοῖσιν ὑπεστηρίξατο θυμόν,
ἑζομένους θανάτοιο ποτὶ κνέφαϊ σκιόεντος, 10
ἰλλομένους πενίῃ τε σιδηρείοισί τε δεσμοῖς.
οἱ δὲ νόῳ στυγερῷ θεοῦ ἤκαχον ἢ πρὶν ἀνωγὰς 11
μαψιδίως ἐρέθοντες ἑὴν ἐρικυδέα βουλήν·
ἔνθεν ὑπ' ἀπρήκτου καμάτου δέδμηντο καὶ ἄτης, 12
οὐδέ τις ἀδρανίης ἐπιτάρροθος ἤλυθεν αὐτοῖς.
ἂν δὲ θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις, 13
αὐτὰρ ἀναγκαίης βασιλεύς σφεας ἔξελε πάσης·
ἐκ δ' ἄγαγε κνέφαός τε καὶ ἐκ θανάτοιο βερέθρων 14
ῥηξάμενος μελέων κρατερὸν καὶ ἀτειρέα δεσμόν.

---

6 ἑσπερίης $L^2M^2Ω$; -ίους $DL^1M^1S$. — 9 σκέψασθαι $OamΩ$ (Ritter 22); -σθε bc. — 10 δίψῃ bcm; δίψει $L^2Ω$; δεί- $L^1$. — φθινύεσκον S; -νύσκον M. — ν. θυμῷ $L^1$, cr. $L^2$. — 12 ἀν DM; ἢν (η rubr.) O. — 13 βασιλεῦ ODM. — 14 ἰθύνην DLS; ἀθ- M. — 15 πτολίεθρον $L^2Ω$; πολίαι- $L^1S$. — 17 μέλη S ac. — 19 πειναλέων $ODL^1MS$, cr. $L^2$. — 20 ποτι ODS. — 21 κλωμένους (κ rubr.) O. — σιδηρέοισί O; -ίοισί DLMS. — 23 ἐρυκηδέα Ra. — 24 ἔνθεο M; -θα R, ir. P. — καὶ ἄτης Ω; αἰάτην M. — 25 αὐτὸς M. — 26 ἐν δὲ $DL^1MS$, cr. $L^2$. — 27 ἀν ἀγκάλης M.

οἰκτιρμοὶ βασιλῆος, ἑὴν ἀναμέλψατ' ἐρωήν, 15
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ,
οὕνεκα χαλκείων δύναμιν διέπερσε πυλάων· 16
εὐτύκτους δ' ἀδάμαντος ἄφαρ ξυνέαξεν ὀχῆας
πάντας ἀφαρπάξας μογερῆς κακότητος ὁδοῖο, 17
οὕνεκα δυσσεβίης παρελεγχέα μῶμον ἐφεῦρον·
θυμῷ ἀποστύξαντες ὅλην θρεψήνορα δαῖτα 18
ψυχροπόρου θανάτοιο κατήλυθον ἄχρι πυλάων.
ἂν δὲ θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις, 19
αὐτὰρ ἀναγκαίης βασιλεύς σφεας ἔξελε πάσης·
τειρομένους ἠκέσσαθ' ἑόν σφισι θυμὸν ἰήνας, 20
θυμοβόρου δ' ἀπέλυσε καταφθινύθοντας ἀνίης.
οἰκτιρμοὶ βασιλῆος, ἑὴν ἀναμέλψατ' ἐρωήν, 21
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ·
ῥεξόντων βασιλῆι θύος μολπῇσι μεμηλός, 22
βαζόντων δέ οἱ ἔργα νόῳ κεχαρηότες ἐσθλῷ.
ναυτίλοι, οἷσι μέμηλε βίη νῆές τε θαλάσσης, 23
οἷσι πόνος διὰ κῦμα καὶ ἄσπετον ὄρνυται ὕδωρ,
ὄμμασι θηήσαντο πολύφρονος ἔργα θεοῖο 24
καί οἱ θέσκελα πάντα θαλασσοπόρους μετ' ἀβύσσους.
κεκλομένου βασιλῆος ἀθέσφατος ὦρτο κατάιξ, 25
θῦνε δὲ κυρτωθέντα μετήορα κύματα πόντου·

---

**30** sq. = **16** sq. — **31** *φύτλην DM*[1]*S*. — **32** *ὕνεκα O*. — **33** *υτάκτους O*. — **34** *ἐφαρπάξας P*. — *μογερεῖς S*. — **35** *παρ' ἐλεγχέα O*: cf. Volkmann 75. — **36** *ἀποστύξαντες OΩ*; *ἀποτύ- a*; *ἀποπτύ- v*. — **38** sq. = **26** sq. — *θεῶν DR*; *θεῷ M*. — **39** *βασιλεῦ D*. — **40—57** om. *M*. — *ἠκέσσαθ' L*[2]; *-έσσατ' Ω*; *-έσατ' O*; *-έσσατο L*[1]; *ἀκέσατο R*. — *ἓὸν Rv*, ir. *L*[2]; *ἑόν O*; *ἑὸν DPS*. — **42** sq. = **16** sq. — **44** post 45 posuerat *O* ac. — **45** om. it., add. im. *R*. — **46** *βίῃ P*; *-ην O*; *-ης S*. — *τὲ L*; *τῆς O*. — **49** *θαλασσοπόροις μετ' ἀβύσσοις* Mommsen 266; an *-ρους κατ' ἀβύσσους*? — **50** *κεκλομένου DLS*; *υκελομ- O*[1]; *κελλομ- O*[3]*Ω*. — **51** *μετῄορα c*; *-ήωρα PRa*.

φαίης κ' οὐρανὸν εὐρὺν ἄφαρ μίσγεσθαι ἀβύσσῳ. 26
τῶν δὲ πολυσμαράγῳ κατετήκετο θυμὸς ἀνίῃ,
πάντας δὲ κλόνος εἷλεν ὅπως πεπεδημένον οἴνῳ, 27
ναυτιλίης δ' ἐλάθοντο, σοφὴ δ' οὐ φαίνετο τέχνη.
ἂν δὲ θεὸν βοάασκον ὀρινόμενοι φρένα μόχθοις, 28
αὐτὰρ ἀναγκαίης βασιλεύς σφεας ἔξελε πάσης·
αὐτίκα δ' εἰς αὔρην προτέρην μετέθηκε θύελλαν, 29
αὖτις δ' εὐσταθέι μειλίσσετο κύματα σιγῇ·
εὐφροσύνη δ' ἕλε πάντας, ὅπως ἴδον εὔδιον ὕδωρ, 30
εἰς λιμένα σπεύδοντας ὑπ' ἐννεσίῃσι θεοῖο.
οἰκτιρμοὶ βασιλῆος, ἑὴν ἀναμέλψατ' ἐρωήν, 31
καί οἱ θέσκελα ἔργα μέλοι μεροπηίδι φύτλῃ·
εὖ μιν ἀριπρεπέων κλισίαις ἀναείρατε λαῶν 32
καὶ προτερηγενέων ἱεροῖς ἀναμέλψατε θώκοις.
χεῦμα μέγ' ἐξανέηκεν ἐυρρεῖος ποταμοῖο· 33
ὑδρηλὴ δὲ κέλευθος ἀτερπέι τήκετο δίψῃ·
ἅλμην πουλυβότειραν ἄφαρ ποιήσατο χώρην 34
καρφομένην κακότητι περικτιόνων ναετήρων·
αὐτὰρ ἐρημαίην πολυκύμονα θήκατο λίμνην 35
καὶ γαίης ποταμηδὸν ἐπέχραον ὕδατ' ἀνύδρου,
ᾗ ποτε πειναλέοι ναέται πολυπήμονες ἦσαν 36

52 φαίης κ' $L^2$; -ης κε *O*; -ης κεν *DS*; -ην τ' $L^1$; -ης *PRv*. — 54 ὅπως $L^2\Omega$; -ης *DS*; -ου $L^1$. — 56 sq. = 26 sq. — 57 βασιλεὺ *D*. — 58 εἰς] σταθέϊ μειλίσσετο add. (ex 59), del. *D*. — 59 αὖτις Ω; -τι *R*; -θις *gm*. — εὐσταθέῃ *PR*; οὐ σταθεὶ *M*: cf. Rzach[1] 752. [3] 335. — 60 εὐφροσύνη δ' ex -νης cr. *S*. — ὅπως usque ad σπεύδοντας 61 om. it., add. im. *D*. — 61 ἐνεσίῃσι (-ησι) $DLM^1RS$; ἐνεσσ- $O^1$, ἐννεσσ- $O^2$. — 62 sq. = 16 sq. — βασιλῆες (*R*?)*a*. — αἰὴν *O*. — 64 κλισίῃς Ω. — 65 προτερηγενέων *Mv*; προτέρη γενέων *O*Ω; πρότεροι γ- *R*. — 66 ἐϋρρεῖος *Rbcm* (cf. Hom. Z 508. Volkmann 74. Rzach[1] 838); -ῆος Ω$b^*c^*$; εὐρῆος *O*; εὐ- *DS*; ἀπ' εὐ- *L*. — 67 ἀτερκέϊ *S*. — δίψῃ (-η) Ω (cf. 10. 61, 7); -ης *DMS*. — 70 ἐρημαίαν Ω; -ων *ODLMS*. — 71 γαίῃ et ἀνύδρῳ $m^*$. — ὕδατος $OD(L^1?)MS$. — ἀνύδρας *O*. — 72 ῃ Ω; ᾗ *L*; οἵ *DMS*; ἷς *O*; ἧς *P*. — ποτε (-ὲ) Ω; που *DLMS*. — ναέται scripsi;

*καὶ δῆμοι πόλιας κάτεχον περιναιετάοντες.*
*ἡμερίδας κατέπηξαν, ἐπεσπείραντο δὲ χώρας* 37
*καὶ βιότου κεχάρηντο τελεσφορίαις ἐρατειναῖς.*
*ᾔνεσε μὲν θεὸς ἔργον, ἀνηέξηντο δὲ λαοί,* 38
*καί σφισι τετραπόδων ἀγέλαι φέρβοντο νομῇσιν.*
*ἔνθ' ὀλιγοδρανέοντες ἀμηχανέεσκον ἀνίῃ* 39
*ἄλγεσι τειρόμενοί τε καὶ ἀπρήκτοις ὀδύνῃσι.*
*δεινὴ δ' ἡγεμονῆας ἀκηδέας ἄμφεπε λώβη·* 40
*οἱ δὲ τρίβον προλιπόντες ἐπ' ἀτρίπτοις ἀλάληντο.*
*ἐκ δ' ἀχρημοσύνης ἐπιτάρροθος ἦλθε πενιχρῷ* 41
*στησάμενος φρήτρας ἅτε πώεα καλὰ νομήων.*
*ἰθύνοοι λεύσσοντες ἐπ' εὐφροσύνῃσι χαρεῖεν,* 42
*ἀμπλακίη δ' ἀρίδηλος ἑὸν στόμα δεινὸν ἀνοίξει.*
*τίς πινυτὸς τάδε πάντα μετὰ φρεσὶν οἶδε φυλάξαι,* 43
*ἀθανάτου δ' ἐλεημοσύνην στέρνοισι νοῆσαι;*

## ϱζ' (107)

*Δαυίδου ἑκατοστὸς ἔφυ καὶ ἕβδομος ὕμνος.* 1

*Θυμὸς ἑτοῖμος ἐμός, πανεπίσκοπε, θυμὸς ἑτοῖμος,* 2

---

*νάσται Ω*; *νᾶ- L*. — *πολυπήμον' D*. — **73** *πόλϋ* $L^1$, cr. $L^2$; *-λειας S* ac. — *κάτεχον* $DL^2c$; *κατέ-* $L^1\Omega$. — *περιναιετάοντε*]*ς* $L^2$ ir.; *-οντες ἐσθλοί OD*; *-ωντες* (*-ωντ' S*) *ἐσθλοί MS*; *περιναιέται ἐσθλοί PRv*. — **75** *τελεσφορίῃς ἐρατεινῆς P*; *-ῃς -ῆς Ω*. — *ἔργον θεὸς L*. — *ἔργον* serius. ss. *R*. — *ἀνηέξηντο* scripsi; *ἀνηύξαντο OΩ*; *ἀνηΰ- PRv*; *ἀνεξήναντο* anon. Regim. — **77** *καί Ω*; *ἤνεσα καί* (ex 76) *S*. — **78** *ἀνίῃς P*. — **79** *ἀπρήκτῃς O* pc. — **80** *ἀκηδέας OΩ*; *ἀκυ- PRv*: cf. Volkmann 74. — *ἄμφεπε OΩ*; *ἀμφέπε L*. — *ἄμφ'* (*ἀ- S*) *ἐπελώβη Sa*; *ἀμφεπελώβη D*. — **84** *χαρεῖεν OΩ*; *-ῆεν DMSa*. — **85** *ἀμπλακῒ O*. — **86** *τάγε bm*. — *φυλάξαι* $L^1\Omega$; *-άσσειν* $OL^2$. — **87** pro *Υ* 107, 1 dederunt *DLMS* rubr.

*Υ* 107 pro altero versu acceperunt *DLMS* rubr.: v. supra. — *δαυῖδου S* (*-ίδου* pc.). — *Ψ* 107 fere totus concordat cum 56, 19 sqq. et 59, 8 sqq. — **1** *ἐμὸς* om. $O^1$, ss. $O^3$.

κύδεϊ ᾧ μέλψει σε καὶ ἐν ψαλμοῖσιν ἀείσει.
ἔγρεό μοι, κῦδος, τὸ πόρεν θεός, ὅττί κεν εἴη·
ἔγρεό μοι, φόρμιγξ καὶ ἐμῶν ψαλτήριον ὕμνων· 3
ἐμμαπέως ἠῶθεν ἀνεγρόμενος κελαδήσω.
σὸν μέλος ἀμφιβόητον, ἄναξ, λαοῖσι βοήσω 4
καὶ δήμοις πολέεσσι λυροκτύπον αἶνον ἀείσω·
οὐρανίων ἐλεητὺν ἔχεις καθύπερθε πυλάων, 5
καί σευ ἀληθείη νεφέων κατέναντα ποτᾶται.
ὄρσ' ὑπὲρ οὐρανίων πυλέων, πανυπέρτατε ποιμήν, 6
καί σεθεν ἄσπετον εὖχος ἐπὶ χθόνα πᾶσαν ἱκάνοι.
ὄφρα φίλους μεμαῶτας ἀφαρπάξειας ἀνάγκης, 7
δεξιτερῇ με σάω, καὶ ἐμῆς ἐπικέκλυθι φωνῆς.
εἶπεν ἄναξ ἁγίῳ σφετέρῳ συμφράδμονα μῦθον· 8
„ὑψωθεὶς Σίκημα θοῶς διαδάσσομαι ἤδη
καὶ κοίλην διαμετρήσω πυκινῶν κλισιάων."
ἡμέτερος Γαλαᾶδος, ὁμῶς δ' ἐμός ἐστι Μανασσῆς, 9
Ἔφρεμος ἡμετέροιο καρήατος ἄλκαρ ἐτύχθη,
αὐτὰρ ἐυκλειὴς βασιλεὺς ἐμός ἐστιν Ἰούδας,
ἐλπωρῆς δὲ λέβης μευ ἔφυ Μωᾶφος ἀμύμων· 10

---

2 κύδε]ϊ ᾧ ir. L[2]; κύδεο ἰῶ S. — μέλψει OΩ; -ψω v. — κυδιόων μέλψω Koechly 18. — ἀείσει OΩ, pc. S (ἀοίσω ac.); -σω v. — 3 add. L[2] im., om. Ω. — 5 ἀνεγρόμενος OΩ; -νον a. — 7 om. it., add. im. O. — δήμοι M. — πολέεσσι DM; -έεσι S; πόλεσσι O; πολέσσι L; -έσι R; -έσιν Pv. — λιρόκτυπον OL[2]; λιγυρό- L[1]Ω: cf. 56, 25. — 9 κατέναντι O. — ποτᾶτε S. — 10 ὄρ]σ' ir. L[2]; ὄρὸς S. — 11 ἱκάνει O. — 12 φίλα DS; -ας M: cf. 59, 8. — 14 συμφράδμονι DM; συφρ- L; σὺ φράδω̊μονι sic S. — μύθων S ac. — 15 σίκημα P it., bcm; σίκιμα Ωa, ss. P, ir. R; συ- S ac. — 17 γαλαᾶδος R, pc. S; -άδος OΩ, ac. S. — Γαλαᾶδ' ἔσθ' ἡμέτερος Hilberg 12; Γαλαᾶδος ἰδ' ἡμέτερος Ritter 32: cf. ad 59, 13. — ὁμῶς δ' ἐμός ἐστι scripsi (cf. Lch[1] 53); ὁμῶς (expunxit L[2]) δ' (om. S) ἡμέτερος (χ'υ ss. L[2]) ODLMS; ὁμῶς καὶ ἡμ- PR; χ' ἡμ- v. — 18 ἔφρεμος PRv; ἐφρέ- L; φρέ- O; ἔπρε- DMS. — ὑμετέροιο L[1], cr. L[2]. — 19 ἐϋκλειὴς bcm; ἐϋκλείης Ω; εὐ- OS. — 20 μωᾶφος ODS; -ᾶβος Ω; -άβος L.

*ἐκτείναιμι πέδιλον ἐμὸν πρόπαρ Ἰδουμαίης·*
*ποσσὶν ὑφ᾽ ἡμετέροις ἀλλότρια φῦλα δαμάσθη.*
*ἤθελον εὐπύργου κλυτὸν ἄστεος ἡγεμονῆα* 11
*ἠὲ καὶ ἰθυντῆρ᾽ Ἰδουμαίης μετὰ δήμους·*
*ἢ ῥ᾽ οὐκ αὐτός, ἄναξ, ἡγήσεαι, ὁ πρὶν ἐάσας;* 12
*οὐδὲ κορυσσομένοισιν ἐλεύσεαι ἄμμιν ἀρωγός;*
*τειρομένοις ἐπίκουρος, ἄναξ, ἀναφανδὰ φανείης,* 13
*ἄμμι δὲ μαψίδιον μερόπων φάος ἐγγυαλίζοις.*
*ἐν κρατερῷ βασιλῆι βίην τελέσωμεν ἑτοίμην,* 14
*δυσμενέων δ᾽ ἔκπαγλον ὑπερβασίην ἀθερίζοι.*

## ρη΄ (108)

*Δαυίδου λιγυρὸν μέλος ὄγδοον ἀμφ᾽ ἑκατοστῷ.*

*Αἶνον ἐμὸν μὴ πάγχυ, μάκαρ, σιγῇ παρελάσσῃς,* 1
*ἀμφ᾽ ἐμοὶ ὡς δόλιον χαίνει στόμα δεινὸς ἀλείτης.* 2
*θηξάμενοι γλώσσας με κακηγορέεσκον ἀνιγρὰς*
*καὶ μύθοις στυγεροῖσι πεποιθότες ἠερέθοντο* 3
*μαψιδίως τ᾽ ὀλοὴν ἐπὶ φύλοπιν ὡπλίζοντο.*
*οὓς φιλέειν δοκέεσκον, ἐμοὶ κακὰ μᾶλλον ἔραπτον·* 4

---

**21** *ἐκτίναιμι DM*; *-τήναιμι S*; *ἐκτείναι]μι* ss. $L^2$. — *πρόπαρ* scripsi ut 59, 17; *προπάροιθ᾽ Ω*. — *ἰδουμαίης OΩ*; *ἰδου- L*; *Ἰδυ- v*. — **22** *δαμασθῆ DMS*; *-θῶ* (ss. *σϊ*) *O*. — **23** *ἤθελον Ω*; *κάχον O*. — **24** *ἰθυντῆρα Ω*; *ἰθην- M*. — *δήμου O*; *μύθους S* ac. — **25** *ἦρ᾽ OP*; *ἦρ S*. — *ἡγήσαι O*; *-σεται P*. — *ἐάσας OΩ*; *-σῃς M*; *ἐάσσας v*; *ἐλά- gm*. — **26** *ἐλεύσεται ἅμμιν O*. — **28** *μαψίδιος O*; *-ιδίον M*. — *ἐγγυαλίζοις m**; *-ζοι Ω*; *-ζει DLMS*. — **29** *βίην τελέσωμεν ἑτοίμην* ir. $L^2$; post *δυσμενέων* 30 posuerunt *DS*, ac. $L^1M^1$. — **30** it. $L^1$, del. et rectius im. scr. $L^2$. — *δ᾽ ODLMPS*; om. *Ω*. — *ἀθερίζοι* $L^3$*Ω*; *-ξοι D*$L^1$*M*; *-ζει* $L^2$; *-ζη S*.

*Υ* 108 *δαυῖδος DM*. — *ὄγδοον*] *ὑπερβασίην* add. *D*$L^1$*MS*, del. $L^2$. — *ἀμφ᾽ ἑκατοστῷ* pro altero versu dederunt *DM*. — *Ψ* 108, **1** *παρε*(*λε* del.)*λάσῃς O*. — **2** *δούλιον M*. — **3** *δεξάμενοι M*. — *γλώσσαις O*. — *ἀνιγρὰς Ω*; *-αῖς O*; *ἀριγρὰς S*; *ἀνιρὰς D*, ac. *M* (*-ιηρὰς* pc.). — **4** *ἠρέθοντο DS*: cf. Hom. *Γ* 108. — **5** *ὠπλίζοντο L*; *ὁ- M*; *ὀ- OD*. — **6** *μᾶλλον Ω*; *μάλλ᾽ R*, pc. *L*; *μάλ᾽ OP*. — *ἔρραπτον DLMPRS*.

*αὐτὰρ ἐγὼ λιτάνευον ἐς οὐρανὸν ὄμμα τιταίνων.*
*ἀντ' εὐεργεσίης ὀλοὰς δόσαν ἄμμιν ἀνίας,* 5
*ἀντὶ δὲ νωιτέρης φιλίης κακὸν ἔχθος ἕλοντο.*
*τοῖο καθηγητῆρα πόροις κακοεργέα φῶτα,* 6
*διάβολος δ' ἄρα οἱ σταθερὸς ἐνδέξια μίμνοι·*
*κρινόμενος ψήφοισι δίκης δεδμημένος ἔλθοι,* 7
*εὐχωλὴ δ' ὀλοή οἱ ἀτάσθαλος αἶψα γενέσθω.*
*ζωῆς ἠελίοισι μινυνθαδίοισιν ὄναιτο,* 8
*καί οἱ ἱροσύνην ἐρικυδέα δέξεται ἄλλος.*
*ὀρφανίῃ σφετέρους ἀλιτήμονας υἷας ἐρύξοι,* 9
*χηροσύνῃ δὲ δάμαρτα κακὴ μεθέπουσα πεδήσοι·*
*παῖδες πτωχεύσουσι παρ' ἀλλοδαποῖς μετανάσται,* 10
*οὔδεος ἐξελάοιντο φίλου ἀέκοντες ἀνάγκῃ.*
*πάντα οἱ, ὅσσα πέλονται, ἀνιχνεύσειε δανειστής,* 11
*καὶ σφετέρων καμάτων ἀλλότριοι ἅρπαγες εἶεν.*
*μή οἱ δευομένῳ ἐπιτάρροθος ἄλλοθεν ἔλθοι* 12
*μηδέ οἱ ὀρφανικήν τις ἐποικτίσσαιτο γενέθλην.*
*ἔσταί οἱ φίλα τέκνα κακοῦ μέλπηθρον ὀλέθρου,* 13
*οὔνομ' ἄιστον ἄπυστον ἐπ' ἤματι πάμπαν ὀλέσσοι.*

---

**7** *ἐς LMb*cm*; *εἰς Ωab*. — **8** *ἄμμι S*. — **10** *πόροιο L*. — *κακεργέα DLM*[1]*S*, cr. *M*[2]. — **11** *διάβολον S*. — *σταθερῶς b*c**: v. Ritter 29. — *ἐνδέξια P* (cf. 109, 1); *ἐν δεξιᾷ* (-ᾶ) *Ω* (v. Lch[1] 52); *ἐς δεξιὰ b*c** (Ritter 32). — *μίμνοι Ω*; *-ει OL*; *-ειν DMS*; *εἴη* vel *ἔλθοι* Rzach[3] 402. — **13** *ἀτάσθαλος* (ω supra) *S*. — **14** add. *L*[2] im.; om. *Ω*; *ἤματά οἱ γενοίατ' ὀλίγιστά τ' ἀνιηρά τε* substituunt *PRv* (*οἱ ὀλίγιστ' ἀνιηρά τε πάντα γένοιτο b*c**; *οἱ ὀλίγιστα γενοίατ' ἀνίηρά τε* Ritter 32): v. Lch[1] 55. Rzach[3] 339. — **15** *ἱροσύνην gm*; *ἱερο- bc*; *ἱερω- Ωb*c**. — **16** *υἷ]ας* ss. *L*[2]. — *ἐρύζοι O*. — **17** *πεδήσοι m**; *-σει Ω*; *-σαι m**. — **18** *πτωχεύουσι O*. — *μετανάσταις P*. — **19** *ἀέκοντος L*[1], cr. *L*[2]. — **22** *δευομένῳ* (-ω) *ODLMS*; *-νων Ω*. — **23** *ὀρφανητής M*. — *τις Ω*; *τες S*; *τε L*. — *ἐποικτίσσαιτο v*; *-τίσαιτο Ω* (*ἐπ' οἰκ- O*, *ἐπικ- DMS*); *ἐπικτήσαιτο L*. — **24** *σταί O*: cf. Scheindler[1] 905. — *κακῶ O*. — *ὀλέθρου O*[1], *-ρω O*[3]. — **25** Hom. α 242 *οἴχετ' ἄιστος ἄπυστος*. — *ἀιστ* sic *M*. — *ἄπυστον L*[2]*Ω*; *ἄπι- O*; om. *DL*[1]*MS*. — *ὀλέσσοι*

*ἄντα θεοῦ κακίῃ σφετέρων μνήσαιτο τοκήων* 14
*μηδέ οἱ ἀμπλακίη στυγερῆς παύσοιτο τεκούσης.*
*λωβητοὶ βασιλῆος ἀεὶ κατέναντα μενόντων,* 15
*καί σφεων ἐκ γαίης ἀγαθῆς μνημήιον ἔρροι·*
*οὐ γὰρ ἐπεμνήσθη ἐλεητύος ἄξια ῥέξαι* 16
*ἀκτέανον καὶ πτωχὸν ἀτάσθαλος ἄνδρα διώκων,*
*φῶτα λιλαιόμενος βαρυώδυνον ἐξεναρίξαι.*
*ἣν δὲ λίην ἀγάπαζε, θοῶς δέξαιτο κατάραν·* 17
*εὐλογίην ἔστυξε, φύγεν δέ ἑ τῆλε τραπεῖσα.*
*ἀρὴν οὐλομένην ἰκέλην ἐνεδύσατο πέπλῳ,* 18
*οἷα δὲ διψώοντι ἐπήλυθεν ἔγκασιν ὕδωρ,*
*ὀστέα πιαίνουσα κατὰ χρέος ἠύτ' ἔλαιον·*
*ἀντὶ δ' ἀναγκαίου μιν ἐπὶ χροὸς εἵματος ἴσχοι* 19
*καὶ ζώνης σφετέρης, ἣν ζώννυται αἰὲν ἐπ' ἔργῳ.*
*μισθὸς ὅδ', οἷς βασιλῆι κακηγορέειν με μέμηλεν* 20
*οἷς τε μέλει ψυχῇ μευ ἀπείριτα κήδεα τεύχειν.*
*ἀλλὰ σύ, παμβασιλεῦ, μοι ἄκος σέθεν εἵνεκα τεύχοις,* 21
*οὕνεκα μειλιχίῃσι τεὴν ἐλεητὺν ὀφέλλεις.*
*ἀκτέανος καὶ πτωχὸς ἐγώ, σὺ δὲ μή με μεθείης·* 22
*ἡμέτερος μελέεσσιν ὀρίνεται ἔνδοθι θυμός,*

---

*O*; *-έσσει* $L^2M^2$*v*; *-έσει* $DL^1M^1S$; *-έσσεις PR*. — **26** *κακίης DLMPRS*. — **27** *ἀμπλακίης L*. — **30** *οὐ* $O^3$*Ω*; *καὶ DLMS*; *αἰ* $O^1$. — *ἐπεμνήσθη* $L^1$*Ω*; *ἀπ-* $L^2$. — **31** et 32 om. *DM*. — **32** *λιλαιόμενον O*. — **33** *δέξατο* $L^1$, cr. $L^2$. — an *κατάρην*? cf. 35. — **34** *ἔστηξαι* in *-υξαι* cr. *S*. — *τραπεῖσαν L*. — **35** *πέπλῳ* (-ω) $L^2$*Ω*; *πότμῳ* $L^1$. — **36** *διψώοντι Ω*; *-τος* Ritter 20. — **37** *ἠΰτ'* *Ω*; *οἷατ' DLS*; *οἷα τ' M*. — **38** *ἴσχοι v*; *-ει Ω*; *ἴσχει* (χ superscr.) *O*; *ἔσχει* (im. *ἴσως· ἴσχει*) *M*. — **39** *ζώνοται* in *ζώννη-* cr. *S*. — **40** *ὁδοῖς DMS*. — *βασιλῆα m**. — *κακηγορέειν με μέμηλεν Ω*; *κακηγόροις μέμηλεν O*; *-γορεῖν ἐμμέμηλεν* $DM^2$ (*ἐμμέλεν* $M^1$); *κακηγορεῖν* (*κακο-* ac.) *ἐμέμηλεν S*; *-γορῆναι μέμη-* $L^1$, *-γορέων ἐμέμη-* $L^2$. — **41** *ψυχή O*, ac. *S*. — *ἀπείριτι M*. — **42** *μοι* $O^3$*Ω*; *μὴ* $O^1$. — **43** *χειλιχίοισι m**. — *νεην O* ac. — *ὀφέλλεις L*; *-ης S*; *-οις Ω*. — **44** *μὴ* (om. *με*) *S*. — **45** *ὅρνυται O*.

*κλινομένῃ σκιῇ ἶσα νόῳ ἀλύεσκον ὀρινθείς,* 23
*ἀκρίσιν αἰθερίῃσι πανείκελος ἐξετινάχθην·*
*ἐδμήθην φίλα γυῖα τρέμων ὑπ᾽ ἀνάλκιδι λιμῷ,* 24
*καὶ δέμας αἰγλήεντος ἀμείβετο νόσφιν ἐλαίου.*
*ἔνθεν ἅλις μετὰ πᾶσιν ἐγὼ μωμητὸς ἐτύχθην·* 25
*ὥς μ᾽ εἶδον, κεφαλὴν δόνεον δολόεσσαν ἕκαστος.*
*ἀλλά, μάκαρ, καλέοντι θοῶς ἐπιτάρροθος ἔλθοις* 26
*καί μοι σὴν ἐλεητύν, ἄναξ, ἐπίκουρον ὀπάσσοις,*
*ὄφρα τεῆς παλάμης ἀγαθὴν γνώωσιν ἀρωγήν,* 27
*ἣν τεῷ ὁρμαίνεσκες, ἄναξ, θεράποντι τελέσσαι.*
*κεῖνοι ἐπαρήσονται, ἀτὰρ σύ μοι ὄλβια δοίης·* 28
*αἶσχος ἐπαγρομένοισιν ἐμοῖς δηίοισι γενέσθω,*
*σεῖο δὲ τιμήεις θεράπων φρεσὶ πάντοτε χαίροι.*
*οἵ με κακηγορέοντες ἀεὶ δυσαίατο μῶμον,* 29
*δίπλακι δὲ χλαίνῃ ἴκελον ψύθος ἀμφιβαλέσθων.*
*ἀείσω μελέεσσιν ἀνὰ στόμα παμβασιλῆα* 30
*καὶ πολέων ἀνὰ μέσσον ἑὸν κλέος ὑμνοπολεύσω,*
*οὕνεκα δεξιτερῆς ἐπιτάρροθος ἦλθε πενιχροῦ,* 31
*ὄφρά κε θυμὸν ἐμὸν δηίων ἀπολύσεται ἀνδρῶν.*

---

**46** *ἀλύεσκον* $L^2 \Omega$; *ἀλίε-* *DM*; *ἀλιθέ-* $L^1$. — **48** *γυῖα* ex *γαίης* cr. *L*. — *λιμῶν* *O*. — **50** *νθ᾽ ἅ.* *O*. — **51** *εἶδον* $OL^2\Omega$; *-ον ὣς* $L^1$; *-ον ὡς* *M*; *ἴδον ὣς* (*ὡς* *Pm*) *PRv*. — *δόνεον* *OΩ* (*-έον* *R*, *-αιον* *S*); *δοκέον* *a*. — **52** *λλα* *O*; *ἀλλ᾽ ἢ* (*ἤ* *D*) $D(L^1?)MS$. — *θοῶς* *DLM*; *θωὸς* *O*; *θοὸς* *Ω*; *θεὸς* *gm*: cf. Ritter 29. Rzach[3] 406. — **53** *μοι σὴν* *Ω*; *μιν* (in *μοι* cr. *O*) *ἑὴν* (*σὴν* $L^1$, *σῒν* *S*, *ἑὴν* $L^2$) *OLS*. — **55** *᾽ν τεῶ* *O*. — *θεράποντα* *S*; *-τας* *L*; *θαράποντι* *D*. — *τελέσσας* *L*. — **56** *σύ μοι* $L^2\Omega$; om. $DL^1MS$. — **57** *ἐπ᾽ ἀγρομ.* *O*; *ἐπεγρομ.* *Ω*; *ἐπ᾽ ἐγρομ.* *D*. — *δηΐσι* *O*, ac. *S*. — **58** *τιμείης* $LO^1$, cr. $O^2$. — *πάντοθε* *PRv*. — *χαίρει* *O*. — **60** *χλαίνϊ* *O*; *-ναν* *D*; *-νων* *M*; *-νειν* *S*. — *ψύθος* $L^2\Omega$; *-φος* $L^1$; *ψῦθος* *O*; *-φος* $M^1$; *ψῆφος* $M^2$: cf. 126, 14. Mommsen 270. — *ἀμφιβαλλέσθω* *M*. — **62** *καὶ* ir. $L^2$. — *ἑὸν* $L^2M^2\Omega$; *ἑὴν* $DL^1M^1S$. — **64** *κεν* *DLMS*. — *ἀπολύσεται* scripsi (coll. 118, 77. 121, 8. 12, 8. 66, 3. 79, 30. 112, 14); *-σειαι* *O*; *-σειεν* *Ω*.

## ϱϑʹ (109)

*Δαυίδου λιγυρὸν μέλος εἴνατον ἀμφ᾽ ἑκατοστῷ.*

„Ἧσο“, θεῷ θεὸς εἶπεν, „ἐμῶν ἐνδέξια θώκων, 1
ὥς κεν ὑπὸ θρῆνυν δηίους σέο ποσσὶ δαμάσσω.“
ἄφθιτος ἐκ Σιῶνος ἀμύμονα ῥάβδον ἰάλλοι, 2
ὄφρα τεοῖς ἀνὰ μέσσον, ἄναξ, δηίοισιν ἀνάξῃς.
σῆς ἀρχῆς μετὰ σεῖο πέλει κράτος, ὡς πάρος εἶχες, 3
σῇσι μετ᾽ ἀγλαΐαις ὁσίων κλέος ἔμπεδον ἕξεις·
γαστρὸς καρπὸς ἐμῆς πρὸ ἑωσφόρου αὐτὸς ἐτύχθης.
ὤμοσε πιστὸς ἄναξ, σφετέρους δ᾽ οὐ ψεύσεται ὅρκους· 4
„ἔσσεαι ἀρητήρ, οἷος πέλε Μελχισεδῆκος.“
δεξιτερῆς ἄχραντον ἔχεις πέλας ἀσπιδιώτην, 5
ὅς ῥα κότῳ βασιλῆας ἐπιχθονίους δαμάσαιτο.
φῦλα μάκαρ δικάσει, πλήσει δ᾽ ἀναρήγματα δήμων 6
καὶ πολέων κατὰ γαῖαν ἀπορραίσειε κάρηνα.
ὕδωρ χειμέριον πίεται κλυτὸν οἶμον ὁδεύων· 7
ἔνθεν ἄναξ τιμῆεν ἀνυψώσειε κάρηνον.

## ϱιʹ (110)

*Ἄφθιτον ἀλληλούια, δεκὰς δ᾽ ἔφυ ἀμφ᾽ ἑκατοστῷ.*

Ἀλλήκτῳ κραδίῃ, βασιλεῦ, τεὸν αἶνον ἀείσω 1

---

Ψ 109, 1 σο *O*; σω *S*; ἦσο $L^2$, ἦσω $L^1$. — ἡμῶν *L*. — ἐνδέξια *Ω* (cf. 108, 11); ἐν δεξιᾷ *O*; ἐς δέξια *a*; ἐς δεξιὰ *bcgm*. — θῶκον *L*, ac. *S*. — 2 ὥς κεν *Ω*; σκ᾽ *O*. — δηΐοις *S*. — δαμάσσσων *R*. — 4 τεῆς *L*. — ἀνάξῃς *OLS*; -ξοις *DM*; -σσῃς *PRv*. — 6 ἀγλαΐῃς *Ω*. — 7 ἐμῆς καρπὸς *O*. — ἐτύχθη *M*; ἔχθης *S*. — 8 ἄναξ om. *S*. — 9 ἔσσεαι *Rv*, pc. *P*; -εται *OΩ*, ac. *P*. — οἷσι *O*. — πέλε $L^2$*Ω*; -ει *O*; πάλαι *D*$L^1$*MS*. — μελχισεδῆκος *PRv*; -δῖκος *DM*; -δίκος *LS*; -δέκος *O*. — 10 ἄχραντον *DLMPS* (Ritter 20); -τε *Rv*; ἀχράντου *O*. — 11 ὤς *S* ac. — βασιλείας *S*. — δαμάσσαιτο *O*; -αντο *S* ac. — 12 πλήσσει *D*, pc. *S*. — ἀναρήγματα *Ω*; ἀναρί- *S*; ἀνὰ ῥή- *L*. — 13 πολέων $L^2$*Ω*; πόλε- *D*$L^1$*MS*. — ἀποῤῥέσϊε *S* ac. — 14 χειμέριον *OΩ*; -μάρρου *PRv*. — οἶμον *R*, pc. *P*; ὕμνον *S* ac.

Ψ 110, 1 λλήκτω *O*, altero λ expuncto *S*; ἀλή- *Ω*.

ἰθυνόων ὁσίων τε παρὰ κλισίῃσι φαειναῖς.
ἀθανάτου βασιλῆος ἀεὶ περιώσια ἔργα, 2
βουλαῖς παντοδαπῇσι μεμηλότα θεσπεσίῃσιν.
αἶνος ἀεὶ θεοῦ ἔργα πέλει καὶ ἀριπρεπὲς εὖχος, 3
ἐκ γενεῆς γενεὴν δὲ δικαιοσύνη ἕο μίμνει.
θαυμασίων σφετέρων βασιλεὺς ἐμνήσατο θυμῷ, 4
οἰκτίρμων μετὰ πᾶσι θεὸς πέλει ἠδ᾽ ἐλεήμων.
δαῖτα φίλοις δμώεσσιν ἀγακλήεσσαν ἔδωκε, 5
νωλεμέως σφετέρων μεμνήσεται ἁρμονιάων.
ἔργων ἠνορέην ἀγαθὴν διεπέφραδε λαῷ 6
κλῆρον ἀρίζηλον μεμαὼς δόμεναί σφισι δήμων.
εὐδικίην καὶ ἀληθείην ἐργάζεται αἰεί· 7
ἐννεσίαι βασιλῆος ἀγακλέα πίστιν ἔχουσιν,
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἐστήριχθεν 8
τυκταὶ ἀληθείῃ τε καὶ ἰθείῃσι μενοιναῖς.
λύτρον ἄναξ νημερτὲς ἑῷ δωρήσατο λαῷ, 9
πάντοτε συνθεσίην σφετέρην ἐνετείλατο ποιμήν·
ἄχραντον φοβερόν τε θεοῦ κλυτὸν οὔνομ᾽ ἐτύχθη.
ἀρχὴ ἐπουρανίου σοφίης πέλε δεῖμα θεοῖο 10
καὶ πινυτὴ μερόπεσσι μέλει σοφίης ὑποφήταις·
ἐκ γενεῆς γενεὴν δὲ μένει θεοῦ ἄφθιτος αἶνος.

---

2 ὁσίων om. *M*. — φαειναῖς $L^2\Omega$; -οῖς $DL^1MS$. — 4 βουλῆς (-ῆς) $L^2Pv$; ουλῆ *O*; βουλῇ (-ῇ) $DL^1RS$; -ὴ *M*. — παντοδαποῖσι μεμηλότων θεσπεσίοισιν *O*. — θεσπίησιν *S*. — 5 θεοῦ ἔργα ἀεὶ $DL^1MS$, cr. $L^2$. — 6 δικαιοσύνην *O*. — 8 οἰκτήρμων *M*; -ῖρμον *S* ac. — 9 ἀγακλήεσσαν $OL^2M^2m$, pc. *P*; -ήεσαν $DM^1$; -είεσσαν ($L^1$?)Ω, ac. *P*. — 11 διαπέφραδε *Obm*. — 12 δήμω *D*. — 13—15 om. $L^1$, add. $L^2$ im. — ἀληθείην usque ad τυκταὶ 16 om. *DMS*. — 16 ἰθύοισι *R*. — 18 σφετέρην om. *S*. — 19 χραντο *O*. — ὄναμ᾽ sic *O*. — 20 πέλε Ω; -ει *L*; -αι *S* ac. — δει]μα ss. $O^3$. — 21 μέλει *O*Ω; πέλει *PRv*. — ὑποφήτου *DM*. — 22 θεὸν *M*.

## ρια΄ (111)

*Πρῶτον ἐφ᾽ ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούια.*

*Ὄλβιος, ὃς πραπίδεσσι περιτρομέει βασιλῆα* 1
*ἀθανάτου γεραρῇσιν ὑπ᾽ ἐννεσίῃσι μεμηλώς.*
*ἀλκῆεν κατὰ γαῖαν ἑὸν μένει αἷμα γενέθλης* 2
*ὄλβῳ ἰθυνόοισιν ὁμοῦ γενεῇσι τεθηλός·*
*οὔ οἱ ἀπολλήξειε δόμων ἄφενός τε καὶ εὖχος,* 3
*ἀλλὰ καὶ εὐδικίῃσι διηνεκέεσσι χαρείη.*
*ἐξ ὄρφνης ἀνέτειλεν ἐπ᾽ ἰθυνόοις μέγα φέγγος·* 4
*οἰκτίρμων ὅσιός τε θεὸς πέλει ἠδ᾽ ἐλεήμων.*
*μείλιχος, ὅς ῥ᾽ ἔχρησεν, ἀνὴρ ἑτέρους ἐλεαίρων,* 5
*ἑσμὸν ἐπιθύνων σφετέρων ἀγανόφρονα μύθων·*
*οὔ ποτέ μιν μογεροῖο κλόνος βιότοιο κιχείη,* 6
*νωλεμέως ὁσίου μνημήιον αἰνετὸν ἔσται·*
*οὔ ποθ᾽ ὑποδδείσειεν ἀθέσμιον οὔασι φήμην,* 7
*αἰὲν ἔχει βασιλῆος ἐπ᾽ ἐλπίδι θυμὸν ἑτοῖμον.*
*ἠνεκέως ἀδόνητον ἑὴν στήριξε μενοινήν,* 8
*εἰσόκε δυσμενέων θηήσεται οἰκτρὸν ὀπωπήν.*
*ἀκτεάνοις ἐκέδασσε χαριζόμενος βιότοιο·* 9
*ἐκ γενεῆς γενεὴν δὲ δικαιοσύνη ἕο μίμνει·*
*τιμῇ καὶ γεράεσσιν ἀειρόμενον κέρας ἕξει.*

---

*Υ* 111 *ἐφ᾽ L*²*Sv*; *ἔφ᾽ O*; *ἀμφ᾽ DMPR*. — *Ψ* 111, **1** *πραπίδεσι παρητρομέει S*. — **2** *ἀθάνατον M*. — *ὑπενεσίῃ S*. — **3** *ἀλκῇ ἐν S*; *-κῆς ἐν M* ac. — *μένοι O*. — **4** *ὄλβῳ* (-ω) *OΩ*; *ὄλβιω D*; *ὀλβίω M*; *ὄλβῳ ἰδ᾽* Scheindler¹ 906; malim *ὄ. ἐν* vel *ὄλβιον*. — *τεθηλώς LR*. — **5** *οὔ οἱ DLPRS*; *ὔ οἱ O*; *οἴοι M*; *οὐχ οἱ v*. — **6** *διηνεκέεσι DM*¹; *-κέσσι S*. — **7** *ἐπιθυνόοις S*; *ἐπὶ θ- D*. — **9** *ἔχρησεν abc*. — *ἑταίρους M*. — *ἐλεαίρων* pc. *L*²; *ἐλεή- S*. — **10** *μύθον M*. — **11** *κιχείει L*, pc. *S*. — **12** *ὁσίον M*. — **13** *οὔποθ᾽ L*²*Ω*; *ὔποτ᾽ O*; *οὔπως D*; *-πω M*; *οὔτως L*¹. — *οὔασι Ω*; *τἄσι DM*. — **16** *οἰκτρὸν Ω*; *-ῶν OL*²; *-ὰν L*¹; *οἰκτὸν gm*. — **17** *ἐκέδασσε OMbcm*; *-ασε L*²*Ω*; *-αξε L*¹. — **18** *δικαιοσύνην O*.

δερκόμενον τάδε μῆνις ἀτάσθαλον ἄνδρα χαλέψει, 10
τηκεδόνι τρύζοντα κακῇ φθονεροῖσιν ὀδοῦσιν·
ἵμερος αὖτ' ἀτέλεστος ἀτασθάλου ἀνδρὸς ὀλεῖται.

## ριβ' (112)

Ἑνδεκάτης δεκάδος μετὰ δεύτερον ἀλληλούια.

Ἀθάνατον βασιλῆα σοφοὶ ἀναμέλψατε παῖδες, 1
οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος.
ἔσσεται οὔνομα θεῖον ἀεὶ μεμελημένον ὕμνοις 2
καὶ νῦν καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις·
ἠελίου φαέθοντος ἀπ' ἀντολίης ἐπὶ δυσμὰς 3
οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος.
δήμων παντοδαπῶν βασιλεὺς καθυπέρτερα ναίει 4
καὶ κλέος οὐρανίων δαπέδων ὕπερ ἄφθιτον ἴσχει.
τίς κρατερῷ βασιλῆι πανείκελος ἄλλος ἐτύχθη; 5
ναιετάων ὑψηλά, ἀτὰρ χθαμαλώτατα λεύσσων, 6
γαῖάν τ' ὀφθαλμοῖσι καὶ οὐρανὸν ἀμφιπολεύων
ἀκτέανον δεδάηκεν ἀπὸ χθονὸς οἷος ἐγείρειν, 7
ἐκ κόπρου δὲ πενιχρὸν ἐπισταμένως ἀναείρειν,
ὄφρα καθηγητῆρσιν ὁμὴν μετελεύσεται ἕδρην 8
λαοῦ θεσπεσίοιο συνέμπορος ἡγεμονήων·

---

20 ἀτάσθαλος *O*. — χαλέψει *L*²*Rv*; -ψεις *M*, ac. *S*; -ψης *D*, pc. *S*; χάλεψε *O*; χαλύψει (?) *L*¹; κα- *P*. — 21 τρίζοντα *DLMS*; τρύζοντες *O*. — ὀδοῦσιν *DLMS*; ὀδοῖσι *R*. — 22 αὖ *PR*; αὐτοῦ *O*.

*Υ* 112 ἑνδεκάτη *O*. — Ψ 112, 1 θανάτον *O*. — 2 κελαδήσετε *R*. — 3 μεμελετημένον *S*. — 4 νῦν, μετέπειτά τε ἠνεκέεσσι γ. *R*. — καὶ μετέπειτα Ω; αἰ μετέπει *M*. — 7 καθυπέρτερα Ω; -υπέρθε *L*; -ύπερθεν *DM*; καθ' ὑπέρα *S*. — ναίει Ω; ἀνάσσει *DM*. — 8 ὕπερ ἄφθιτον *v*; ὑπεράφθι- *O*Ω, pc. *D* (ὑπεράσχι- ac.). — 9 ἄλλος om. *M*. — 10 ὑψηλὴν *DMS*. — an ὑψήλ', αὐτὰρ? — λεύσων *OR*; λεύσσον *M*. — 11 γαῖα *DL*¹*MS*, cr. *L*². — 12 ἐσδάηκεν *S*. — οἶος *OLMPS*, ac. *R*. — 13 ἐπισταμένως Ω; -άμενος *DLMS*. — ἀναείρειν *L*; -ρει Ω. — 14 καθηγητῆρσι *L*; -τῆρ *P*. — καθηγητῆρσι νομὴν *M*. — 15 συνέμπορος *v*; -ρον *O*Ω.

*στείϱῃ ναιετάειν ὃς δώματα δῶκεν ἀγητὰ* 9
*μητέϱα τιμήεσσαν ἀγαλλομένην ἐπὶ τέκνοις.*

## ϱιγ′ (113)

*Ἑνδεκάτης δεκάδος σὺν καὶ τϱίτον ἀλληλούια.*

*Ἄλκιμος Ἰσϱαῆλος ὅτ’ ἤλυθεν Ἠεϱίηθεν,* 1
*δῶμα δὲ βαϱβαϱόφωνον Ἰακώβου λίπε λαός,*
*νηὸς Ἰουδαίῃ γεϱαϱὸς γεγένητο θεοῖο,* 2
*ἀθάνατος δ’ ἤνασσεν ἀγακλέος Ἰσϱαήλου.*
*φεῦγε μὲν ἀτϱύγετός μιν, ὅπως ἐνόησε, θάλασσα,* 3
*αὐτὰϱ Ἰοϱδάνης ἀνεχάζετο πολλὸν ὀπίσσω·*
*οὔϱεα δὲ κϱιοῖσιν ἀνεσκίϱτησαν ὁμοῖα* 4
*καὶ κοϱυφαὶ λασίων ὀϱέων πέλον ἄϱνεσιν ἶσαι.*
*ἔννεπε· τίπτε, θάλασσα, διέτμαγες ὧδε φυγοῦσα;* 5
*τίπτε δ’, Ἰοϱδάνη, ἀνεχάζεο τόσσον ὀπίσσω;*
*οὔϱεα δέ, κϱιοῖσιν ἀνεσκιϱτήσαθ’ ὁμοῖα,* 6
*καὶ κοϱυφαί, λασίων ὀϱέων πέλετ’ ἄϱνεσιν ἶσαι;*
*ἀθανάτου δεδόνητο θεοῦ κατεναντία γαῖα,* 7
*ὅς τις Ἰακώβου μεγαλήτοϱος αἰὲν ἀνάσσει,*
*ὃς λίμναις ὑδάτων ἰκέλην ἐστϱέψατο πέτϱην,* 8
*ἀκϱότομον πηγῆσιν ἀναβλύζειν ἐπιτείλας.*

---

**16** *στείϱην OD.* — *ναιετάει]ν* add. $L^2$.

*Υ* 113 *ἐνδεκάτη O.* — *Ψ* 113, **1** *ἠεϱίηθεν* $L^2\Omega$ ('ex tenebris' *bm*); *ἱεϱ- O*($L^1$?)*MS*; *ἰεϱ- D*: cf. Apoll. Rhod. 4, 270 *ἄϱδεται Ἠεϱίη* (c. schol.). Mommsen 270. — **2** *βαϱβαϱόφϱωνον D*; *-φϱων M.* — **3** *γεγένοιτο OR.* — **4** *ἤνασεν ODLMS.* — **5** *φ. μὴν M.* — *ἀτϱυγετό]ς μιν* ir. $L^2$; *-ύγετοέλην S.* — **8** *λασί S.* — *πέλον PRv* (cf. 12; an *ἔσαν*?); *ἐπὰν O*; *ἐπὶ L*; *ἐπ’ DMS.* — *ἄϱνεσιν O* ac.; *-νασιν Ω*, pc. *O*; *ἀϱνάσιν m.* — *ἶσαι v*; *ἶσοι OΩ* (non 12). — **9** *διέτμαγες]* v. Lobeck$^5$ 489. — **10** *ἰοϱδάνην S.* — **11** *ἀνεσκηϱτήσαθ’ O.* — **12** *πέλετ’* (*-τε O*) *ἄϱνασιν* (*ἀϱνά-* $O^2$*m*, *ἀϱνᾶ-* $O^1$) *Ω*; *πάλετ’ ἀϱνὶ L*; *πελατὰϱν S*; om. $DM^1$ (im. *ἴσως λείπει· ἀϱνειοῖς* $M^2$). — **13** *κατεναντία γαῖα ODLMS*; *-τίον αἶα PRv.* — **15** *λίμναις m**; *-νην* $O^1$; *-νης* $O^2$*DLMS*; *-νας Ω.* — *ἐστϱέψατο* scripsi; *ἐπεστϱ- DM*; *ἐπιστϱ- LS*; *ἐπετϱ- Ω.*

*ἡμῖν μὴ τάδε ῥέζε· τί γὰρ σθένος ἄμμιν ἐτύχθη;* 9
*ἀλλὰ τεῇ σοφίῃ πανυπέρτατον εὖχος ὀπάζοις*
*σῇ τ' ἐλεημοσύνῃ, βασιλεῦ, καὶ ἀληθέι βουλῇ.*
*μή ποτε φῦλ' ἐρέῃ· „πῇ δὴ θεὸς ἔπλετο κείνων;"* 10
*νωίτερος θεὸς αὖτε κατ' οὐρανὸν αἰὲν ἀνάσσει·* 11
*οὐρανῷ ἠρήρεισται, ἀτὰρ χθονὸς ἔργα νομεύει*
*τεύχων, ὁππόσα θυμῷ ἀριστοπόνῳ μενεαίνει.*
*εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,* 12
*ἀνδρομέων ἀλαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·*
*οἷς οὐ φθόγγος ἔπεστι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη,* 13
*οὐδὲ φάος φορέουσι περὶ ξεστῇσιν ὀπωπαῖς·*
*οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀίουσιν ἀυτῆς,* 14
*οὐδ' ἱερὴ ῥίνεσσιν ὑπέρχεται ἠέρος ὀδμή·*
*οὐ σθένος ἀμφαφόωντι, καὶ εἰ χείρεσσι κέκασθεν,* 15
*οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·*
*οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσσασθαι·*
*οὐδὲ γὰρ ἀσθμαίνουσι κατὰ στόμα πνεύματος ὁρμῇ.*
*τέκτονες εἰδώλοισι γενοίατο τοῖσιν ὁμοῖοι,* 16
*καὶ πάντές τοι τοῖσι νόῳ περιθαρσέες εἰσίν.*

---

**17** *ἡμῖν μὴ* $L^2$; *μῖν δὲ O*; *ἡμῖν δὲ D*($L^1$?)*MS*; *μὴ ἡμῖν PRv*; *μηδ' ἡμῖν* Scheindler[1] 905: v. Ritter 13. — *ῥέξε M*. — *ἄμμιν O*; *ὔ- DLMS*. — **20** *ἐρέει O*; *ἐρε R*. — **22** *ἠρήρειται D*$L^1$*S*, cr. $L^2$; *ἠ- M*. — **24—35** fere = 134, 32—43. — **25** *ἀλλὰ πεδνὰ S*. — *δεδάλματα DM*; *δὲ δ- S*. — **26** *εἰ* ir. $L^2$. — *στομάτεσσιν ἐ. DM*. — **27** *περιξεστῇσιν SS**. — *ξυστῇσιν P*. — **28** *οὔα* (im. *ἴσως· οὔατα*) *M*. — *ἀΐσουσιν O*. — *ἀϋτῆς* $L^2$*Ω*; *εἴκτην DM*; *ἐτύχθη S* iterans 27 (postea expunctum) et inde ab *ἔχουσι* versum 28 (*S**). — **29** *ἱερίνεσιν D*; *ἱρί- M*. — *ἐπέρχεται* est 134, 36. — **30** *ἀμφαφόωντι ODM*; *-όοντι L*; *-άαντι PS*; *-άωντι Rv*. — *εἰ* $L^2$*Ω*; *οἱ D*$L^1$*MS*. — *κέκασθεν Ω*, pc. *R*, ss. $L^2$; *-σται P*; *-φθεν* $L^2$ it. — **31** *εὐφόρβοιο* $L^1$*Ω* (*-βϊο S*); *ἰσχύσουσι* $L^2$ ss. — **32** *ἀναπεμπάσσασθαι Pv*; *-πάσασθαι OΩ*. — **33** del. *P*. — *στόμα Ω*; *πνεῦμα O*. — *ὁρμὴ* $L^1$; *-ὴν DMS*. — **34** *εἰδόλοισι O*; *-ώλοισιν L*. — *τοῖσιν* $L^2$; *οἷσιν* $L^1$*Ω*; *οὔ- S*. — **35** *τοι τοῖσι* scripsi (coll. 134, 43); *τοίοισι* s. *τοιοῖσι Ω*; *τοὶ οἷσι P*; *τοίνουσι S*.

*ἐλπωρὴν ἐπ' ἄνακτα θέτο κλυτὸς Ἰσραῆλος,* 17
*τῶν δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.*
*ἐλπωρὴν ἐπ' ἄνακτα θέτο κλυτὸς οἶκος Ἀρῶνος,* 18
*τῶν δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.*
*ἐλπίδ' ἔθεντ' ἐπ' ἄνακτα, μέλει δ' οἷς δεῖμα θεοῖο·* 19
*τῶν δ' ἐπιτάρροθός ἐστι καὶ ἄτρομος ἀσπιδιώτης.*
*ἡμέων ἀθάνατος μεμνημένος ᾔνεσε πάντας,* 20
*ᾔνεσεν ἀγλαὸν οἶκον ἐνηέος Ἰσραήλου,*
*ᾔνεσεν ἀρητῆρος ἀκήρατον οἶκον Ἀρῶνος,*
*ᾔνεσε λαὸν ἅπαντα μεμηλότα παμβασιλῆι,* 21
*ἡλικίην σύμπασαν ὁμοῦ περὶ μείζονι τυτθήν.*
*ἡμετέροις μετὰ παισὶν ἀέξησεν μάλα πάντας·* 22
*αἰνετοὶ ἀθανάτου πέλετε φρενὶ παμβασιλῆος,* 23
*ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.*
*οὐρανὸς αἰγλήεντος ἐπ' οὐρανοῦ ἐστιν ἄνακτος,* 24
*αὐτὰρ γαῖαν ἔδωκεν ἔχειν μεροπηίδι φύτλῃ.*
*οὔ σε, μάκαρ, νεκύων φθιμένων μέλψουσι γενέθλαι* 25
*οὐδ' ἐπὶ νερτερίους θανάτου στείχοντες ἀγυιάς·*
*ἡμεῖς δ' οἱ ζώοντες ἀνυμνήσωμεν ἄνακτα* 26
*νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.*

---

**36** *θέτ*]o pc. $L^2$. — **37** *ἄτρομος OΩ*; *ἄφθιτος Rv*. — **38** et **39** hab. $OL^2PRv$; om. $DL^1MS$. — **40** et **41** istos spurios add. *R* ir., *v*; om. *ODLMS*. — **40** *οἷς βασιλεύς τε μέμηλεν, ἐπ' ἐσσῆν' ἐλπίδα θέντο* substituit *P*. — **41** etiam *P* hab. — *ἄτρομος P*; *ἄλκιμος Rv*. — **43** om. *M*. — **44** hab. $L^2Ω$; om. $DL^1MS$. — **45** *παμβασιλῆος D* ac. — **46** *ἡλικίης S*. — *περι DM*. — **47** *ἀέξησε ODS*. — **48** *πέλεται L*. — **49** = 120, 4. 123, 14. 145, 10. — *εὐρὺν L*; *-ὴν DS*. — **50** *ἐπ' οὐρανοῦ P*; *ἐπ' οὐρανίου O*; *ἐπου- Ω*. — *ἐστὶν OΩ*; *ἔστιν P*; *'στὶ v*. — **53** *οὐδὲ O*. — *ἀγυιάς Ob*cmΩ*, ir. $L^2$; *-ειάς ab*; *ἀνείας S* ac.; *ἀνίας DM*, pc. *S*; *ἀελλὰς R*. — **54** *δ'* $L^2$; om. $L^1Ω$. — *ζῶντες ἀνυμνήσομεν O*. — **55** = 120, 15. 124, 4. 130, 10. — *διηνεκέσι S*.

## ϱιδ′ (114)

*Ἑνδεκάτης δεκάδος μετὰ τέτρατον ἀλληλούια.*

*Ἱκεσίης ἀίοντος ἐμῆς ἀγάπησα θεοῖο,* 1
*οὕνεκά μοι θείην ἀγαθήν τ᾿ ἔκλινεν ἀκουήν,* 2
*καί ἑ διηνεκέως ἐπιτάρροθον ἐσθλὸν ἀείσω.*
*ὠδῖνες θανάτοιο λαθιφθόγγου με κατέσχον,* 3
*νερτερίου δ᾿ Ἀίδαο μετέστιχον ἄμμε κυδοιμοί·*
*ῥιγεδανὴν ὀδύνην καὶ ἀτειρέα μόχθον ἐφεῦρον.*
*ἀθανάτου δ᾿ ἐκάλεσσα πολύλλιτον οὔνομ᾿ ἄνακτος·* 4
*„ἄφθιτε, θυμὸν ἐμὸν πεφοβημένον αἶψα σαώσοις.“*
*ἡμέτερος βασιλεὺς ὅσιος πέλει ἠδ᾿ ἐλεήμων* 5
*ἀνδρομέῃ γενεῇ σφετέρην ἐλεητὺν ἀέξων.*
*αἰεὶ νηπιάχοντα θεὸς δεδάηκε φυλάσσειν,* 6
*καί με καταδμηθέντα σάω ζωαρκέι χειρί.*
*θυμέ, τί δηθύνεις μετὰ σὴν ἀνάπαυσιν ἱκέσθαι;* 7
*οὐχ ὁράᾳς, θεὸς ὥς σε δυσαλθέος ἥρπασεν ἄτης;*
*καὶ γὰρ ἐμὸν θανάτοιο βαρύφρονα ῥύσατο θυμόν,* 8
*ὀφθαλμοὺς δὲ γόοιο, πόδας δ᾿ ἐξεῖλεν ὀλίσθου.*
*ζωόντων ἀνὰ χῶρον ἁδὼν βασιλῆι φανείην.* 9

## ϱιε′ (115)

*Πέμπτον ἐφ᾿ ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούια.*

*Ἀτρεκέως ἐλάλησα θεῷ βασιλῆι πιθήσας·* . 1

---

*Υ* 114 ἑ. *τετράδος S.* — *τέτρατον* $L^2$*Ω*; *τρέτα- S*; *τρίτα-* $L^1$. — *Ψ* 114, **1** *ἀΰοντος M.* — **4** *λαθιφθόγγον L*; *-ους DM.* — **5** *κυδοιμὸς DM.* — **7** *δὲ κάλεσσα P*; *δ᾿ ἐκάλεσα O.* — *οὔνομα S.* — **8** *ἐμὸν* om. $L^1$, ss. $L^2$. — *σαώσοις DLMS*; *-σεις Ω*, pc. *O.* — **9** *πέλει ὅσιος O* ac. — **10** *ἀνδρομέην M.* — *γενετῆ O*; *-εῆς S.* — **11** *αἰὴν ἠπίσχοντα S.* — **13** *δηθύνοις DMS.* — **14** *ὁράᾳς bm*; *-ας Ω.* — *ἥρπασας D* ac. — **15** *βαρύφρονος O.* — **16** *δ᾿ OΩ*; om. *Rv*: cf. Rzach[3] 420. — **17** *ἁδὼν Pcm*; *ἁ- Ω*; *ἅδων DLM*; *ἁδῶν O.* — *φανείη O.*

*Υ* 115 *ἐφ᾿ ἑνδ. Ω*; *ἀμφ᾿ ἑνδ. DMR.* — *δεκάδῑ*] v. Rzach[1] 752. — *ἑνδεκάτης δεκάδος πέμπτον μέλος ἀ.* substituit *P.* — *Ψ* 115, **1** *πλιθῆσαν M.*

αὐτὰρ ἐγὼ θνητῶν γενόμην χθαμαλώτατος ἄλλων.
θαμβήσας μερόπων ψευδηγόρον εἶπα γενέθλην. 2
τί χρέος ἐκ πολέων, ὧν μοι πόρε, ποιμένι δοίην; 3
πώματος ἀχράντοιο δέπας χείρεσσι κομίσσω, 4
οὔνομα δ' ἀθανάτοιο διηνεκέως λιτανεύσω.
πότμος ἑῶν ὁσίων γεραρὸς κατέναντα θεοῖο. 6
κέκλυθι, παμβασιλεῦ, θεράπων δέ τοι εὔχομαι εἶναι, 7
εἰμὶ τεὸς θεράπων καὶ σῆς γόνος ἀμφιπόλοιο·
νωιτέρας ἔρρηξας ἀλυκτοπέδας ἀλεγεινάς.
ἀθανάτου ῥέξαιμι θύος μολπῇσι μεμηλός. 8
εὐχωλὰς βασιλῆι ὀφειλομένας ἀποτίσω 5. 9
αὐλαῖς εὐαγέεσσι φίλον κατὰ δῶμα θεοῖο
παντὸς δερκομένοιο θεουδέος ἀντία λαοῦ, 10
σεῖο, πολυκλήεσσ' Ἱερουσαλή, κατὰ μέσσον.

## ϱις′ (116)

Ἕκτον ἐφ' ἑνδεκάτῃ δεκάδι μέλος ἀλληλούια.

Πάνθ' ἅμα παμβασιλῆα πολύθροα μέλψατε φῦλα 1
καί μιν ὁμοῦ σύμπαντες ἅδην κελαδήσατε λαοί,
οὕνεκεν ἄμμιν ἄναξ ἐλεήμονα μῆτιν ὀφέλλει 2
καί οἱ ἀληθείη παναγήραος αἰὲν ἐτύχθη.

---

2 ἐγὼν *O*. — χθαμαλότατ $L^1$, ος add. $L^2$. — 3 ψευδηγόρον *Ω*; -ηγόρων ($L^1$?)*S*; -ήγορον $L^2$. — εἶπα om. it., ss. *L*. — 4 πολέων $L^2Ω$; πόλε- $DL^1S$. — ὧν om. *M* (im. ἴσως λείπει ὧν). — 5 πτώματος $D(L^1?)MS$. — post 6 serius add. εὐχωλὰς βασιλῆϊ ὀφειλομένας (-είλομεν ἃς $L^2$) ἀποτίσω | παντὸς δερκομένοιο θεουδέος ἀντία (ἐναν- $L^2$) λαοῦ (ex 12 et 14) *P*, im. $L^2$. — 7 κατέναντι *O*. — 11 θανάτω *O*. — μολπῆς *O*. — μεμηλ]ός pc. $L^2$; -ειλός *S*. — post 11 serius repetiverunt vs. 6 $L^2P$. — 12 om. $M^1$, add. $M^2$ im. — ὀφειλομένας $O^3Ω$; -είλομεν ἃς $O^1DLMS$. — 13 corrigendo post 14 delegaverunt $L^2P$. — αὐλῆς (-ῆς) *Ω*; -ὰς *M*. — 14 θεοῦ δέος *M*. — 15 πολυκλήεσσ' $ODL^2Pm$; -κτήεσσ' *M*; -κλήες ($L^1$?)*S*; -κλύεσσ' *Ra*; -κλείεσσ' *bc*. — ἱερουσαλῆ *P*, ac. *S*; -ὴμ *LM*.

Υ 116 ἐφ' *Ω*; ἀμφ' *MPR*. — ἑνδεκάτης δεκάδος *S*. — μέλος om. $L^1$, ss. $L^2$. — Ψ 116, 1 ἄνθ' *S*. — 3 μῆτις *R* ac. — 4 παναγήραος *VΩ*; -κήρατος *O*.

## ϱιζ′ (117)

*Ἑνδεκάτης δεκάδος ἀμφ’ ἕβδομον ἀλληλούια.*

*Μέλψατέ μοι βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη,* 1
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*βαζέτω Ἰσραῆλος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,* 2
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*βαζέτω οἶκος Ἀρῶνος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,* 3
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*δμῶες, βάζετ’, ἄνακτος, ἐπεὶ τόδε καλὸν ἐτύχθη,* 4
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*τειρόμενος καλέεσκον ἐρισθενέτην βασιλῆα,* 5
*ἐκ δ’ ἀγαγὼν κακότητος ἐμὰς εὔρυνε κελεύθους.*
*αἰὲν ἐμῆς ἄχραντος ἄναξ ἐπίκουρος ἀνάγκης·* 6
*οὔ ποθ’ ὑποδδείσαιμι, τί κεν βροτὸς ἄμμι τελέσσῃ.*
*αἰὲν ἐμῆς ἄχραντος ἄναξ ἐπίκουρος ἀνάγκης,* 7
*αὐτὰρ ἐγὼ δηίων σφετέρων κακὸν ὄψομαι οἶτον.*
*φέρτερον ἀθανάτῳ πίσυνον βασιλῆι βιῶναι* 8
*ἠὲ μάτην βροτῷ ἀνδρὶ νόον περιθάρσυνον ἴσχειν·*
*φέρτερον ἀγκύρῃσι σαλεύειν οὐρανίωνος* 9
*ἠὲ καθηγητῆρσιν ἀμήχανον ἐλπίδα θέσθαι.*
*ἀμφ’ ἐμὲ κυκλώσαντο περισταδὸν ἔθνεα πάντα,* 10

---

Υ 117 *ἀφ’ O.* — *ἕβδομον*] *μέλος* add. *PR.* — Ψ 117, 2 *ὕνεκα O*; item 4. 6. al. — **3** *βαζέτω* $L^2Ω$; *βάζετο* $DL^1MS$; item 5. — **5** *ἀρῶνος* $L^2Ω$; *ἀαρ-* $DL^1MS$. — **6** om. $VDL^1MS$, add. $L^2$ im. — **7** om. *M.* — **11** om. *M.* — *ἐμῆς ἄ. ἄναξ VODLS*; *ἄναξ ἄχραντος* (*-τε P*) *ἐμῆς PRv*: cf. 13. — **12** om. *DM.* — *οὔ πωθ’ S*; *ὕ κεν O.* — *τί κε V.* — *τελέσσῃ V*, pc. *S*; *-οι L*; *-ω S* ac.; *-ει Ω.* — **13** om. *D.* — *ἄχραντος* $L^2$, *ἄσχετος* $L^1$. — **14** *δηΐων* $L^1Ω$; *δα-* $L^2$. — *κακῶν DMS.* — **15** *σφέτερον M.* — **16** post 17 posuerat *O* ac. — *βροτῶν DMS*; *-τὸν* $L^1$, cr. $L^2$. — *νόω OMS.* — post 16 repetivit 15 *P.* — **17** *ἀγκύρῃσι σαλεύειν φέρτερον οὐρανίωνος* $L^2$ im., quod correxi; om. *VΩ.* — **18** *ἀμήχανον* $L^1Ω$; *μερόπεσσιν* $L^2$ ss. — **19** *ἀμφ’ ἐμὲ κ.* scripsi (coll. 41, 7. 87, 15. 35); *ἀμφί με κ. Ω*; *ἀμφί* (*ἄμφι DS*) *μ’ ἐκ. DMS.*

αὐτὰρ ἐγὼ σύμπαντας ἕλον βασιλῆι πεποιθώς·
ἀμφ' ἐμὲ πυργωθέντες ἔχον περιηγέι κύκλῳ, 11
αὐτὰρ ἐγὼ σύμπαντας ἕλον βασιλῆι πεποιθώς·
πάντοθεν οἷά με σίμβλον ἐκυκλώσαντο μέλισσαι, 12
ἔφλεχθεν δ' ἅτε πυρσὸς ἐν αὐαλέῃσιν ἀκάνθαις,
αὐτὰρ ἐγὼ σύμπαντας ἕλον βασιλῆι πεποιθώς.
καί κ' ἔπεσ' ὠθηθείς, πρόμαχος δέ μοι ἤλυθεν ἐσσήν. 13
αἶνος ἐμὸς καὶ κάρτος ἐπ' ἀθανάτῳ βασιλῆι, 14
καί μοι ἀλεξίκακον κατεφαίνετο φέγγος ἑτοῖμον,
τερπωλῆς φάεός τε βοὴ κλισίῃσι δικαίων. 15
δεξιτερὴ βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν,
δεξιτερὴ κεφαλὴν ἐρικυδέα θῆκεν ἐμεῖο, 16
δεξιτερὴ βασιλῆος ἀγακλέα τεῦξεν ἐρωήν.
οὔ ποτε τεθναίην, βιότου δέ μοι ἔσσεται ὥρη, 17
ἀλλὰ περιφραδέως βασιλήια ἔργα βοήσω.
ἀθάνατος δάμασέν με φίλοις παιδεύμασι ποιμήν, 18
ἀλλ' οὔ πως θανάτῳ με κακῷ μεθέηκε δαμῆναι.
δεῦτέ μοι εὐδικίης νῦν οἴξατε πιστὰ θύρετρα, 19
εἰς δ' ἐλθὼν βασιλῆι πολύλλιτον ὕμνον ἀείσω.
ἧδε πύλη βασιλῆος, ὁδὸς δ' ἀγαθοῖσι μελέσθω. 20

---

**20** notam ⁘ praescripsit $L^2$. — **21** et **22** om. *VDL*$^1$*MS*, add. $L^2$ im. — *ἀμφί με Ω*; *-ὶ μὲ m*: v. ad 19. — **23** notam ·⁝· praescripsit $L^2$. — **24** *δ' L*; om. *Ω*: cf. Rzach$^3$ 417. — *αὐαλέῃσιν* (*-ῇσιν*) *VOL*; *αὐλέ- DMS*; *αὐλαί- Ω*. — *ἀκάνθαις VΩ*; *-ῃς* (*-ης*) *DMS*. — **26** *κ' ἔπεσ' ὠθ. VOL*$^2$*P*; *κε πέσ' ὠθ. Rv*; *κε πεσωθ.* $L^1$*S*; *κε πεσώθ. D*; *κ' ἐπεσώθ. M*: cf. Lobeck$^5$ 332. — *ἤλυθ' O*. — **27** *ἐπ' ἀθανάτῳ* pc. $L^2$. — *βασιλῆον M* ac. — **28** *κατεφαίνετο VΩ* (cf. 41. 58); *ἀνεφ- DMPR*. — **30** et **31** om. $L^1$, add. $L^2$ im. — *τεῦξον M*. — **31** et **32** om. *DMS*. — *κεφαλὴ O*. — *ἐμοῖο* $L^2$. — **33** om. *O*. — *βιότου* (ss. *θανάτου*) *L*. — *δὲ* ex *σε* cr. *M*. — **34** *ἀ. ἀπεριφραδέως M*. — *βασιλῆα b*. — **35** *δάμασεν με VΩ*; *δ' ἅμα σύν* (*σήν M*) *με DLMS*; *δάμασσέ μοι O*. — **36** *οὔ*(*οὒ* $L^2$)*πως* $L^2$*PRv*; *οὔ*(*οὐ O*)*πω OV*; *οὕτως DL*$^1$*MS*. — *με* ir. $L^2$; om. *O*. — *κακῶς P*. — **38** *εἰς VLRSv*; *ἰς O*; *εἰ Ω*. — **39** *π. παμβασιλῆος L*. — *ὁδοὶ P*.

*ἄφθιτε, κυδαίνω σε, ἐμῆς ὅτι σύνθεο φωνῆς* 21
*καί μοι ἀλεξίκακον προυφαίνεο φέγγος ἑτοῖμον.*
*τέκτονες ὃν νείκεσσαν ἐμωμήσαντό τε λᾶαν,* 22
*ἥδ' ἱερὴ κεφαλὴ δισσῶν προυφαίνετο τοίχων·*
*τῆνδε θεὸς παλάμῃσιν ἐδείματο τιμήεσσαν,* 23
*θηητὴ δὲ πέλει βροτέων κατεναντίον ὄσσων.*
*ἦμαρ τοῦτο θεὸς σφετέραις τεκτήνατο χερσίν,* 24
*εὐφροσύνη μερόπεσσιν ὅπως καὶ χάρμα φανείη.*
*εἰσαΐων, βασιλεῦ πανυπέρτατε, ῥίμφα σαώσοις,* 25
*εἰσαΐων ἴθυνον ἐμὴν καταθύμιον οἶμον.*
*αἰνετός, ὃς βασιλῆος ἀφίξεται οὔνομ' ἀείρων·* 26
*ὑμέας αἰνέομεν μάκαρος μεγάροιο μολόντες.*
*κλεινὸς ἄναξ ἀγαθός τε θεὸς μερόπεσσι φαάνθη·* 27
*στέμμασι γηθομένοις χλοερὴν ξυναγείραθ' ἑορτὴν*
*μέχρι θεοδμήτων κεράων βωμοῖο θυηλῆς.*
*νωίτερος θεός ἐσσι, ἐγὼ δέ τοι αἶνον ἀείσω·* 28
*νωίτερος θεός ἐσσι, ἐγὼ δέ σεγ' ὑψόσ' ἀείρω·*
*ἄφθιτε, κυδαίνω σε, ἐμῆς ὅτι σύνθεο φωνῆς*
*καί μοι ἀλεξίκακον κατεφαίνεο φέγγος ἑτοῖμον.*
*μέλψατέ μοι βασιλῆα, ἐπεὶ τόδε καλὸν ἐτύχθη,* 29
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*

---

**41** *προυφαίνεο* (*προὐ-*) *Ω* (ex 43 ?); *-νετο S* ac.; an *κατεφαίνεο*? cf. 28. 58. — **42** *ὃν VL*[2]*Ω*; *οἳ OD*(*L*[1]?)*MS*. — *νίκεσσαν L*; *-εσα DM*[1]*S*; *-εσαν M*[2]. — *λαῶν* ac. *LS*; *λάαν* pc. *L*. — **43** *ἡ δ' VD*; *"δ' O*; *ἡδ' S*; *ὃ δ' L*[2] pc.; *ὃς* (*ὅς*) *δ' Ω*. — *κεφαλὴ δισσῶν V*; *δισσῶν κεφαλὴ Ω*. — **46** *σφετέρῃς Ω*. — **49** *καταφύγιον S* ac.; *κατάμιον M*. — **50** *οὔνομα εἴρων S*. — **53** *γηθομένοις VODLMS*; *-όμενοι PRv*. — *ξυναγείρατ' LS* (ac. *V*?); *-ρεσθ' O*; *-ρειθ' M*. — **54** *κεράτων DM*. — *θυκλησων* sic *S*. — **55** om. *VL*[1], add. *L*[2] im. — *αἶνον Ω*; *αἰὲν M* ir. — **56** *σεγ' VDLMPS*; *σε ORv*: cf. Ritter 15. — *ὑψόσ' VΩ*; *ὕψος ODLMPS*. — **58** *μοι* pc. *L*[2]; *μϊ S*. — *κατεφαίνεο VΩ* (*-νετο DM*); *κατα- O*; *ἀνε- P*. — **59** sq. = 1 sq.

## ριη' (118)

*Ἑνδεκάτης δεκάδος ἀμφ' ὄγδοον ἀλληλούια.*

*Ὄλβιοι, οἷσι μέμηλεν ἀκήρατος αἰὲν ἀταρπός,* (A a 1) 1
*οἷς νόος ἱμείρεσκε θεοῦ κατὰ θεσμὸν ὁδεύειν.*
*μαρτυρίας σφετέρας φρεσὶν ὄλβιοι ἰχνεύσουσι* 2
*παντοίῃ κραδίῃ διζήμενοι ἐσθλὸν ἄνακτα·*
*οὐ γὰρ δυσνομίης στυγερῆς ὑποφήτορες ἄνδρες* 3
*ἴχνεσιν ἀθανάτοιο κατεστείβεσκον ἀταρπούς.*
*ἔμπεδον ἐννεσίης φυλακὴν ἐπετείλαο λαῷ·* 4
*εἴθέ μοι εὖ μάλα πᾶσαι ἐπιθύνοιντο κέλευθοι,* 5
*ὄφρά τοι εὐδικίῃσιν ἀεὶ μεμελημένος εἴην·*
*καί κε νόῳ προφύγοιμι βαρὺν καὶ ἐλεγχέα μῶμον,* 6
*εἴ κεν ὑπ' ἐννεσίῃσι θεουδέσιν ὄμματα πήξω.*
*ἰθυνόῳ κραδίῃ, βασιλεῦ, τεὸν αἶνον ἀείσω,* 7
*εὖτε δικαιοσύνης θεοτερπέος ἔργα δαείην.*
*εὐδικίας πραπίδεσσι τεάς, ἄχραντε, φυλάξω,* 8
*μή με διηνεκέως προλίποις, ἀγανώτατε ποιμήν.*
*πῶς νέος ἰθύνειεν ὁδὸν πεποτημένος ἥβῃ,* (b 2) 9
*εἴ [κε] μὴ ἐννεσίας μάκαρος πραπίδεσσι φυλάξῃ;*
*παντοίοις, βασιλεῦ, σε νοήμασιν ἰχνεύεσκον,* 10
*μή με τεῶν ἀπάνευθεν ἀπώσεαι ἐννεσιάων.*

---

*Τ* 118 *ἐνδέκατος DMR.* — *ἀλληλύϊα S.* — *Ψ* 118, **1** *ὄλβιος DM.* — **3** *ἰχνεύσουσι V*; *-σωσι OP*; *-σωσιν LS*; *-εσκον Ω.* — **4** *ζήμενοι M*[1], cr. *M*[2]. — **7** *αἰνεσίης* (ν supra ι) *O.* — *ἐπετείλατο DM.* — *λαῷ* (*-ῶ*) *OΩ*; *λαοῦ VDLMS.* — **8** *εἴθέ* (*-ε*) *μοι VΩ*; *εἴθ' ἐμοὶ* (*ἐμοί M*) *DM*; *εἴθ' ἐμὸς S.* — *σεῦ M.* — *ἐπιθύνοιντο L* pc., *Pbcm*; *-νοντο VΩ*; *-νονται O.* — **11** *ὑπενεσίῃσι S.* — *θεουδέασιν D*; *θεοῦ δέα- M.* — **12** *εἰθνόω S.* — *κραδίης P.* — **13** *δικαιοσύνην L* ac. — **15** *προλίπης DM.* — **16** *νέως* ac. *DL.* — *ἰθύνει νὶ* sic *S.* — *ἥβην DL*[1]*MS*, cr. *L*[2]. — **17** *εἴ κε μὴ* scripsi (coll. 11); *εἰ μὴ VΩ* (*εἰμὶ S*); *ἢ μὴν* Ritter 16: cf. Scheindler[1] 905. — *φυλάξῃ VM*, pc. *DS*; *-ξω L*[1], ac. *D*; *-ξει L*[2]*Ω* (ac. *S*?); *-ξοι bcm.* — **18** *παντοίης M.*

σεῖο, μάκαρ, γλυκεροὺς ἐθέμην ἐν στήθεσι μύθους, 11
ὄφρα μὴ οὐλομένῃσιν ἀτασθαλίῃσι δαμείην.
αἰνετός ἐσσι, μάκαρ, θεσμοὺς δέ με σεῖο διδάσκοις. 12
χείλεσιν ἡμετέροις στόματός σεθεν ἔφρασα θεσμούς· 13
σεῖο τρίβῳ γήθησα, μακάρτατε, μαρτυριάων, 14
οἷά τις ἐν στέρνοις ἐπαγάλλεται εὐρέι πλούτῳ.
σῇσιν ὑπ' ἐννεσίῃσι περιφραδέως κελαδήσω 15
καί σεο τιμήεσσαν ἀνιχνεύσαιμι κέλευθον·
σῇσιν ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω 16
οὐδὲ τεῶν ἱερῶν ἐπέων ἐπιλήσομαι αὔτως.
ἀντὶ πόνων θεράποντι, μάκαρ, σέο μισθὸν ὀπάζοις· (c 3) 17
ζήσομαι ἀθανάτων ἐπέων φρεσὶ κέρδος ἀέξων.
ἀχλὺν ἀπ' ὀφθαλμῶν σκέδασον, μάκαρ, ἢ πρὶν ἐπῆεν, 18
ὄφρα διοπτεύσαιμι τεῶν κλυτὰ θαύματα θεσμῶν
ἀλλοδαποῦ βιότοιο μινυνθαδίην χθόνα ναίων· 19
μή μευ ἀποκρύψῃς ἀγαθῶν χάριν ἐννεσιάων.
εὐδικίας ἐπόθησα τεὰς νόῳ ἤματα πάντα. 20
οὐρανόθεν θέσπιζες ὑπερφιάλοισιν ὁμοκλήν· 21
λωβητοὶ μάλα σεῖο λελασμένοι ἐννεσιάων.
μῶμον, ἄναξ, ἐλάσοις καὶ ὀνείδεα πολλὸν ἐμεῖο, 22
οὕνεκα μαρτυρίας γεραράς σεθεν ἰχνεύεσκον.
ἀμφ' ἐμέθεν κελάδησαν ἐπεσβόλοι ἡγεμονῆες, 23
αὐτὰρ ἐγὼν ἀνέμελπον ἐπ' εὐδικίῃσι τεῇσι·

---

**21** φρά κε μὴ *O.* — οὐλομένοισιν *bm.* — **22** δὲ (om. με) *O.* — διδάσκοις V$D^2L^2$Ω; -κεις $D^1L^1$S. — **23** ἔφασα *VO*; ἔφρασας *S.* — **24** μακάρτατος *V.* — **25** ἶα τίς *O.* — **26** et 27 om. $DL^1MS$, add. $L^2$ im. — ἐπ' *m**. — **28** ἐπ' VΩ; ὑπ' *O*: cf. 42. 50. 218. 64, 10. — **29** ἐπαίων *O.* — αὔτως *DMm*; αὔ- VΩ. — **31** ὑπὲρ ante ἐπέων add. *M.* — **32** μάκαρ om. *O.* — ἢ $VL^2PRcm$; ἣ Ω. — **33** φρα τεῶν διοπτ. θαύμ. θ. *O.* — κλυτὰ $VL^2$Ω; om. *O*; ἱερῶν $D(L^1?)MS$. — **34** ναίων VΩ; -ω *PRv.* — **35** ἀποκρύψεις *S.* — **36** νόων *S* ac. — **37** θέσπιζες *LPRv*; -ζεν *VO*; -ζε *DMS.* — **39** ἐλάσοις *OPR*; -σεις VΩ. — πολλοὺς *M*, ac. *D.* — ἐμοῖο *O.* — **41** κελάδησον *S.* — **42** ἐγὼν VΩ; -ὼ *Lm.*

*μαρτυρίαι βασιλῆος ἐμεῦ μελεδήματα θυμοῦ,* 24
*θεσμοὶ δ' ἐκγεγάασι τεοὶ βουλεύματ' ἐμεῖο.*
*θυμὸς ἐμὸς δαπέδοισιν ἐλεγχίστοισι πελάσθη·* (d 4) 25
*ἔμπά γε μὴν μύθοισι τεοῖς, ἄχραντε, βιῴην.*
*νωιτέρας ἐπάκουσας ἀπαγγέλλοντος ἀταρπούς·* 26
*ῥίμφα δικαιοσύνην με, μακάρτατε, σεῖο διδάσκοις·*
*εὐδικίης κλυτὸν οἶμον ἐμῷ παρακάτθεο θυμῷ,* 27
*σοῖς δ' ἐπὶ θαυμασίοισι περιφραδέως κελαδήσω.*
*θυμὸς ἐμεῦ ἤμυσε κακῇ βεβολημένος ἄτῃ,* 28
*ἀλλὰ τεοῖς μύθοισιν, ἄναξ, ἐμὸν ἦτορ ἐρείδοις.*
*οἶμον, ἄναξ, ἀθέμιστον ἐμεῦ ἀπάνευθεν ἐρύκοις,* 29
*εὐθέσμοις δὲ τεοῖς θεσπίσμασιν ἄμμ' ἐλεαίροις.*
*οἶμον ἀληθείης καταθύμιον αἰὲν ἔφευρον* 30
*οὐδὲ θεοπρεπέων λαθόμην σέθεν εὐδικιάων.*
*μή σεο μαρτυρίῃσι πεποιθότα πάμπαν ἐλέγξῃς·* 31
*σαῖς ὑποθημοσύναις ἀριδείκετον ἔδραμον οἶμον,* 32
*εὖτε μάλ' εὐρύνειας ἐμοῖς ἐν στήθεσι θυμόν.*
*σεῖο, μάκαρ, με δίδασκε τεῶν τρίβον εὐνομιάων,* (e 5) 33
*καί μιν ἀνιχνεύσαιμι διηνεκέεσσι γενέθλαις.*
*δός μοι, ἄναξ, πινυτήν, ἵνα σευ νόμον ἐξερεείνω* 34
*καί μιν ἀεὶ στέρνοισιν ἐφ' ἡμετέροισι φυλάξω·*

---

**44** *τεοὶ Ω; περι V; -ὶ O.* — *ἐμοῖο L.* — **45** *ἐλαχίστοισι O.* — **46** *τεῆς ἄχρανται S.* — **48** *δικαιοσύνας O.* — *διδάσκοις VΩ*, pc. *S*; *-κεις DM*, ac. *S.* — **49** *παρακάτθεο VΩ (παρε- L); -θετο ODM*$^1$*S.* — *μύθω O.* — **50** *θαυμασίησι D* ac. — **51** *ἐμεῦ V* pc. (cf. 53); *ἐμὸς V* ac., *Ω; -ὸς δ' L.* — *βολημένος S.* — **52** *ἐρείσοις P.* — **54** *ἐλεαίρεις O; ἐλεΐροις S.* — **56** *ὐ* (pro *οὐδὲ*) *θεοτερπέων O.* — *εὐδοκιάων R.* — **57** *μαρτυρίῃσι (-ησι) VOSbm; -οισι Ωac.* — *πεποιθότα] μάκαρ* add. del. *S.* — *ἐλέγξῃς (-ης) VOL*$^2$*Ω; -ξοις L*$^1$*; -ξήεις M.* — **58** *σῇς (σῆς) ὑποθημοσύνῃς (-ης) Ω (ὑποθυ- LP); -νησιν DM.* — *οἶμον VPRa; ἤμαρον S.* — **59** *εὐρύνοιας L*$^1$*S*, cr. *L*$^2$. — **60** *τεῶν VΩ; τεὴν L*$^2$ ir. — **62** *όσμον ἄ. O.* — *σευο ν. M.* — **63** *ἡμετέροις S.*

*εἴθέ μοι ἡγεμόνευσας ἐπ' εὐνομίῃσι τεῇσι,* 35
*πᾶσαν ἐμαῖς πραπίδεσσι λιλαίομαι ἀμφιβαλέσθαι.*
*μαρτυρίαις ἐμὸν ἦτορ ἐπικλίνοιτο τεῇσι,* 36
*μηδ' ἀκόρητον ἕλοιμι φιλοκτεανώτατον ὕβριν.*
*ὀφθαλμῶν ἀπέλασσον ἐμῶν κενεαυχέα λώβην,* 37
*σεῖο, μάκαρ, ζήσαιμι φερεζώοισι κελεύθοις.*
*σῷ θεράποντι λόγον βεβριθότα δείματι τεύξοις·* 38
*οὗ πρὶν ὑποπτεύεσκον ὀνείδεος ἄμμε σαώσοις,* 39
*σεῦ ὅτι μειλιχίῃσι δίκαι κεκερασμέναι εἰσί.*
*θυμῷ ἐπισπέρχω σέθεν ἵμερον ἐννεσιάων,* 40
*σεῖο δικαιοσύνην βιότου συνέριθον ἑλοίμην.*
*θεσπεσίη μ' ἐλεητύς, ἄναξ, σέθεν ἀμφικαλύπτοι,* (f 6) 41
*σοῖσιν ἀλεξικάκοισι φάος μύθοισιν ἐπέστω,*
*ὄφρά κεν ὑβριστῆρας ἀμείψομαι, ᾗ θέμις ἐστίν,* 42
*οὕνεκεν ἐλπωρὴν ἐθέμην μύθοισι τεοῖσι.*
*μή μευ ἀληθείην στόματός σεο πάμπαν ἐρύξῃς·* 43
*σεῖο γὰρ εὐθέσμοιο δικαιοσύνης πόθον ἴσχω·*
*καὶ νόμον αἰγλήεντα τεὸν πραπίδεσσι φυλάξω* 44
*ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.*

---

**64** *εἴθέ VLRS*; *-θε ODMP*; *εἴ δέ a*; *εἰ δέ bcm*. — *μοι Ω*; *μϊ S*; *με DM*. — *ἡγεμόνευσ O*. — **65** *ἐμῆς Rv*; *ἐμοὶ VOΩ*. — *πραπήδεσι S*. — *λιλαιόμενον O*. — **66** *μαρτυρίαις VO*; *-ῃς* (*-ης*) *Ω*. — **68** *ὀφθαλμὸν S*. — **70** *λόγῳ L*. — *τεύξοις MPRv*; *-εις VOΩ*. — **71** *οὐ M*. — *ὑπωπτεύεσκον V*; *ὑποπτεύσασκον O*. — *ἄμμε bcm*; *ἄμμι VΩ* (*ᾶ- O*). — **72** *μειλιχίοισι V*. — *δίκαι VPR* (Hoeschel.); *δίκης* (*-ῃς*) *Ω*. — *κεκερασμένα O*; *-νες S*. — **73** om. it., add. im. *R*. — *ἐπισπέρχων O*. — *ἵμερον VΩ*; *ἧμ- ODLMS*. — **75** *θεσπεσίην DMS*, ac. *OL*. — *μ'* om. *O*. — *σέθεν ἄναξ V*. — *ἀμφικαλύπτει PR*. — **76** *ᾗσιν O*. — *μύθοισιν VΩ*; *μέ- S*; *μέσσοισιν L*. — *ἐπέστω VOΩ*, pc. *S* (*-θω* ac.); *ἐπέσθω PRv*. — **77** *κε O*. — *ὑβριστῆρας PRv*; *-ρος VOΩ*. — *ἤ VOΩ*; *η S*; *ᾗ MPRv*. — **78** *οὕνεκεν ὑβριστῆρα ἐλπωρεῖν ἐθ. μ. τ. S*. — **79** *σέθεν S*. — *ἐρύξῃς* (*-ης*) *OΩ*, pc. *PR*; *-οις VDM*. — **80** *ἀθέσμοιο D*; *ἀθασ-* (im. *ἴσως· ἀθανάτοιο*) *M*. — **82** *γενετῆς DM*.

*ἔνθεν ἄρ' εὐρείῃσιν ἀεὶ προθέεσκον ἀταρποῖς,* 45
*οὕνεκεν ἐννεσίην βασιλήιον ἰχνεύεσκον·*
*οὐδέ τιν' ἀζόμενος λάλεόν σεο μαρτυρίῃσιν,* 46
*ἆ πῶς θαυμάζεσκον ἐμὴν τότε γλῶσσαν ἄνακτες.*
*οἷς ἀγάπαζες, ἅδην μελεδήμασι θυμὸν ἔφερβον·* 47
*καί σεθεν ἐννεσίαις τάνυον παλάμας ἐρατειναῖς,* 48
*σῇσιν ὑπ' εὐνομίῃσι λιλαιόμενος φρένα βόσκον.*
*μνώεό σευ θεράποντος ἐπελπομένου σέο μύθοις·* (g 7) 49
*ἧδέ μευ ἀδρανίης παραμύθιον ἐσθλὸν ἐτύχθη,* 50
*οὕνεκ' ἀεί σεο μῦθος ἐμοὶ βίος ἔπλετο καλός.*
*αἰὲν ὑπερφίαλοι ἀθεμίστια τεκταίνοντο,* 51
*αὐτὰρ ἐμὸς θεσμοῖσι τεοῖς νόος αἰὲν ἀρήρει·*
*ἀμπνύνθην σέο θυμόν, ἄναξ, θεσμοῖσι πετάσσας.* 52
*ἦτορ ὑπ' ἀδρανίῃ βεβολημένος ἐπτοίημαι,* 53
*θεσμῶν εἰσορόων ἀγαθῶν σεο λυμαντῆρας.*
*θεσμῶν ὑμνοπόλευσα φίλων σέο πολλάκι μολπήν,* 54
*καί περ ἐν ὀθνείοισιν ἐὼν δαπέδοις μετανάστης.*
*ὀρφναίην ἀνὰ νύκτα παρεμνήσθην βασιλῆος,* 55
*ἀθάνατον δ' ἐφύλαξα φίλοις ἐν στήθεσι θεσμόν·*
*σεῖο τόδ' εὐδικίης ἀγαθῆς ἀντάξιον ἴσχω.* 56

---

**83** *ἔνθεν ἄν M.* — **84** *βασιλήϊον νεεσίην l. S.* — **85** *τινα ζόμ. DM.* — *μαρτυρίῃσι* (*-ησι* s. *-ησιν*) *VΩ*; *-οισι PR.* — **86** *ἆ πῶς δὴ* $L^2$; *πῶς δὲ* (ras.) $L^1$; *πῶς δέ τε V*; *πῶς δέ τ' M*; *πῶς τότ' ODS*; *πῶς δὲ μάλα PRv* (cf. Rzach[3] 320). — *θαυμάζεσκον V*; *ἐθαύμαζον ODMS*; *θαύ- Ω.* — **87** *ἀγάπαζον O.* — *ἅδην O*; *ἅ- VΩ*; *ἅδειν DLMS.* — **88** *ἐννεσίης* (*-ης*) *Ω*, pc. *S* (*-σήης* ac.). — *ἐρατεινῆς Ω.* — **89** *ἐπ' O.* — an *βόσκειν*? — **90** *μνύεο M.* — *ἐπ' ἐλπ. DM*; *ἐπολπ. S.* — **91** *ἥ δέ* $L^2Ω$; *ἡ δέ VMPS*; *ἠδέ* $L^1$; *τοῦτό b*c*.* — *ἐσθλὸν Ω*; *γρ' ἐσλὸν P.* — **93** *τεκταίνοντο VΩ*; *-ναιντο DLS*; *-νεντο M.* — **94** *ἐμοῖς θ.* pc. *S.* — **95** *πετάσσας PRv*; *-άσας VOΩ.* — **96** *ἐπ' M.* — *ἀδρανίῃ* (*-η*) *VOD*(*ἀν-* $L^2$)*S*; *-ης* $L^1Rv$. — **98** *φίλον DLM*, pc. *S.* — **99** *ἐὼν* $VO^2L^2$; *ἑὼν* $O^1$; *ἑοῖς* $DL^1MS$. — *δαπέδοισι S.* — **100** *ἀνὰ Ω*, ss. *S*; *κατὰ* it. *S.* — **101** *ἀθάνατον* $VL^2Ω$; *-ανάτους* $L^1$. — *δὲ φύλαξ* sic *M.* — *φίλους D* ac. — *θεσμόν* $VL^2Ω$; *-οὺς* $L^1$. — **102** *ἀγαθοῖς* $L^1$, cr. $L^2$.

*αἶσά μοι αὐτὸς ἔφυς, θεσμοὺς δέ σοι εἶπα· φυλάξαι.* (h 8) 57
*ἀλλήκτῳ κραδίῃ λιτόμην βασιλῆος ὀπωπῆς·* 58
*ἵλαθί μοι, βασιλεῦ, ἐπέων δέ σευ ἄξια ῥέξω·*
*καὶ γὰρ ἐπεφρασάμην καταθύμια σεῖο κελεύθοις,* 59
*μαρτυρίης δ' ἔστρεψα τεῆς σεθεν ἀγχόθι πέζας.*
*ἔνθεν ἑτοιμότατος γενόμην ἀδόνητος ἐών τις* 60
*σαῖς ὑποθημοσύνῃσιν ἔχειν μεμελημένον ἦτορ.*
*ἰλλόμενος δολερῇσι δέμας σειρῇσιν ἀλιτρῶν* 61
*οὔ σεθεν εὐθέσμων λαθόμην φρεσὶν ἐννεσιάων.*
*αὐτὰρ ἐγὼ διὰ νύκτα μέσην ἔσπευδον ἀναστὰς* 62
*ὑμνῆσαι πραπίδεσσι δικαιοσύνης σέο θεσμούς.*
*πάντων σεῖο, μάκαρ, δμώων ξυνήορος ἦα,* 63
*ὅσσοις ἐννεσίαι πεφυλαγμέναι εἰσὶ θεοῖο.*
*χθὼν ἐλεημοσύνης ἀγαθῆς βέβριθεν ἄνακτος·* 64
*σεῖο δικαιοσύνας ἐρικυδέας ἄμμε διδάσκοις.*
*μειλιχίην θεράποντι τεῶν δωρήσαο μύθων·* (i 9) 65
*μειλιχίην σοφίην τε τεήν, μάκαρ, ἄμμε διδάσκοις,* 66
*οὕνεκεν ἐννεσίῃσι, μάκαρ, θάρσησα τεῇσι.*
*πρίν με καταδμηθῆναι, ἀτασθαλίην ἐτέλεσσα·* 67
*τοὔνεκα σοὺς ἐφύλαξα φίλοις ἐν στήθεσι μύθους.*
*μείλιχός ἐσσι, μάκαρ, σέο δ' εὐδικίας με διδάσκοις.* 68

---

**103** *δεσμοὺς* $L^1$, cr. $L^2$. — *φυλάξαι* *VΩ*; *-ᾶξαι* *O*; *-άξω* *DLMS*. — **104** *ἀλλήκτῳ* (-ω) *VLMS*; *λλή-* *O*; *ἀλή-* *Ω*. — **106** *κελεύθοις* *VΩ*; *-ους* *DLMS*. — **107** *μαρτυρίοις* *L*. — *τεοῖς* *LS*. — **109** *σῇς* (*σῆς*) *VΩ*. — **110** *ἰλλόμενον* *R*. — *δολεροῖσι* *M*. — *ἀλιτροῦ* *M*. — **111** *εὐθέσμων* *VOΩ* (*-ον* *S* ac.); *ἐν-* *MRv*. — **113** *δικαιοσύνη* *DLMS*. — **114** *δμώων μάκαρ* *V* ac. — *ξυνήορος* *VOΩ*; *γε συν-* *Rv*: cf. 105, 11. — *υἷα* *M*. — **118** om. it. *ODM*, add. im. *O*. — *ειλίχιον* *O*. — *τῶν δ. μύθων* *VOΩ*; *τεῷ δ. μύθῳ* *PRv*. — **119** om. it., add. im. *O*. — *σοφίη]ν* add. $L^2$. — *τε* om. $DL^1MS$, add. $L^2$. — *ἄμμε* (*ἅ-* *O*) *διδάσκοις* *VΩ*, ir. $L^2$; *θάρσησα τεῇσι* (ex 120) *M*; *θαρσήσατε ἦσι* (*ἧ-* *S*) *DS*. — **120** *πρίν με* (ex 121) ante *οὔν.* add. *S*. — *θαρσήσατε ἦσι* *S*. — **122** *ὕνεκα* *O*. — *σοὺς* *VΩ*; *σοῖς* *DLMS*. — *φίλους* *O*. — *μύθοις* *LS*. — **123** *διδάσκοις* *VPΩ*, ac. *S*; *-εις* *DM*, pc. *S*; *γρ´ διδάξοις* ss. *P*.

ὕβρις ὑπερφιάλων μοι ἀθέσφατος ἐξετανύσθη, 69
αὐτὰρ ἀνιχνεύσαιμί σεθεν μεληδήματα θυμῷ.
στῆθος ἑὸν λευκῷ ἴκελον ἐπέπηκτο γάλακτι, 70
αὐτὰρ ἐμοί σεο θεσμὸς ἀεὶ πραπίδεσσι μεμήλει.
ὡς ἀγαθὸν χθαμαλόν τε καὶ ἠπεδανόν με τετύχθαι, 71
ὄφρα δικαιοσύνην ἐρικυδέα σεῖο δαείην·
ὡς ἀγαθὸς στόματος βασιληίου ἔπλετο θεσμός, 72
χιλιάδων χρυσοῦ τε καὶ ἀργύρου ἄμμιν ἀμείνων.
σῇσι, μάκαρ, γενόμην τε καὶ ἐπλάσθην παλάμῃσι· (B k 10) 73
δὸς δή μοι πινυτήν, βουλὰς ἵνα σεῖο δαείην.
δμῶες δερκόμενοί με τεοὶ κεχαροίατο θυμῷ, 74
οὕνεκα σοῖς ἐπέεσσιν ἐμὰς συνέδησα μερίμνας.
ἀμφαδίην ἐνόησα δικαιοσύνης σέο θεσμοὺς 75
καί σευ ἀληθείῃ χθαμαλὸς καὶ ἄκικυς ἐτύχθην.
σὴν ἐλεημοσύνην παραμύθιον ἄμμιν ὀπάσσοις 76
καὶ μῦθον θεράποντι τεῷ συμφράδμονα δοίης·
εὖ με κατοικτείρειας, ὅπως ζήσαιμι πεποιθώς, 77
οὕνεκά μοι μελέτη βασιλήιος ἔπλετο θεσμός.
αἶσχος ὑπερφιάλοις, οἵ μοι παρὰ θεσμὸν ἔρεξαν· 78
αὐτὰρ ἐγὼ περὶ σῇσιν ἐφημοσύναις κελαδήσω.
δμῶες ἐπιστρέψωσι τεὴν τρομέοντες ἐρωὴν 79

---

**126** ἑὸν *Ω*; οὐ *M*. — **127** μεμή ει *S*. — **128** ἠπεδάνο *S*. — **130** βασιληΐον *M*. — θεσμοί *S*; θυμὸς *M*. — **132** ᾗσι *VO*; -ιν *P*. — μάκαρ *Ω*; ἄναξ *P*. — ἐπλάσθην *Ω*; διεπλ- *VO*. — **133** μοι *VL²Ω*; om. *DL¹MS*. — βουλὴν *O*. — **134** κεχαρΐατο *S*; χαροίατο *O*. — **135** ἐμὰ *DS*. — **136** ἀφναδίην *M* ac. — δικαιοσύνης *PRv*; -νην *VOΩ*. — **137** χθαμαλὸν *M*. — ἄκικυς *OΩ* (ἄκυ- *M*; cf. Hom. ι 515); ἄναλκις *V*. — **139** θῦμον *S*. — θεράποντι τεῷ συμφράδμονα (sic *VL²P*, -νι *ODL¹MSv**) δοίης *Ω* (Ritter 10); συμφράδμονα σῷ θεράποντι παράσχοις *Rv*. — **140** ἔμευ *DMS* (im. ἴσως· εὖ με *M*). — **141** μενέτλη *M* ac. — **142** θεσμὸς *M*. — ἔρεξαν *VΩ* (ἔζε- *DM*), ir. *L²*; -ξα *S*; -ζον *OPR*. — **143** παρὰ *V*. — ἐφημοσύνῃς (-ης) *Ω*; -ῃσί sic *V*. — **144** δμῶες μ' ἐ. *V*. — ἐπιστρέψωσι *VΩ*; -ουσι *OL*.

*μαρτυρίας δεδαῶτες ἀριστοπόνου βασιλῆος.*
*σῇσιν ἐφημοσύναις μευ ἀμώμητοι φρένες εἶεν,* 80
*ὄφρα κακῶν ἀπάνευθε καὶ αἴσχεος ἔκτοθεν εἴην.*
*θεσπέσιον περὶ φέγγος ἐμὸς νόος ἐξεπετάσθη* (l 11) 81
*συνθεσίης ἀγαθῆς ποθέων σέο μῦθον ἀκοῦσαι.*
*ἀμφὶ τεῷ μύθῳ ἐμέθεν φθινύθεσκον ὀπωπαὶ* 82
*βάζουσαι, πότε δή μοι ἰὼν παραμύθιον εἴης.*
*ἀσκὸς ὅπως γενόμην χιονώδεος ἐγγύθι πάχνης,* 83
*ἀλλὰ δικαιοσύνης λαθόμην σέθεν οὔ ποτε θυμῷ.*
*εἰπέ, τεοῦ θεράποντος ὅσος χρόνος ἐστὶ βίοιο,* 84
*εἴ ποτέ μοι τίσειαν ἐπάξιον ὕβριν ἀλεῖται.*
*ἀνέρες ὑβρισταὶ ἀεσιφροσύνας ἀνέμελπον,* 85
*ἀλλ' οὐ σὸν κατὰ θεσμὸν ἔχον ψευδηγόρον οἴμην.*
*ἄφθιτοι ἐννεσίαι παναληθέες εἰσὶν ἄνακτος·* 86
*οἵ δ' ἀδίκως μ' ἐδίωκον, ἄναξ δ' ἐπιτάρροθος εἴης.*
*καί κέ με πανσυδίῃ πέλασαν δαμάσαντες ἀρούρῃ,* 87
*αὐτὰρ ἐγώ σεο μίμνον ἐφημοσύνῃσι πεποιθώς.*
*ἄφθιτε, σῇ, βασιλεῦ, ἐλεητύι καλὰ βιῴην* 88
*καί σεο μαρτυρίας στόματος στέρνοισι φυλάξω.*
*οὐρανῷ ἀστερόεντι μένει σέο πάντοτε μῦθος.* (m 12) 89

---

**146** *ἧσιν O.* — *ἐφημοσύνῃς* (*-ης*) *VΩ* (*-ησι D* ac., *-η M*); *εὐφ- LS.* — *ἀμώμητος* $L^1$, cr. $L^2$. — **148** *ἐξεπετάσθη VODLMSv**; *-ετανύσθη PRv.* — **149** *ἀγαθῆς DLMS*; *τ' ἀγ- VOΩ*; *τάγ- a.* — *π$\overset{ο}{ε}$θέων S*; *θέων* $L^1$, cr. $L^2$. — *πόθεόν σεο gm.* — *σεῖο DMS.* — **150** *ἄμφι τεῶ S*; *ἄφθιτε ὦ D*; *ὄφρα τεῷ M.* — *ὀπωπ]αὶ* ir. $L^2$; *-πὴν D*($L^1$?)*MS.* — **151** *βάζονται ποτὲ O.* — **153** *ἐλαθόμην R.* — *σέθεν VΩ*; om. *O.* — **154** *τοῦ DMS.* — **155—177** om. *M.* — **156** *ἄνδρες D*, pc. *S*; *ἄνθ- S* ac. — **157** *οὐ σὸν VΩ*; *οὓς O.* — *ἔχον V*$L^2$*Ω*; *ἔχοντες O*; om. *D*$L^1$*S.* — **158** *παναληθέες VΩ*; *-έος Ogm*; *καὶ παναληθέες R*; *-αλθέες a*; *τε καὶ ἀλθέες*, al. *καὶ ἀληθέες b*c*.* — **159** *οἵ δ' VODLP.* — *με δίωκον VDPS.* — **161** *μίμνον* $L^2$*Ω*; *-νος* $L^1$; *-νω O.* — **162** *βιώην VO*$L^2$; *-οίην D*$L^1$*S.* — **164** post 165 collocant *Rv* (non *VOΩ*). — *πάντοτε VΩ*; *-θε D*; *-θεν S*; *-θι L.*

ἐκ γενεῆς γενεὴν δὲ νέμεις παναληθέα βουλήν· 90
γαῖα, μάκαρ, παλάμῃσι μένει σέο ῥιζωθεῖσα,
ἠὼς δ᾽ ἠριγένεια φέρει σέο φέγγος ἀνωγῇ· 91
σοὶ γὰρ ὑποδρήσσουσι, τά περ τεκτήναο χερσίν.
εἰ μή μοί σεο θεσμὸς ἔην μελέδημα μερίμνης, 92
καί κεν ἀπεφθίμην κρυερῷ καὶ ἀπευθέι πότμῳ.
οὔ ποτε θεσπεσίων ἐπιλήσομαι εὐνομιάων, 93
ἔνθεν ἐπεὶ βιότοιο τέλος κεχαρισμένον εὗρον.
εἰμὶ τεὸς θεράπων, σὺ δέ μοι κακὸν οἶτον ἀλάλκοις, 94
οὕνεκεν ἐννεσίῃσιν ἀεὶ θάρσησα τεῇσι.
μαψιδίως μ᾽ ὑπέμειναν ἀτασθάλλοντες ὀλέσσαι, 95
αὐτὰρ ἐγὼ ξυνέηκα χάριν σέο μαρτυριάων.
παντοίαις ἐνόησα τέλος πραπίδεσσι βίοιο, 96
σὴν ὑποθημοσύνην, βασιλεῦ, εὐρεῖαν ἀνέγνων.
ὡς μάλα θεσμὸν ἐγὼ βασιλήιον ἀμφαγάπαζον, (n 13) 97
καί μιν ἑλὼν στέρνοισι πανημαδὸν ὑμνοπολεύσω.
ἐννεσίην δηίων με τεὴν πλέον ἐξεδίδαξας· 98
καὶ γὰρ ἐμὸν κτέρας ἐστί, διηνεκέως δέ με θάλπει.
εἴξατέ μοι, προτέρης σοφίης κοσμήτορες ἄνδρες· 99
ἐννεσίας [γὰρ] ἄνακτος ἔχω μελεδήματα θυμοῦ·
πρεσβυτέρων πινυτῆς πολὺ μείζονα μῆτιν ἐφεῦρον 100
μαρτυρίας κατὰ θυμὸν ἀνιχνεύων βασιλῆος.
παντοίης ἀπέεργον ὁδοῦ κακοεργέος ἴχνος, 101

---

165 νέμεις $VL^1\Omega$; οις $L^2$ ss. — 166 σέο] μάκαρ add. del. *S*. — 170 ἀπεφθίμην *VOΩ* (ἀπο- *P*); -θινόμην *Rv*. — 172 ἐπὶ *L*. — 175 μ᾽ $VOL^2P$; om. Ω. — ἀτασθάλοντες *LP*; -άλλοντας *D*. — ὀλέσθαι *L* ac.; ὀλέσαι *S*. — 177 παντοίῃς (-ης) *VOΩ*; -τ(η)ίοις *S*; -τοίοις *v*: cf. Lch[5] 301. — βίοιο *VΩ*; βιώνης *P*. — 179 ἀμφαγαπάζον *S*; -ζων $L^1$, cr. $L^2$. — 180 et 181 om. $L^1$, add. $L^2$ im. — στέρνοισι usque ad ἐμὸν 182 om. *DMS*. — 181 ἐννεσιῶν *V*; -ίων *OL*. — 182 γὰρ ἐμὸν pc. $L^2$. — διηνεκέω(ο)ς *S*. — 184 γὰρ c (cf. 182); om. *VΩ*. — 185 μῆστιν ἐφ᾽ εὗρον *S*. — 187 παντ(ϊ)οίοις *S*.

ὄφρα φίλον σέο μῦθον ἐμαῖς πραπίδεσσι φυλάξω.
εὐδικίην φρούρησα τεὴν ἀκλινέι βουλῇ 102
σῆς ὑποθημοσύνης πεφοβημένος αἰὲν ἀνωγήν.
σὸν παρὰ λαυκανίης ἐπέων νόμον ἡδὺν ἐφεῦρον 103
λαρότερον γλυκερῆς μελικηρίδος ἄμμιν ἐόντα.
πάντα μάλα ξυνέηκα τεῶν χάριν ἐννεσιάων· 104
ἔνθεν πᾶσαν ἄθεσμον ἀπεχθαίρεσκον ἀταρπὸν
σῆς ὑποθημοσύνης πεφοβημένος αἰὲν ἀνωγήν.
λύχνος ἐμοῖς σεο θεσμός, ἄναξ, ποσὶν αἰὲν ἐτύχθη, (ο 14) 105
ἄφθιτον ἡμετέροις καὶ ἀγήραον ἴχνεσι φέγγος.
ὤμοσα σῆς, ἄχραντε, δίκης θέσπισμα φυλάξαι. 106
ἠπεδανὸς γενόμην, ἐπέεσσι δὲ σοῖσι βιῴην. 107
γλώσσης ἡμετέρης καταθύμια καὶ σὺ κελεύοις 108
καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.
ἦτορ ἐμὸν παλάμῃσι διηνεκέως σέθεν ἴσχω 109
οὐδέ σεθεν θεσμοῖο φερεζώοιο λαθοίμην.
ἄμμιν ἐτεκτήναντο λίνον κακομήχανοι ἄνδρες, 110
οὐ δὲ τεῆς ἀπάνευθεν ἐφημοσύνης ἀλαλήμην.
μαρτυρίας βασιλῆος ἕλον ζωαρκέα κλῆρον, 111
οὕνεκα τερπωλὴ κραδίης γεγάασιν ἐμεῖο.
σάς, μάκαρ, εὐδικίας κραδίῃ ποθέεσκον ἀνύσσαι, 112
ὥς κεν ἀμοιβαίοις ἀγαθοῖς ἐμὸν ἦτορ ἰαίνοις.
θεσμὸν σὸν φιλέεσκον, ἀτὰρ στυγέεσκον ἀθέσμους. (p 15) 113

188 φίλον *M*. — 190 ἀρωγήν *O*. — 191 παρὰ *VOΩ*; περα *S*; περ *DM*; περὶ *Rv*. — λευκανίης sic *VOΩ*; -ίησ’ $L^2$ pc.; -ίην *Rv*; -ίῃ *P*. — 192 λαρότερον Mommsen 271; λαβρ- *Vb**c**; λαυρ- *Ω*. — γλυκεροῖς $L^1$, cr. $L^2$. — 194 μον ἀπ. ἀτ. σ. ὑποθη om. *S*. — 195 (= 190) hab. *VOΩ*; notam ⁛ praescripsit $L^2$; om. *PRv*. — ἀρωγήν *O*. — 196 ἐμοῖς *Oc*; ἐμοὶ *V*; ἐμὸς *Ω*. — 198 ἄχρατε *O*; -ανται *S*. — 199 βιώην *VOLS*. — 203 θεσμοῖς *S*. — φερεζώοι *O*; -ώοις *S*. — 204 κακομήχανοι *VΩ*; γρ′ κακομήχανον ss. *P*. — 206 ἕλεν *O*. — 207 τερπωλῇ *D*($L^1$)*MS*. — 208 ἀνύσσαι *P*; -ύσαι *DLMRS*; -ῦσαι *VOv*. — 209 ἀμοιβαίοις *Obcm*; ἀμει- *VαΩ*. — ἀγαθοῖσιν ἐ. *O*.

*ἄλκαϱ ἐμὸν τελέθεις καὶ ἐμῆς ἐπιτάϱϱοθος ἀλκῆς,* 114
*ἐλπίδα κυδιάνειϱαν ἔχον σέο πάντοτε μύθοις.*
*εἴξατέ μοι, στυγεϱῶν ὑποφήτοϱες ἀμπλακιάων,* 115
*ὥς κεν ἀνιχνεύσαιμι θεοῦ βασιλῆος ἐφετμάς.*
*ἀμφὶ τεοῖς ἐπέεσσιν ἀϱηγόνα χεῖϱα τιταίνοις* 116
*μηδὲ καταισχύνῃς με τεὴν δεδοκημένον ἀλκήν.*
*τειϱομένῳ μοι ἄϱηγε, μακάϱτατε, καί με σαώσοις·* 117
*σεῖο δ' ἐπ' εὐδικίῃσι διηνεκέως μελετήσω.*
*εὐδικίην ἀθέϱιξας ἀπεχθαίϱοντας ἀλείτας,* 118
*οὕνεκα δυσσεβέων ἐνθύμιόν ἐστιν ἀλιτϱόν.*
*ὠισάμην σύμπαντας ἀλιτϱαίνοντας ἀθέσμους·* 119
*τοὔνεκεν ἀμφαγάπησα χάϱιν σέο μαϱτυϱιάων.*
*δείματι σῷ πεϱίπηξον ἐμὸν δέμας οἷά πεϱ ἥλοις·* 120
*σῶν γὰϱ ὑποτϱομέω σθεναϱὸν κλέος εὐνομιάων.*
*εὐνομίην ἐτέλεσσα δικαιοσύνην τ' ἐϱατεινήν,* (q 16) 121
*μή με βιαζομένοισιν ἕλωϱ καὶ κύϱμα μεθείης.*
*εἰς ἀγαθὸν θεϱάποντα τεόν, πανυπέϱτατε, μίμνοις,* 122
*μηδέ με νικήσωσι δίκῃ ψευδηγόϱοι ἄνδϱες.*
*ὄμματά μευ ποθέεσκον ἀλεξίκακόν σεο φέγγος* 123
*καί σεο συνθεσίης ἀγανὸν καὶ ἀγακλέα μῦθον.*
*σῷ θεϱάποντι, μάκαϱ, ἐλεητύος ἄξια ῥέζοις* 124
*καί με δικαιοσύνην ἐϱικυδέα σεῖο διδάσκοις.*

---

**211** om. *R.* — *τελέθοις S* ac. — **212** *κυδιάνειϱαν* $L^2$*PRv*; *ἣν διά-* *VO*$L^1$*Ω.* — *ἔχων DLM.* — *μύθους P.* — **213** *ὑποφήτοϱες*] add. *ἄνδϱες S.* — **216** *καταισχύνησ̣* sic *V.* — *δεδοκημένος V*; *-νην M.* — **218** *σοῖο R.* — **219** *ἀθεϱίξας OLRS*, ac. *V.* — *ἀλείτης M.* — **221** *ὠϊ* ir. $L^2$; om. *O.* — **222** *οὕνεκεν O.* — *σέο χάϱιν V.* — **224** *ὑποτϱόμεον DM*; *-μεα S.* — **225** *εὐνομίην VOΩ*; *γϱ' δυσνομίη O* im. — **226** Hom. *E* 488 *ἀνδϱάσι δυσμενέεσσιν ἕλωϱ καὶ κύϱμα γένησθε.* — *κῦϱμα VO*$M^2$; *κύϱμαμην D*; *μυϱμα μ̄ M.* — **227** *μίμνοις VO*$L^2$*Ω*; *ποιμὴν D*$L^1$*MS.* — **228** *ψευδήγοϱοι Om.* — **229** *ἀλεξίκον O.* — **230** *ἀγάγὸν* (ω suprascr.) *M.* — **231** *μάκᾱϱ*] v. Rzach[3] 360. — *ἐλεητέος S*, ac. *L.* — *ῥέζοις VOΩ*; *-ξοις DLMS.* — **232** *πεϱικυδέα M.* — *σέο O.*

εἰμὶ τεὸς θεράπων, σοφίην δέ μοι ἐγγυαλίζοις, 125
καί σευ ἀναγνοίην μεληδήματα μαρτυριάων.
ὥρη παμβασιλῆι πολύλλιτον ἔργον ἀνύσσαι· 126
σεῖο κακορρέκται κέδασαν ζωαρκέα θεσμόν·
τοὔνεκα σῶν ἐπόθησα μέγα κλέος ἐννεσιάων 127
χρυσοῦ ἀριπρεπέος τε τοπαζίου πολὺ μᾶλλον·
ἐννεσίαις ἴθυνα τεαῖς νόον ἔνθεν ὀπηδόν, 128
παντοδαπὴν ἤχθηρα βίην ἀδίκους τε κελεύθους.
μαρτυρίαι βασιλῆος ἀεὶ περιθαμβέες εἰσί· (r 17) 129
τοὔνεκ' ἀνιχνεύεσκον ἐμαῖς πραπίδεσσιν ἁπάσας.
σῶν ἐπέων χάρις ἄμμι βίην καὶ φέγγος ὀπάσσοι 130
αἰὲι νηπιάχων σοφίην πραπίδεσσι τιθεῖσα.
πνεῦμα χανὼν ὕψιστον ὑπὸ στέρνοισιν ἐδέγμην, 131
οὕνεκα σῶν ποθέεσκον ἀεὶ κλέος ἐννεσιάων.
ἄμμι τεὴν τανύσειας, ἄναξ, ἐλεήμον' ὀπωπήν, (C) 132
ὡς θέμις ἐκτελέειν ἀγαπαζομένοισιν ἐρίθοις.
σοῖς μευ ἐπιθύνειας ἐπίδρομα βήματα μύθοις, 133
μηδέ τ' ἐλεγχήεσσα κακορραφίη με πεδήσῃ·
ἐκ ψευδηγορίης μερόπων ὀλοῆς με σαώσοις, 134
καί σεθεν ἐννεσίας ἀγαθὰς στέρνοισι φυλάξω.
δευομένῳ θεράποντι τεὴν ἀνάφηνον ὀπωπὴν 135

---

**233** εἰ μὴ *S*. — **235** ὥρῃ *R*. — ἀνύσσαι *P*; -ύσαι *DLMPR*; -ῦσαι *VOv*. — **237** οὕνεκα *O*. — σῶν *VOΩ*; σὸν *PRa*. — **238** ἀριπρέος *V*; -πρεπέως *S* ac. — τε om. *OS*. — τοπαζίον *M*; -άζιον *R*. — **239** ἐννεσίῃς (-ης) ἴ. τεῇς (-ῆς) *VΩ*. — όον *D*; ὅον *MS*. — **240** ἤχθηρα *Obc*; ἤχθη- *a*. — **242** οὕνεκ' *O*. — ἐμῇς *Ω*. — πραπίδεσσι]ν ἁπάσας ir. $L^2$. — **243** et **244** om. $L^1$, add. $L^2$ im. — χάριν *M*, ac. *S*. — χαρῖς ἄμμιν *O*. — **244** τεθεῖσα *DMS*. — **247** μμι *V*. — τεῆς ἀνύσειας *S*. — ἐλεῆμον' *V*; -ῆμον *O*; -ήμων *DMS*. — **248** θέμιν *DMS*. — ἐρίθοις *PRv*; -φοις *VOΩ*. — **249** οἷς *S*. — ἐπίδρομα $VL^2Ω$; -μον $DL^1MS$. — **250** om. *R*. — μηδέ τ' *P*; μὴ δέ τ' *VO*; μὴ δὲ τ' $L^2$, μὴ δὲ $L^1$; μὴ δ' *DMS*; μηδὲ *v*; μήποτ' vel μήτις Ritter 17; μηδ' ἐπ' Scheindler[1] 907. — **251** σαώσεις *M*.

*καί με δικαιοσύνην ἐρικυδέα σεῖο διδάσκοις.*
*δακρυόεντα κέλευθα φίλης προχέεσκον ὀπωπῆς,* 136
*οὕνεκα θεσπεσίων ὑπερέδραμον ἤθεα θεσμῶν.*
*ἦ ῥ᾽ ὅσιος βασιλεὺς σὺ καὶ εὐθέα πάντα δικάζεις·* (s 18) 137
*σεῖο δικαιοσύνην ἐπετείλαο μαρτυρίῃσι* 138
*καὶ σθένος ἀστυφέλικτον ἀληθείης ἐρατεινῆς.*
*σεῖο θεοπρεπέων ἄχεϊ κατατήκομαι οἴκων,* 139
*οὕνεκα σῶν ἐλάθοντο κακόφρονες ἐννεσιάων.*
*σεῖο πυρὶ φλεγέθοντι πανείκελος ἔπλετο μῦθος,* 140
*ἀλλά μιν ὧς θεράπων κραδίῃ τεὸς ἀμφαγαπάζοι.*
*ἡβητὴρ τελέθω καὶ ἐλεγχήεις τις ἐτύχθην,* 141
*ἀλλ᾽ αἰεὶ πραπίδεσσι δικαιοσύνας σέο μέλπω.*
*σεῖο δικαιοσύνη παναγήραος ἤματα πάντα* 142
*καί σευ ἀληθείη πινυτοῖς θεσμοῖσιν ὀπηδεῖ.*
*μόχθός με στυγερὸς καὶ ἀμήχανοι ἔσχον ἀνάγκαι,* 143
*ἀλλ᾽ οὐδ᾽ ὧς λαθόμην μεληδήματα σεῖο λιγαίνειν.*
*μαρτυρίας ὁσίων φορέεις ἐγκύμονας ἔργων,* 144
*δός μοι, ἄναξ, πινυτήν, βίοτος δέ μοι ἄρκιος εἴη.*
*ἐκ θυμοῦ βοάασκον ὅλων τ᾽ ἀπ᾽ ἐμεῖο στέρνων·* (t 19) 145
*κέκλυθί μευ, μάκαρ, ἰχνεύσω δὲ τεοὺς μάλα θεσμούς.*
*ἐκ θυμοῦ βοάασκον, ἀκήρατε, καί με σαώσοις,* 146

---

**255** *κέλευθον O.* — *φίλοις* $L^1S$, cr. $L^2$. — **257** *ἦρ᾽ M*; *ἦρ S*; *ῥ᾽ O.* — *δικάζεις VPRv*; *-οις OΩ.* — **258** *μαρτυρίοισιν S.* — **260** *ἄχεϊ*] cf. 87, 27. 90, 2. Rzach[1] 752. [3] 335. — *οἴκω]ν* eras. *L.* — **262** *πυρὶ φλεγέθοντι DLPSm**; *πυριφλ- VΩ.* — **263** *ὧς VΩ*; *ὡς DMPS.* — *τεὸς VΩ*; *τε ὧς L*; *τε ὃς S.* — *ἀμφαγαπάζοι VΩ*; *-ζει PR.* — **264** *γητὴρ O.* — *ἐλεγχύεις* $DM^1$; *-είης* $M^2$. — *τίς VO.* — *ἐτύχθην* $VOM^2Ω$; *-θη* $M^1Ra$. — **267** *ὀπηδεῖ V*; *επ- D*, ac. *M.* — **268** *ἀμήχανοι* (*-νος DMS*) *ἔσχον ἀνάγκαι* (*-κης O*) *VSΩ*; *-νος ἔσχεν ἀνάγκη L.* — **269** *ὧς VΩ*; *ὡς M.* — *λιγαίνει D*, ac. *M.* — **270** *φορέοις O.* — **271** *βίοτο S.* — **272** et 273 spurios add. $L^2$ im.; *ἐκ θυμοῦ βοάασκον, ἄναξ, σὺ δὲ κέκλυθι αὐδῆς· | εὐδικίας πραπίδεσσι σέθεν, μάκαρ, ἰχνεύσοιμι* (*-σαιμι* ac.?) substituit *P*; om. *VΩ.* — **274** *ἀκύρατε* $L^1$, cr. $L^2$. — *καί με σαώσοις VΩ*, ir. $L^2$; *καί με* usque ad *ἀκήρατε* 276 om. $DL^1MS$. — *σάωσον O.*

*καί σεο μαρτυρίας ἀγαθὰς στέρνοισι φυλάξω.*
*προφθάμενος βοάασκον, ἀκήρατε, νυκτὸς ἀμολγῷ* 147
*ἐλπωρὴν βασιλῆος ἐμὴν ἐπέεσσι πετάσσας.*
*ὄμματά μευ προύκυψε θοῶς μετὰ καιρὸν ἕωθεν,* 148
*ὄφρα τεῶν ἐπέων μελεδήματα καλὰ βοήσω.*
*φωνῆς ἡμετέρης ἐλεήμονι κέκλυθι θυμῷ,* 149
*σῆσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.*
*δυσνομίην ἐλατῆρες ἐμοὶ συνέριθον ἔχεσκον,* 150
*σεῖο δὲ τιμήεντα φύγον καὶ ἀγακλέα θεσμόν.*
*ἐγγύς, ἄναξ, καί σευ παναληθέες εἰσὶν ἀταρποί.* 151
*ἐξ εὐηγεσίης ἐδάην σέο μαρτυριάων,* 152
*νωλεμέως ὅτι πιστὰ θεμείλια πήξαο πᾶσιν.*
*ἀδρανίην μευ, ἄναξ, ἐπιδέρκεο καί με σαώσοις,* (v 20) 153
*θεσμὸν ἐπεὶ πραπίδεσσι τεὸν μεμνημένος ἴσχω.*
*ῥυσάμενος, βασιλεῦ, με δίκην δικάσειας ἐμεῖο,* 154
*ἡμετέρου βιότοιο τεὸς λόγος αἴτιος ἔστω.*
*δυσσεβέων ἀπάνευθεν ἀλεξίκακόν σεο φέγγος·* 155
*σεῖο γὰρ ἐξελάθοντο δικαιοσύνας ἐρεείνειν.*
*οἰκτιρμοὶ βασιλῆος ἀπειρέσιοι γεγάασι·* 156
*σῆσιν ἐμὴν ἴθυνον ὑπ' εὐδικίῃσιν ἀταρπόν.*
*μυρίοι ἐξελάοντες ἐπιβρίθουσί με μόχθοις,* 157
*ἀλλ' οὐδ' ὣς ἀπάνευθε τράπην σέο μαρτυριάων.*

---

**276** *ῥό*(ras.)*φθασάμενος O.* — **277** *πετάσσας VPbcm*, pc. *O*; *-άσας Ω*, ac. *O.* — **278** *προύκυψε v*; *προὔκ- ORm*; *προὔτ- VP*; *προύτ- DLMS.* — *μετὰ* addubitat Mommsen 266. — **281** *ἐπ' O.* — **282** *ἐλατῆρας* $L^1$, cr. $L^2$. — **285** *εὐηγεσίης VΩ* (cf. 144, 36. Hom. τ 114. Mommsen 267 sq.); *εὐεργ- L.* — *ἐδάη M.* — **286** *πήξ*(ras.)*αο L*; *-ξϊαο S*; *-ξας VM*; *πῆξας O.* — **287** *ἐμεῦ L.* — *ἐπεδέρκεο S.* — **288** *ἐπεὶ Rv*, pc. *P*; *ἐπὶ VOΩ.* — *πραπήδεσι S.* — **289** *ἐμοῖο O.* — **291** *ἀλεξίκακον σέο* (*-κόν σεο m*) *φέγγος PRv*; *-κακον δὴ φέγγος* $L^2$; *-κακος* sic $ODL^1MS$. — *φάος δυσσεβέων ἀπ. ἀλεξίκακόν γε* substituit *V.* — **294** *ἰθύνοον O.* — **295** *μυρίοι* in *μύριοι* cr. *M.* — **296** *ὣς Ω*; *ὡς S.*

*ἀφροσύνης θεράποντας ἰδὼν κατατήκομαι ἦτορ,* 158
*οἷσι νόος σέο μῦθον, ἄναξ, ἠρνεῖτο φυλάσσειν.*
*φράζευ, ὅπως περὶ σῇσιν ἐφημοσύναις μεμέλημαι·* 159
*ἐλπωρὴν βιότοιο τεὴν ἐλεητὺν ἑλοίμην.*
*σῶν μὲν ἀληθείην προστήσαο μητέρα μύθων,* 160
*τοῖσι δ' ἐπ' εὐδικίας ἐπετείλαο πάντοτε θεσμόν.*
*μαψιδίως μ' ἐδίωκον ἀναιδέες ἡγεμονῆες,* (x 21) 161
*μοῦνα δὲ σῶν τρομέεσκον ἐμῇ φρενὶ δείματα μύθων.*
*ἀμφὶ τεοῖς ἐπέεσσι φίλον κεχαρήσομαι ἦτορ* 162
*ὥς τις ἀπαινύμενος δηίων ἄπο ληίδα πολλήν.*
*δυσνομίην ἔστυξα τεὸν νόμον ἀμφαγαπάζων.* 163
*ἑπτάκις ἠμάτιός τοι, ἄναξ, τεὸν ᾔνεσα κῦδος* 164
*ἔργα δικαιοσύνης μεγαλαυχέα σεῖο λιγαίνων.*
*εἰρήνη βασιλῆος ὑποδρηστῆρας ἐρύκοι,* 165
*οὐδέ τι νεῖκος ἔχουσι μετὰ σφίσιν ὁρμηθέντες.*
*σὸν φάος ᾠσάμην, σέο δ' ἐννεσίας ἐπόθησα·* 166
*μαρτυρίας ἐφύλαξα τεὰς ἀγάπησά τε θυμῷ·* 167
*ἐννεσίας ἐφύλαξα καὶ ἁρμονίας ἐρατεινάς·* 168
*ἔγνως νωιτέρων κατεναντία τέρμα κελεύθων.*
*ἱκεσίη βασιλῆος ἐμὴ προπάροιθεν ἱκέσθω,* (y 22) 169
*μύθων σῶν πινυτὴν ἀντάξιον ἄμμιν ἰάλλοις.*
*σεῦ, μάκαρ, ἡμετέρων χάρις ἵξεται ἄντα λιτάων,* 170
*ἀλκτήρ μοι κακότητος ἀεί σεο μῦθος ἐπέστω.*

---

**297** *εἶδον κατατηκόμην O.* — **298** *μῦθος O.* — **299** *ἐφημοσύνῃς (-ης) Ω.* — **303** *ἐδίωκε M.* — *ἀνεδεύες S.* — **304** *δὲ* om. *M.* — **305** *τεοῖς ἔπεσι DS*; *τεοῖσιν* (ir.) *ἔπεσσι* (ex *πεσι* cr.) *M.* — *φίλων DMS.* — **306** *δηίων V*$L^1$*Ω*; *δα-* $L^2$. — *ἄπο Vbcgm*; *ἀπὸ O*; *ἄπο Ωa.* — **308** *ἠμάτιός OL*; *-ος S*; *ἠμέ* sic *M.* — **310** *ὑποδρηστῆρας VΩ*; *-ρος DLMS.* — **311** *μετὰ V*$L^2$*Ω*; *κατὰ D*$L^1$*M* (*-τα S*). — **313** om. $L^1$, add. $L^2$ im. — *ἀγάπησά* $L^2$*cm*; *ἠγ- VOΩ*; *ἠγαπήσα S.* — **314** *ἐννεσίας* ir. $L^2$. — *ἐφύλαξα*] *τεὰς* add. *MPR*: v. Lch[5] 301. — **315** *κατεναντίον O*; *κατ' ἐναντία M.* — *τέρμα*]*τα* add. $L^2$. — **319** *ἀεὶ VΩ*; *καὶ ἀεὶ O.* — *ἐπέστω V*$L^2$*Ω*; *ἐπέτω S*; *ἐπ- D*$L^1$$M^1$ (*ἴσως· ἐπέσθω* $M^2$ im.).

*χείλεσιν εὐκελάδοισι μέλος φιλόμολπον ἀείσω,* 171
*εὖτε δικαιοσύνην μ᾽ ἐρικυδέα σεῖο διδάξῃς·*
*γλῶσσα τεὸν φθέγξαιτο φίλον ζωαρκέα μῦθον,* 172
*ἐννεσίαις ὅτι σῇσι δικαιοσύνην ἐκέρασσας.*
*δεξιτερὴν τανύσειας, ἄναξ, σέο καί με σαώσοις,* 173
*οὕνεκα σῶν ἄπληστα λιλαίομαι ἐννεσιάων.*
*ἐκ θυμοῦ ποθέεσκον ἀλεξίκακόν σεο φέγγος,* 174
*γλώσσῃ θεσμοσύνην βασιλήιον ὑμνοπολεύσω.*
*ζώοι θυμὸς ἐμεῦ, καί σευ κλυτὸν αἶνον ἀείσω* 175
*καί σεθεν εὐδικίῃσιν ἀεὶ μεμελημένος εἴην.*
*εἰροπόκου προβάτου καὶ ὀλωλότος ἶσον ἀλήθην·* 176
*μνήμονα σὸν θεράποντα τεῆς ἴχνευσον ἀνωγῆς.*

## ριθ′ (119)

*Ἑνδεκάτη δεκὰς ἥδε πρὸς εἰνάτῃ ἄφθιτος οἴμη,*
*ᾠδὴ κλιμακόεσσα φερεζώων ἀναβαθμῶν.*

*Τειρόμενος βοάασκον, ἄναξ δ᾽ ἐπάκουσε λιτάων.* 1
*χειλέων ἐξ ἀδίκων ἐμόν, ἄφθιτε, ῥύεο θυμόν·* 2
*μή με, μάκαρ, γλώσσαις δολίαις μέλπηθρον ἐάσῃς.*
*γλώσσῃ, ἄναξ, δολερῇ τί νύ τις πόροι ἢ τί προσέσται;* 3
*ἀλκήεντος ἔασι τεθηγμένοι αἰὲν ὀιστοὶ* 4

---

**321** *ἀλκτήρ* ante *εὖτε* add. *L*[1], expunxit *L*[2]. — **323** *ἐννεσίῃς* (-ης) *VΩ*. — *καιοσύνην O*. — *ἐκέρασσας VObcm*; *-ασας Ω*; *-ασα L*. — **324** *σέο VΩ*; om. *L*[1], *σεῖο L*[2] ss. — **325** *ἄπληστα L*[2]; *ἱερῶν V*; om. *O*; *ἀμωμήτων L*[1]*M*; *ἀνομΐτων S*; *πραπίδεσσι* (ex 65 ?) *PRv*. — **327** *γλώσσῃ* (-η) *MPRv*; *-ης VOΩ*. — *θεσμοσύνης S*. — **328** *ώη O*; *ζώη PR*. — *ἐμεῦ* scripsi; *ἐμεῖο VΩ*, pc. *S*; *ἐμοῖο L*[1], ac. *S*; *ἐμὸς L*[2]. — *καὶ σεῦ O*. — *ἀείσω VOΩ*; *-σει PRv*. — **330** *εἰροπόκου προβάτου OΩ*; *-κῳ -τῳ V*, ir. *P*. — *ὀλωλότος ORv*; *-τι VDLMPS*. — *ἀλήθην D*; *ἀλήθειν LS*.

*Υ* 119, **1** post 2 posuit *P*. — *ἥδε VL*[2]*Ω*; *ἡ δὲ DL*[1]*MS*; *ἠδὲ R*. — *εἰνάτῃ c*; *εἰνάτη VM*; *εἰ- ODS*; *εἰνάτην Ω*; *εἰ- L*. — *οἴμη Ω*; *οἴ- O*. — *Ψ* 119, **3** om. *O*. — *γλώσσῃς* (-ης) *δολίῃς* (-ης) *VΩ*. — *ἐάσῃς* (-ης) *VDMPS*; *ἐάσσ- Ω*. — **4** *τις* om. *M*. — *πόροι Ω*; *πέλει O*. — *τί VObcΩ*; *τι M*; *τὶ a*. — **5** *ἀλκήεντος VL*[1]*Ω*; *-τες ODL*[2]*M*. — *ἔασι VOM*[1]*Ωm*; *ἔασσι M*[2]*Rv*; *αἴασι S*.

*θηροκόμου φλογεροῖσιν ὁμῶς ἄνθραξιν ἐρήμου.*
*ὤμοι, ἐπεὶ μάλα δηρὸν ἐπὶ χθονὸς οἰκία ναίω* 5
*Κηδᾶρος καλύβῃσι συνέστια δώματα πήξας.*
*δηρὸν ναιετάασκον ἐπ᾽ ὀθνείῃσιν ἀρούραις·* 6
*εἰρήνην μετὰ πᾶσι φιλοπτολέμοισι δίωκον·* 7
*εἰς μόθον ὠτρύνοντο μάτην λαλέοντος ἐμεῖο.*

## ρκ΄ (120)

*Δωδεκάτη δεκὰς ἥδε φερεζώων ἀναβαθμῶν.*

*Ὄμματα δενδροκόμων ὀρέων ὑπερεξετάνυσσα* 1
*ἀλκὴν ἡμετέρης ποτιδέγμενος ἔνθεν ἀρωγῆς.*
*κάρτος ἐμὸν βασιλῆι παρ᾽ ἀλκήεντι τετύχθω,* 2
*ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.*
*ἀλλὰ φίλον μὴ σεῖο πόδα κλονέεσθαι ἐάσῃς,* 3
*μηδέ σευ ἀγρύπνου φύλακος νόον ὕπνος ἐρύξῃ·*
*οὐ γὰρ νευστάζοντα λάβοι κάτα νήδυμος ὕπνος* 4
*φρουρὸν ἀγακλήεντα πολύφρονος Ἰσραήλου.*
*δεξιτερήν σεο χεῖρα θεὸς σκεπάσειε φυλάσσων·* 5
*οὔ σε πανημέριον φλέξοι μένος ἠελίοιο* 6

---

7 *ὤμη S*; *ᾧμοι v*. — *ναίω]ν* eras. *L*. — 8 *κηδᾶρος* $L^2$*Pbcm*; *κηδάρ- Va*; *ϊδᾶ- O*; *κιδά- R*; *κηδὰρ ὡς DMS*; *᾽κεῖ δ᾽ ἆρ ὡς* $L^1$. — 9 *ναιετάεσκον O*. — *ἐποθανείησιν S*. — 10 *εἰρήνην VOΩm*; *-νης v*: cf. Lch[5] 301. — *διώκον* (superscr. *ει*) *M*. — 11 *ἰς O*; *ἐς VΩ*. — *ὠτρύνοντο PRv* (cf. 121, 6); *ὀτρ- VOΩ*; *ὀτρύνοντη* ex *-τες* cr. *S*. — *λαλέοντες P*. — *ἐμοῖο O*.

*Υ* 120 *ἧδε S*; *ἥδε Ω*; *ἤδε M*. — *Ψ* 120, 1 *ὑπερεξετάνυσσα Ω* (*-νυσα O*); *ὑπεξ- V*; *ἐπεξ- O*; an *ὕπερ ἐξ-*? cf. Volkmann 76. — 2 *ἀρωγαῖς D* ac. — 3 *ἐμὸν VΩ*; *ἐμῷ L*. — *ἀλκήεντι V*$L^2$*Ω*; *εὐκλή-* $L^1$; *ἀκλύ- S*. — 4 (= 113, 49) om. *D*$L^1$*MS*, add. $L^2$ im. — *χλωρήν L*. — 5 *φίλον O* pc.; *-ος VΩ*, ac. *O*. — *ἐάσῃς* (*-ης*) *VOΩ* (*ἑ- M*); *ἐάσσ- v*; *ἐάσσῃ bm*. — 6 *ἀγρύπνου Ω*, im. *S*; *ἀδίκου S* it. — *ἐρύξει O*. — 7 *νευστάζοντα VOΩ* (cf. Hom. *Υ* 162); *νυστ-* Hoeschel. — *λάβοι VΩ*, ac. *O*; *-βη O* pc. — *κάτα Pm*; *κατα VLS*, pc. *O*; *κατὰ Ω*, ac. *O*. — 8 *ἀγακλήεντα VOΩm*; *-είεντα Rv*. — *περίφρονος* est 151, 17. — 9 *σκεπάσσειε L*; *-άσεις S*. — 10 *φλέξοι D*$L^1$*MS*; *-ει V*$L^2$*Ω*.

οὐδέ σε παννυχίη κεραὴ σίνοιτο σελήνη.
παντοίης κακότητος ἄναξ σ' ἀπάνευθεν ἐρύκοι 7
ψυχῆς σῆς ἀλέγων, ἵνα μή ποτε ἄλγος ἐφεύροι.
ἄφθιτος εἰσελάοντα καὶ ἐξελάοντά σε θάλποι 8
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.

## ρκα΄ (121)

*Δωδεκάτη δεκὰς ἥδε παλίσσυτος εἰς μίαν οἴμην.*

Ἀνδρῶν ὡς πυθόμην, πολὺ δὴ πολὺ θυμὸν ἰάνθην, 1
οἵ με θεοῦ πρὸς δῶμα συνέμπορον εἶπον ἱκέσθαι.
ἔνθ' Ἱερουσαλῆς ἱερὰς ἀμφέσταμεν αὐλάς· 2
ἡ δέ οἱ οἷα πόλις τεκταίνετο τιμήεσσα, 3
ἀμφὶ δέ μιν ξυνάγερθεν, ὅσοι πέλας εἰσὶ θυραῖοι·
κεῖθι γὰρ ὠτρύνοντο μολεῖν δυοκαίδεκα φυλαί, 4
δήμων μαρτυρίη θεοτερπέος Ἰσραήλου,
ὄφρά κεν ὑμνήσωσιν ἀκήρατον οὔνομα θεῖον.
κεῖσε σοφαὶ πήγνυντο δίκῃ μεμελημέναι ἕδραι, 5
Δαυίδου ῥηξισθενέος μετὰ δώμασι θῶκοι.
εἰρήνην Ἱερουσαλῇ δίζεσθε βαθείην· 6
τούς σε, μάκαρ, φιλέοντας ἀπειρέσιος μένοι ὄλβος.
εἰρήνην βασιλῆος ἔχοι περιώσιος ἀλκή, 7

---

**11** *ὐδὲ* (om. *σε*) *O*. — **12** *ἄναξ σ' OS*, pc. *V*; *σ' ἄναξ* $L^2$; *σ'* sic *DMS*; *ἄναξ V* ac., *v*. — **13** *ἐφεύρῃ O*. — **14** *θάλπει O*. — **15** *γενέθλῃς* (-ης) *VODM*; *-οις S*.

*Υ* 121 *δεκάτη R*. — *παλίσσυτος εἰς* (sic *O*, *ἐς VΩ*) *μίαν οἴμην* (*μϊσαοι- S*) *Ω*, pc. $L^2$; *φερεζώων ἀναβαθμῶν* (ut *Υ* 120) *DMR*; *φέρει δ' ἅμα πρῶτον ἄεισμα P*. — *Ψ* 121, **3** *ἱερυσαλῆς S*; *-ουσαλὴμ L*. — *ἱερὰς* $VOL^2b^*c$; *ἱερὰ ἧς* $DL^1MS$; *ἱερᾶς PRabm*. — *αὐλάς* (-*ὰς*) *VOΩ*; *-ᾶς PRa*. — **4** *ἡ δέ VΩm*; *ἑδέ O*; *ἥδέ v*. — *οἱ* $VL^2Ω$; *τοι* $DL^1MS$. — **6** *ὀτρύνοντο ODM*, pc. *V*. — **8** *ὑμνήσωμεν L*. — *θειων M* ac. — **9** *'κεῖσε L*; *κεῖσαι S*. — *πήγνυν* (ex *πῦ-* cr.) *O*. — **11** *ἱερουσαλῇ* (-ῆ) *VOΩ* (-ὴ *M*); -ὴμ *L*. — *δίζεσθε VΩ*; *-ησθε D*; *-εσθαι OL*; *-ησθαι S*. — **12** *φιλέοντας VΩ* (*φιλή- M* ac.); *ποθέ- L*. — *μένοι VDMS*; *-ει Ω*. — **13** hab. *VODLMPS*; om. *Rv*. — *ἔχει OLP*.

*ἕρκεσιν εὐπύργοισι πέλοι φυσίζοος ὄλβος*
*αὐτοκασιγνήτων καὶ ἐμῶν χάριν, ἄφθιθ', ἑταίρων.* 8
*εἰρήνην λαλέεσκον ἐγὼ σεθεν εἵνεκα βουλῆς·*
*εἵνεκα σεῖο δόμων πόθεόν σεθεν ὄλβια πάντα.* 9

## ρκβ′ (122)

*Δωδεκάτη δεκὰς ἧδε, φέρει δ' ἅμα δεύτερον ὕμνον.*

*Ὀφθαλμοὺς ἀνάειρα πρὸς οὐράνιον βασιλῆα.* 1
*ὡς δ' ὁπότε δμώεσσι φάος μετὰ χερσὶν ἀνάκτων,* 2
*ὡς δ' ὁπότ' ἀμφιπόλοιο φάος μετὰ χερσὶν ἀνάσσης,*
*νωίτερον, μάκαρ, ὄμμα τεῆς ἐπιμαίεται ἀλκῆς,*
*εἰσόκε δευομένοισι τεὴν ἐλεητὺν ὀρέξῃς.*
*ἡμέας ἀλλ' ἐλέαιρε, μακάρτατε, μηδ' ἀπολήγοις,* 3
*ὕβριος εἵνεκα πάντες ἐνεπλήσθημεν ἀνιγρῆς,*
*θυμὸς ἐνὶ στήθεσσι κακῶν βέβριθεν ἑκάστῳ.* 4
*ἀρδράσιν ἀφνειοῖσιν ὀνείδεα πικρὰ λελείφθω,*
*αὐτὰρ ὑπερφιάλοισιν ἐλέγχεα πάντα τετύχθω.*

## ρκγ′ (123)

*Ἧδε δυωδεκάτη τρίτατον δεκὰς ὕμνον ἄγουσα.*

*Ἡμέων εἰ μὴ φρουρὸς ἔην ἐρυσίπτολις ἐσσήν,* 1

---

14 *εὐπύργοις L.* — *πέλοι V*; *-ει Ω.* — 15 *αὐτοκασιγνήτω PR.* — *ἄφθιθ' VΩ*; *αὖθι θ' O.* — 16 *καλέεσκον* $L^{1}$, cr. $L^{2}$. — 17 *ἕνεκα* $L^{2}$ ir.; *ἔνθα VODMS*; *ἔνθα τε P*; *ἔνθα δὲ Rv.* — *δόμον O.* — *ὄλβον D* ac.

*Υ* 122 *δεκάτη* $L^{1}$, cr. $L^{2}$. — *ὕμνον* om. *DM.* — *Ψ* 122, 1 *ἀνάηρα O*; *-αείρα S*; *-αείρας M.* — 3 im. *γρ′* add. *V.* — *ὁπότε LS.* — *ἀμφιπόλοι O.* — *ἀνάσσης VΩ*, pc. *S*; *-ων S* ac.; *-ειν L*; *-ῃς a.* — 4 *ὄμμα* $VL^{2}Ω$; om. $DL^{1}MS$. — *ἐπιμαίνεται M.* — 5 *ὀρέξῃς* (*-ης*) *VΩ*, pc. *O*; *-εις DLMS*; *-οις O* ac. — 6 *ἐλέαιρε VΩ*; *ἐλέαι O*; *ἐλαίερε L*; *ἔλεραι S.* — 7 *῞μβριος O*; *ὕβρεος DM*; *-εας S.* — *ἀνιγρῆς VΩ*; *-γροῖς O*; *-ηρῆς DM.* — 8 *ἐν DS.* — 9 *λελείφθω VΩ* (*εί* pc. $L^{2}$); *λελή- O*; *λελύ- S.* — 10 *ἐλέγχεα R* pc., *bgm*; *-εγχέα VΩ*; *-εγχαῖα S.*

*Υ* 123 *δυοδεκάτη* $DL^{1}M$ (*-της* ac. *S*); *δωδ- O.* — *ὕμνος S.* — *Ψ* 123, 1 *ἡμέων Ω*; *λέων S.* — *ἐρυσίπτολις* $VM^{2}$; *ῥυσίπτολις* $M^{1}Ω$ (*-λῐ̈* sic *O*): cf. ad Hom. Z 305.

εἰ μὴ φρουρὸς ἔην, λεγέτω μέγας Ἰσραῆλος. 2
ἄμμι κορυσσόμενοι δήιοι μετὰ φύλοπιν ἄνδρες,
καί κε καταβρώξαντες ἔτι ζώοντας ἕλοντο, 3
τῶνδε κοτεσσαμένων φλογερῷ καὶ ἀπηνέι θυμῷ.
καί κε θοὸν βρυχίους κατερήτυεν ἡμέας ὕδωρ, 4
θυμῷ χειμερίοιο παρήλθομεν ὕδατος ὁρμήν,
ψυχὴ δ' ἡμετέρη παρελήλυθεν ἀσταθὲς ὕδωρ. 5
αἰνετός, ὃς θήρην σφετέροις οὐ δῶκεν ὀδοῦσι. 6
νωίτερος στρουθῷ πανομοίιος ἔπτατο θυμὸς 7
δείν' ὀρεσιτρεφέων προφυγὼν λίνα θηρητήρων·
δίκτυον ἐρραίσθη, φύγομεν δ' ἄπρηκτον ἀνάγκην.
ἡμέτερον βασιλῆι παρ' ἀθανάτῳ κράτος ἐστίν, 8
ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.

## ρκδ' (124)

*Δωδεκάτη δεκὰς ἥδε, φέρει δ' ἅμα τέτρατον ὕμνον.*

Οὔρεος ἀθανάτῳ πίσυνοι Σιῶνος ὁμοῖοι· 1
οὐχ Ἱερουσαλῆς ναέτην κλόνος αἰνὸς ἱκάνοι.
οὔρεά οἱ κύκλῳ δήμοιό τε κυκλόθεν ἐσσὴν 2
νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις·

---

**3** κορυσσόμενος *M.* — δήϊον *D* ac.; δηΐ- *M.* — **4** ζώοντας *L*²*Ω*; -τος *DL*¹*MS.* — ἕλοντο *VΩ*; -οιντο *L.* — **5** τῶνδε *O*; τῶν δὲ *VΩ.* — τοῦ δὲ κοτεσσαμένου ss. *P.* — καὶ om. *D.* — **6** κε *VΩ*, ir. *L*²; add. καταβρώξαντες (ex 4) *DL*¹*MS*, del. *L*²*M.* — βροχίους *L*¹, cr. *L*². — κατεῥήτυεν *S*; -ρήτηεν *O.* — ἡμέας ὕδωρ serius add. *L.* — **7** ὁρμῇ *O.* — **8** ψυχῇ *P.* — **9** σφετέρης *DLMS.* — **10** στρουθοῦ *gm.* — **11** δεῖν' *VLS*; εἶν' *O*; δεινῶν *DM*; δεινὰ *PRv.* — ὀρεσιτρεφέων *ODLM* (ὄρ- *S*); -οφέων *V*; ὀρεσσιτρόφων *PRv.* — οὐλό' ὀρεσσιτρόφων Ritter 17; δειν' ἅτ' ὀρ- Scheindler¹ 907. — **12** εὔπρηκτον *LS*; εὔπρι- *DM.* — ἀνάγκαν *abm.* — **13** παρὰ θανάτω *S.* — **14** = 113, 49. al. — τεῦξεν *O.*

*Υ* 124 δωδεκάτης *S*; δωκάτη *O*; δεκάτη *L.* — φέρε *LS.* — θ' *O.* — τέταρτον *L.* — *Ψ* 124, **1** οὔρεος Ritter 18; οὔρεϊ *VΩ*; κυρίῳ Scheindler¹ 907. — **2** ἱερουσαλὴμ *L.* — ἱκάνοι *VΩ*; -νει *PR.* — **3** δήμοιό τε *V*; δήμοι ὅ τε *ODLMS*; δήμου ὅ τε *PRv.* — κύκλοθεν *O*; κυκλώ- *LS.*

*οὐ γὰρ ἀτασθάλλοντος ἄναξ ποτὲ ῥάβδον ἐάσει* 3
*κλήρῳ ἀριπρεπέων ὁσίων ἐναρίθμιον εἶναι,*
*ὡς μὴ ἐπ᾽ ἀμπλακίῃ παλάμας τανύσωσι δίκαιοι.*
*τοῖς ἀγαθοῖς ἀγάθυνον ὁμοῦ τ᾽ ἰθύφροσι θυμῷ,* 4
*τοὺς δὲ λιλαιομένους σκοτίαις βουλῇσι κυδοιμοῦ* 5
*δυσνομίης ἄχραντος ἅμ᾽ ἐργατίνῃσιν ἀπάξει.*
*εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον.*

## ρκε´ (125)

*Δωδεκάτη δεκὰς ἧδε μέλος θ᾽ ἅμα πέμπτον ἔχουσα.*

*Σιῶνος παλίνορσον ἄναξ ὅτε ληίδ᾽ ἀγείρει,* 1
*ἄμμι πολυστονάχων ἀχέων παραμύθιον ἦεν.*
*ἆ πόσον ἐμπλησθέντες ἀνὰ στόμα χάρμα φέροιμεν,* 2
*τερπωλῆς δ᾽ ἐρόεσσαν ὅλης ἐγκύμονα γλῶσσαν.*
*καί κέ τις ἀλλοδαπῶν ἐρέει καὶ νόσφιν ἀκούσας·*
*„ταῦτα θεοῦ βασιλῆος ἔφυ μεγαλαυχέα ἔργα.“* 3
*ἄμμες ἐπ᾽ εὐφροσύνῃ τε καὶ ἀγλαΐῃ θαλέθοιμεν.*
*ἡμετέρην στρέψειας ἀλήμονα ληίδα, ποιμήν,* 4
*οἷα Νότου πνοιῇ στρέφεται χειμάρροος αἰνός.*
*δάκρυσιν οἱ σπείροντες ἐπαμήσουσι χαρέντες.* 5

---

**5** *ῥαῦδον O*; *ῥᾶβ- Ra*; *ῥάβ- P*. — *ἐάσσει v*. — **6** *ἀριπρεπώων O*. — **7** *τανύσωσι* $VL^2\Omega$; *-σουσι* $DL^1MS$. — **9** *σκοτίῃς (-ης) VΩ*. — **κυδοιμοῦ** $L^2\Omega$; *-μοῖ DS*; *-μοὶ* $L^1$; *-μοῖο M*. — **11** = 127, 13. — *ἰσραῆλον VΩ*, pc. *P*; *-ήλον DLS* (*ἰσδρα- M*).

*Υ* 125 *ἧδε S*; *ἥδε Ω*; om. *V*. — *Ψ* 125, **1** *ἀγείρει VΩ*; *-ρῃ L*. — **2** **πολυστονάχων** *v* (cf. Volkmann 75); *-στενάχων VOΩ*. — **3** *ἆ VΩ*; *γρ´ αἲ P* ss. — *πόσον VΩm*; *τό- v*. — *ἀμπλησθέντες L*. — *φέρομεν S*. — **5** *κε τίς OL*. — **6** *βασιλέως λῆος* sic *D*. — versum excidisse ci. Mommsen 261. — **7** *ἄμμες c*; *ἡμεῖς Ω*. — *θαλέθοιμεν VOΩ*; *τελέθ- PRv*. — **8** *ἡμετέρην* $VL^2\Omega$; *-αν P*; *-ων* $L^1$. — **9** *νότον M*. — *πνοιὴ* $L^1$, cr. $L^2$. — *στρέφονται O*. — *χειμάρροος* $VL^2\Omega$; *-ροι O*; *χείμαρρος* $L^1$. — *αἰνός* $VL^2\Omega$; *-ῶς O*($L^1$?). — **9** iterat *a*. — **10** *ἐπαμήσουσι Vm**; *-σωσι Ω* (*ἐπ᾽ ἀμή- PR*).

γειοπόνοι στενάχιζον ἑὸν σπόρον ἐξαγαγόντες, 6
ἀντ᾽ ὀλοοῦ δὲ φέροιντο γόου ποτὶ δράγμασι χάρμα.

## ρκϛ΄ (126)

*Δωδεκάτη δεκὰς ἥδε, μέλος δ᾽ ἔχει ἕκτον ἀγητόν.*

*Εἰ μὴ παμβασιλεὺς ἐθέλων δωμήσεται οἶκον,* 1
*ἆ πόσα μοχθίζουσι μάτην περὶ τέκτονες ἄνδρες·*
*εἰ μὴ παμβασιλεὺς ἀριδείκετον ἄστυ φυλάξῃ,*
*μαψιδίως ἄγρυπνον ἔχει πυλαωρὸς ὀπωπήν.* 2
*ἐκ δ᾽ ἠοῦς κενεὴ πέλεται φυλακή τις ἑκάστῳ·*
*ἔγρεσθε, τί μοι ὧδε κατὰ σφέας ἑδριάασθε*
*δαιτὸς ἀπαινύμενοι μογερῆς πολυώδυνον ἄρτον;*
*εὖτε γὰρ οἷσι φίλοισι μόλοι περινήδυμος ὕπνος,*
*δέρκεό μοι βασιλῆος ἰὼν κλῆρόν τε καὶ υἷας,* 3
*γαστρὸς καρποτόκοιο φίλον καὶ ἀγακλέα μισθόν·*
*ὥς τε γὰρ ἀλκήεντι πέλει μετὰ χερσὶ βέλεμνα,* 4
*ὧδε τιναχθέντων σθεναροὺς θηήσεται υἷας.*
*ὄλβιος, ὅς τίς ἔθεν φίλον ἵμερον ἐκτολυπεύσει·* 5
*οὐδ᾽ ἐχθροῖς λαλέοντας ἕλοι ψύθος ἄντα πυλάων.*

---

11 *γειοπόνοι VOΩv**; *αἰοπ- P*; *γειαρόται Rv*. — 12 *αὐτολοὸν M*. — *δὲ* et *γόου* om. *L*. — *γόον M*. — *ποτϊδεάγματα O*: cf. 128, 12.

*Υ* 126 *ἥδε S*; *ἧδε Ω*. — *ἀγητόν VΩ*; *εἰλιτὸν M*. — *Ψ* 126, 2 *μοχθήζουσι S*; *-ήσουσι gm*. — *περὶ R*; *πέρι Pv*; *περι VmΩ*. — *τέκτυνος S*. — 3 *ἀριδείκετος O*. — *φυλάξῃ VDLM*, pc. *S*; *-ξει* (nunc abest *O*) *Ω*. — 5 *κενεῆ D*; *με- S*; *κενεή τις O*. — *φυλακὴ* (om. *τις*) *O*. — 6 *ἔγρεσθε*] cf. Ritter 29. Hilberg 49. Rzach[3] 322. 328; an *ἔγρεσθ᾽, εἰς*? — *κατα OS*; *μετὰ bm*. — 8 *μόλοι VΩ*; *-οιν S* ac.; *μ᾽ ἕλοι PR*. — *περινήδυμος VΩ*; *περινύδη- L*; *πέρι νήδυ- Pbcm*; *περὶν ἥδυ- S*. — *ὕμνος M* ac. — 9 v. ad 12. — 11 om. it., add. im. *O*. — *ὥστε VDLPS*; *῞στε O*; *ὥς γε M*; *οἷα PRv*. — *χερσὶ VΩ*; *φρεσὶ O*. — 12 ante 10 collocarunt *DL*[1]*MS*, cr. *L*[2]. — 14 *λαλέοντας VOΩc* (*καλ- M*); *-τες PRv*; *-τος m**. — *ψυθος* (ss. *μῦ*) *M*.

## ρκζ' (127)

*Ἕβδομον ἀμφιέπουσα δυωδεκάτη δεκὰς ὕμνον.*

*Ὄλβιοι, οἷσι μέμηλε μετὰ σφίσι δεῖμα θεοῖο,* 1
*οἷσιν ὁδῷ βασιλῆος ἀεὶ πόδες εἰσὶν ἑτοῖμοι.*
*τέρψεαι, ὧν ἐμόγησας, ἔδων μελιηδέα καρπόν·* 2
*ἔσταί τοι καλὰ πάντα, βροτῶν δ' ὄλβιστος ἀκούσεις.*
*σὴ δάμαρ ἡμερίδι πανομοίιος οἶκον ἐρέψει·* 3
*υἱέες αὖ νεαραῖς ἴκελοι γεγαῶτες ἐλαίαις*
*ἀμφὶ τεῆς θαλέθοντες ἱκοίατο κύκλα τραπέζης.*
*ὧδε μάλ' ὀλβίζοινθ', ὁπόσοι τρομέουσιν ἄνακτα.* 4
*ἄφθιτον ἐκ Σιῶνος ἔχοις βασιλήιον αἶνον,* 5
*θεσπεσίης δ' Ἱερουσαλῆς θηήσεαι ὄλβον*
*ἀκαμάτου βιότοιο διαμπερὲς ἤματα πάντα,*
*υἱωνοὺς περὶ παισὶ φίλοις ὅσσοισι νοήσεις.* 6
*εἰρήνη χαρίεσσα μετὰ κλυτὸν Ἰσραῆλον.*

## ρκη' (128)

*Ὄγδοον ἀστράπτουσα δυωδεκάτη δεκὰς ὕμνον.*

*Πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν ἀυτήν,* 1

---

*Υ* 127 *ἀμφιέπει τε R.* — *δυοδεκάτη DM*; *διαδ- S.* — *ὕμνον VL²PRv*; *-ος L¹Ωa.* — *Ψ* 127, **1** *ὄλβιος L¹*, cr. *L²*. — **2** *οἷσιν VΩ*; *οἷς ἐν L*; *οἷς ν S*; *οἷς D.* — **3** *τέρψε]αι* ir. *L²*; *-εται DMS.* — *ἔδων OD*; *ἔδω S.* — *μεληϊδέα L*; *-ηδέα* (superscr. *ϊ*) *S*; *-εηδέα gm.* — **4** *σταί O.* — *τοι* ir. *L²*; *τϊ S.* — *ὄλβιστον Sv*.* — *ἀκούσεις VΩ*; *-σης L*; *-σσης S.* — **5** *ἡμερίδη S* ac.: cf. Rzach[1] 752. [3] 335. — *οἶκαι M.* — *ἐρέψειν VDLMS.* — **6** *γεγονότες V.* — **7** *κύκλοι S.* — Nonn. met. Φ 75 *μιῆς ὑπὸ κύκλα τραπέζης.* — **8** *ὀλβίζοινθ' VOL²Ω* (*-ζοιντ' L¹*); *ὀλβιάζοινθ' PRv.* — **9** *ἄφθινον O* ac. — *ἔχοις VΩ*; *-εις ODLMS.* — **10** *θηήσε]αι* ir. *L²*; *-σεται DPS*; *θεήσεαι M* ir. — **12** *ἰωνοὺς O.* — *πέσσὶ* (superscr. *αι*) *O*; *πεσὶ M* ac.; *πεσεῖν* (in *-σὶ* cr.) *S.* — *νήσεις S.* — **13** (= 124, 11) *ἰσραήλου L.*

*Υ* 128 *δυοδεκάτη DMS*; *δωδ- O.* — *ὕμνον VOΩ*; *-ος DMa.* — *Ψ* 128, **1** *τεῦξεν VDLS*, pc. *M* (*-ξιν* ac.); item 13. — *αὐτήν S*; item 3. — post 1 sic disponunt versus: 4. 3. (hoc loco repetitis verbis *οὐδέ μοι ἐσσύμενοι* ex 4 *DMS*) 2. 5 *DL¹MS*, cr. *L²*.

*βαζέτω ἀλκήεις καὶ ἀοίδιμος Ἰσραῆλος·*
*πολλάκις ἐξ ἥβης μοι ἀναιδέα τεῦξαν ἀυτήν,* 2
*οὐ δέ μοι ἐσσύμενοι πάρος ἔσθενον ἰσοφαρίζειν.*
*δυσσεβέες τέκταινον ἐμῷ κακὰ κήδεα νώτῳ* 3
*ἀμπλακίην σφετέρην ἀποφώλιον ἐκτανύοντες·*
*αὐτὰρ ἄναξ ὅσιος, κατὰ δ' ἔκλασεν αὐχέν' ἀλιτρῶν.* 4
*αἶσχος ἀπεχθαίροντας ἀεὶ Σιῶνα καλύπτοι,* 5
*καρφαλέοι δὲ γένοιντο ὅπως περὶ δώμασι χόρτος,* 6
*ὅς τε πρὸ ἀμητῆρος ἀμειδέι κάρφεται ὥρῃ,*
*οὗ παρ' ἀμαλλοδετὴρ κενεὴν μόλε χεῖρα κομίζων* 7
*οὐδ' ἄρα κόλπον ἔπλησεν ἐτήσια δράγματ' ἀγείρων,*
*οὐδὲ παρερχόμενός τις ἐπῄνεσεν ἀνέρας ἔργου·* 8
*„ἀνέρας ἥνιζον θείῃ κεχαρηότας ὥρῃ.“*

## ρκθ΄ (129)

*Δωδεκάτη δεκὰς ἥδ' ἀμφ' εἴνατον ὕμνον ὁρᾶται.*

*Νειόθεν ἐκ βόθροιο βοὴν ἀνέμελψα χατίζων·* 1
*αὐδῆς ἡμετέρης, πανυπέρτατε, κέκλυθι, ποιμήν·* 2
*ἱκεσίης ἐπάκουσον, ἐμὴν δ' ὑποδέχνυσο φωνήν·*
*ἣν γὰρ δυσνομίας μερόπων στέρνοισι φυλάξῃς,* 3
*τίς βροτὸς ἀθανάτοιο δυνήσεται ἀντία θυμοῦ;*
*αἰέν, ἄναξ, ἐλεημοσύνην πραπίδεσσι φυλάσσεις.* 4

---

**3** et **4** v. ad **1**. — **5** *ἐμὸν S* ac. — *κακὰ* om. *V*. — **7** *ὅσιος ἄναξ DLMS*. — *αὐχένα S*. — **8** *ἀπεχθαίροντες O*. — *καλύπτει V* ac.; *-ῦπτον O*. — **9** *δ'* (om. *γένοιντο*) *O*. — *γένοιτο M*. — *πε]ρὶ* ss. $L^2$; *πε* $L^1S$; *τε DM*. — *δώμασι* $VOL^1Ω$; *-ατα* $L^2PRv$. — **10** *ὅν τε M*; *ὅ τε S*. — *ὃς πρὸ τοῦ ἀμ.* Scheindler[1] 907. — **11** *παρ' Ω*; *πάρ' DMv*; *παρ S*; *περ L*. — **12** *ἂρ* $DL^1M$, cr. $L^2$; *ἂν S*. — **13** *παρερχόμενός V*; *-όμενος O*; *-όμενόν* $DL^1MS$; *-ομένων* $L^2PRv$. — *ἀνέρων O*. — *ἔργου* $VL^2Ω$; *-ον O*; *-α* $DL^1MS$.

*Υ* 129 *ἥδ' Ω*; *ἡδ' DS*. — *εἴνατον DLS*; *ἔνα- M*. — *Ψ* 129, **1** *ειόθεν S*; *θειό- M* ac. — **4** *δυσνομίης OR*. — *τέρνησι S*. — *φυλάξεις O*; *-ξω V*. — **6** *φυλάσσεις VΩ*, ac. *S* (*-άξεις* pc.); *-άσσοις O*; *-άσσης LS*.

*εἵνεκα σῆς σοφίης ἀρετὴν βασιλήιον ἔτλην,* 5
*θυμῷ ἐπέσπευδον θεοτερπέα θεσμὸν ἑλέσθαι*
*καὶ κραδίῃ ποθέων σοι ἐμῇ, μάκαρ, ἐλπίδα θέσθαι* 6
*ἤματος ἐκ φρουρῆς νυχίων καὶ μέχρι κελεύθων.*
*ἤματος ἐκ φρουρῆς μελέτω θεὸς Ἰσραήλῳ,*
*οὕνεκ' ἄναξ ἐλεητὺν ἔχει καὶ ἐλεύθερον ἦμαρ* 7
*ῥυόμενος κακότητος ὅλον κλυτὸν Ἰσραῆλον.* 8

## ρλ' (130)

*Ἡδὺ μέλος δεκάδος τρισκαιδεκάτης πέλει οἴμης.*

*Οὔ ποτέ μοι πραπίδεσσιν ὑπέρβιον ἦτορ ἀέρθη* 1
*οὐδέ μευ ἠπερόπευσε μετήορος ὄμματα λώβη·*
*οὐδέ ποτ' ἐν μεγάλοισιν ἔχον πεποτημένον ἦτορ*
*οὐδέ τ' ἀρειοτέροις ἐπὶ θαύμασιν ἐξεπετάσθην,*
*ἀλλ' αἰεὶ φρόνεον χθαμαλώτατα μειλιχίῃσιν,* 2
*αὐδὴν δ' ὧδ' ἀνάειρον ἀθέσφατον, οἷα γάλακτος*
*νηπίαχος χατέων ὀλοφύρεται ἀμφὶ τεκούσῃ,*
*ὥς κεν ἀμοιβαίοισιν ἐμὸν μετελεύσεται ἦτορ.*
*Ἰσραῆλος ἄνακτα θεὸν πραπίδεσσι δοκεύοι* 3
*νῦν ἅμα καὶ μετέπειτα διηνεκέεσσι γενέθλαις.*

---

7 *σοῖς* *S* ac. — 8 *ἔσπευδον* *PR*. — 9 om. it., add. im. *O*. — *ποθέων* *VΩ* (*πόθε-* *O*); *πόθεόν* *v*. — *σὺ* *L*¹*S*. — *ἐμῇ* scripsi; *μῆ* *O*; *ἐμὴ* *VL*¹*S*; *ἐμὴν* *L*²*Ω*. — *ἐλπίδϊ* *O* — 10 om. *DL*¹*MS*, add. *L*² im. — *φρουρῆς* *L*²; *-ρᾶς* *VΩ*. — 11 *φρουρῆς* *VΩ*; *-ρᾶς* *Lm*. — *Ἰσραήλου* *m*. — 12 *οὕνεκεν* *LMS*; *οὔ-* *D*. — 13 *ὅλον* *VL*²*Ω*; *-ην* *DMS*; *-ης* *L*¹.

Υ 130 om. *O*. — *ἡδὺ μέλος* *VDLPS*; *ἥδε τὸ μέ-* *M*; *οὗτος τῆς* *PRv*. — *οἴμης* *L*²; *ὕμνος* *VL*¹*Ω*. — Ψ 130, 2 *μετήορος* *c*. — 3 *ἔχων* *S* ac. — 4 *ἀειροτέροις* *L*¹, cr. *L*². — 5 *αἰεὶ* *VΩ*; *εἰ μὴ* *L*² pc. — *φρόνεον* (αι supra ε) *S*. — 6 *δ'* om. *O*. — *ἀνάγειρον* *O*. — *ὃς ἀγάλακτος* *M*. — 9 *πραπήδεσι* *S*.

## ϱλα′ (131)

*Ἐκ τρισκαιδεκάτης δεκάδος πρῶτον καλεούσης*
*ἡδὺ μέλος λιγυρόν τε φερεζώων ἀναβαθμῶν.*

*Μνώεο Δαυίδου καὶ μειλιχίης ἕο πάσης·* 1
*ὤμοσεν ἀθανάτῳ, βασιλῆι δ' ἄρ' εὔξατο τοῖα·* 2
*„εἴ ποτε τιμήεντος ἐλεύσομαι ἔνδοθεν οἴκου* 3
*ἢ πολὺ καλλίστων λεχέων ἐπιβήσομαι εὐνῆς,*
*εἴ ποτε μείλιχον ὕπνον ἐμοῖς ὑποδέξομαι ὄσσοις,* 4
*εἰ κατανευστάζειν τε φίλοις βλεφάροισιν ἐάσω,*
*εἰ κροτάφοις ἀνάπαυμα μεθ' ἡμετέροισιν ἑλοίμην,*
*εἰσόκε τιμήεντα τόπον βασιλῆι κιχείω,* 5
*ἄφθιτον ὄφρα κε νηὸν Ἰακώβου θεῷ εὕρω.“*
*τῆνδε μέν, ὡς πυθόμεσθα, κατ' Ἐφραθὰ βάξις ἀείδει·* 6
*εὕρομεν — οὐ δ' ὅθι βάξις — ἀνὰ δρυμὰ καὶ κατὰ βήσσας.*
*δεῦτε, φίλοι, καλύβας δὲ μετέλθομεν ἀθανάτοιο* 7
*καὶ δάπεδον γεραρὸν γουνασσόμεθ', οὗ πόδα πῆξεν.*
*ἔγρεο, παμβασιλεῦ, ἀνάπαυμα δὲ σεῖο κιχάνοις,* 8
*σὺν δ' ἅμα φωριαμὸν πανακήρατον αὐτὸς ἐγείροις.*

---

*Τ* 131, 2 *λυγυρόν D* ac.; *λιγυρῶν S.* — *Ψ* 131, 1 *μνώεο* $L^2$; *μνήσθητι VΩ*: cf. Ritter 29. Rzach$^3$ 316. — *σέο DMS.* — 2 *ἄρ εὔξατο L*; *ἀρεύ- S.* — 3 *οἴκον M.* — 4 *ἢ VDLMR*; *῞ O*; *ἤ P*; *ἡ S*; *εἰ v.* — *πολὺ καλλ. VDv* (cum *ἴσως* cr. *M* im.); *πόλυ καλλ. L*; *πολὺ καὶ λ. M*; *πολυκαλλ. Ωa.* — *εὐνῆς* $VL^2Ω$; *εὐχῆς* $L^1$; *εὐκῆς S.* — 6 *κατανευστάζειν VΩ*; *κατευνάζειν DLM*; *-ζοιν S.* — *τε* om. *O.* — *ἐάσω VΩ* (*ἑ- M*); *ἐάγω O*; *ἐάσσω Rv.* — 9 *θεῷ* (*-ῶ*) $VL^1Ω$; *θεὸν* $L^2$. — *εὕρω* $L^2Ω$; *εὗρον* $VODL^1MS$. — 10 *τήνδ ε* $VL^2Ω$; *τὴν* $L^1$. — *ἐφραθᾶ V*; *εὐφραθὰ DM.* — *βάζις* ($L^1$?)*S*; item 11. — 11 *ὕρομεν O*; *εὐροκεν M.* — *οὐ δ'* (*οὐδ'*) *VOΩ*; *οἶδ' PRv.* — *ὅθι* scripsi; *ὅτι Ω.* — *καὶ* $L^2c$ (Hilberg 95, Mommsen 813); om. *VΩ.* — *βήσσας* $VL^2Ω$; *βύσσας* $DL^1$, pc. *S* (*βύσας* ac.); *-αις M.* — 12 *καλύβασδε VO*, pc. *L.* — *μετέλθομεν* $L^2Ω$; *-ωμεν VPR*; *-οιμεν* $L^1$. — *ἀθανά*]*τοιο* pc. $L^2$. — 13 *γουνασσόμεθ' P*; *-ασόμεθ' VΩ*; *-ασώμεθ' S.* — *οἷ M.* — *πόδας O*; *τόδε V.* — 14 *κιχάνοις VΩ*; *-νεῖ* (ss. *οι*) *O*; *καὶ χάνοις S.* — 15 *συν VS*; *ὗν O.* — *φωριαμὸν Ω* (*φο- S*); *γρ´ κιβωτὸν P* ss. — *πανακήρατον VΩ* (*πανηκ-* ac. *M*), ac. *O*; *-γήραον* pc. *O.* — *ἐγείροις*

σεῖο, μάκαρ, πυκάσαιντο δικαιοσύνην ἱερῆες, 9
πολλῷ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
εἵνεκα Δαυίδου, μεγαλοσθενέος θεράποντος, 10
μή ποτε σὴν χριστοῖο μεταστρέψειας ὀπωπήν.
ὤμοσε Δαυίδῳ βασιλεὺς παναληθέα ῥέξαι, 11
ὤμοσε καὶ κατένευσεν, ἑοὺς δ' οὐ ψεύσεται ὅρκους,
θώκῳ ἀνακτορίης σέο νηδύος ἔρνος ἐρεῖσαι.
„συνθεσίην εἰ φῦλον ἐμήν σεο τῆνδε φυλάξει 12
μαρτυρίας τ' ἀγαθάς, ἅς σφιν φρεσὶν αὐτὸς ἐρείσω,
οὔ ποτ' ἀπολλήξειε τεῆς ὑπερήμενον ἕδρης,
οὕνεκα δὴ Σιῶνα θεὸς προελέξατο θείην, 13
ὥς δέ μιν ἱμερτὸν ποθέει καὶ ἐπήρατον οἶκον.
τοῦτό μοί ἐστ' ἀνάπαυμα μετ' ἀλλήκτοισι γενέθλαις, 14
ἐνθάδε ναιετάοιμι πόθῳ πεπεδημένος ἐσθλῷ.
οἰκία μὲν πλήσαιμ' ἀγαθῶν ἐπιδευέα χήρης, 15
πτωχοῖς δ' αὖτ' ὀπάσαιμι βίου μενοεικέα δαῖτα·
ἔνθα μὲν ἀρητῆρσι πέλοι φάος ἀμφιβαλέσθαι, 16
πολλῷ δ' εὐαγέες περὶ χάρματι γηθήσειαν.
ἐνθάδε Δαυίδῳ κέρας ἄφθιτον ἀντείλαιμι, 17
χριστῷ λύχνον ἑτοῖμον ἐμῷ πόρον ἡγεμονῆα·

---

*VΩm**; -ρεις *Rv*; ἀγείρεις pc. *O* (ac. -οις). — **19** μεταστρέψειας *V*; μετατρ- *Ω*. — **20** ὤμοσε καὶ δ. *M*. — **23** τήνδε σέο *O*. — φυλάξει $L^2$Ω; -ξῃ $L^1$; -ξη *VDM*, pc. *S*; -ξω *S* ac. — **24** ἅς *Ω*; ἅ *DS*; αἵ *PR*. — αὐτοῖς *DLMS*. — **25** ἀπολλήξειε *VΩ* (ἀπολή- *O*); -ξεις *LS*; ἀπολήξεις *DM*. — ὑπερήμενος *L*. — **26** προελέξατο *VΩ*; προσε- *DLMPS*. — **27** ἐπήρατον *O*; ἐπείρ- *M* ac. — **28** ἀλλήκτοισι *VDM*; ἀλή- *Ω*; ἀλλήκτῃσι *L* (pc. ?); ἀλή- *O*. — γενέθλαις *VΩ*; -ῃς (-ης) *DLMPS*. — **29** πεπεδημεναι *S*. — **30** οἰκία *DMS*; -αν *VL*; ἰκίαν *O*; δώματα *PRv*; an οἶκον? — μὲν *VΩ*; οἱ *R*. — χήρης *VOL*, ir. *P*; -ας *v*; χείρης *S*; χώ- *DR*; χώρας *M*. — **31** δαίων *S*. — **32** μὲν] add. πλὴν $DL^1MS$ (expunxit $L^2$). — ἀρητῆρσι *VOΩ*; -ῆρι *Rv*. — πέλοι (-ει *OL*) φάος ἀμφιβαλέσθαι *VΩ*, ir. $L^2$; πέλοι usque ad εὐαγέες 33 om $D(L^1)MS$. — **33** add. $L^2$ im. — περι *VDS*. — **34** ἐνθάδε *VΩ*; ἔνθα δὲ *LM*. — δαυίδου *M*. — ἀντῖλαιμι *DS*.

*αἶσχος δυσμενέεσσιν ἑοῖς καὶ μῶμον ἀνάψω,* 18
*ἡμετέρη δ' ἀμφ' αὐτὸν ἀκηρασίη ἀνατέλλοι.*

## ρλβ' (132)

*Ἐκ τρισκαιδεκάτης δεκάδος μετὰ δεύτερον ὕμνον*
*οἴμης τ' ἐννεσίης ἄφθιτος εὐεπίη.*

*Τί θνητοῖς καλὸν ἔσκε, τί δ' αὖ τέρπνιστον ἐτύχθη,* 1
*ἠὲ κασιγνήτοισιν ὁμοῦ φίλα δώματα ναίειν;*
*ὡς μύρον ἐσσύμενον κεφαλῆς ἄπο μέχρι γενείου,* 2
*Ἀρῶνος γεραροῖο γενειάδα πᾶσαν ἐφέρπον,*
*ἐκ δέ οἱ ἀνθερεῶνος ἐπιτρέχον ἔσχατα πέπλου·*
*ὡς δρόσος αἰθερίη πολυανθέος Ἀερμῶνος* 3
*οὔρεσιν ἀνθοκόμοισιν ὑπὲρ Σιῶνος ἰοῦσα,*
*εὐλογίην ὅθι πᾶσαν ἑὴν ἐπετείλατο ποιμήν,*
*νωλεμέως βιότοιο διαμπερὲς ἔμμεναι ἄλκαρ.*

## ρλγ' (133)

*Σὺν τρισκαιδεκάτῃ δεκάδι τρίτατος πέλει ὕμνος.*

*Δμῶες πάντες ἄνακτος, ἀείσατε ποιμένα κόσμου* 1
*ἱστάμενοι βασιλῆος ἐρισθενέος κατὰ δῶμα·*
*οἵ τε θεοῦ μεθέπουσι δόμων εὐερκέας αὐλάς,* 2
*πάννυχοι εἰν ἁγίοιο δόμοις ἀναείρατε χεῖρας*

---

37 *ἀμφ' Ω; ἀμ' M.* — *ἀκηρασίη VΩ (-ρεσίη M); ἀγη- PR.* — *ἀνατέλλοι Ω (-ει L); ἀντ- V; ἀνετ- DM.*

*Υ* 132, 1 *δωδεκάδος DM.* — *κατὰ b.* — *ὕμνον VΩ; -ος v.* — 2 *οἴμης VL*[2]*; -η v; οἶμος DM (οἴ- L*[1]*); οἶκος S.* — *εὐεπίη LS; -ῃ V; -ης Ω.* — *Ψ* 132, 1 *ἔσκε VΩ; ἔσχε DLMS;* om. *O.* — 3 *ὡς μύρον ἐσσύμενον VOΩ; μῦρον ἐπεσσύ- Rv.* — *ἄπο VOP; ἀπὸ DLMS; δ' ὡς Rm; δ' ὥς v.* — 4 *ἀ*(ras.)*ρῶνος L.* — 5 *ἐπιτρέχει O.* — *πέπλον M.* — 6 *ἀερ*(ras.)*μῶνος L.* — 7 *ἰοῦσαι M.* — 8 *ἐπεστείλατο O.*

*Υ* 133 *σὺν (συν PS) τρισκαιδεκάτῃ VO,* ac. *S; -της DLM,* pc. *S; ἐκ τρισκαιδεκάτης Rv.* — *δεκάδι VO; -δος Ω.* — *Ψ* 133, 3 *οἵ τε θεοῦ μεθέπουσι δόμων (-ον O) VΩ,* cum *γρ' R* im.; *οἴκων οἳ μεθέπουσι θεοῦ Rv:* cf. 134, 4. — *εὐεργέας O* ac. — 4 *αννύχιοι O.* — *εἰν ἁγίοιο δόμοις VL*[2]*Ω;* om. in lac. *DL*[1]*S.*

*καὶ μεγαλοσθενέτην ἀναμέλψατε παμβασιλῆα.*
*δοίη τοι βασιλεὺς Σιωνόθεν αἶνον ἑτοῖμον,* 3
*ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξεν.*

## ϱλδʹ (134)

*Τῇ τρισκαιδεκάτῃ δεκάδι μέλος ἀλληλούια*
*αἰὲν ἀγακλήεις περὶ τέτρατος ὕμνος ὁδεύει.*

*Οὔνομα τιμῆεν κελαδήσατε παμβασιλῆος,* 1
*ποιμένα τιμήεντα, σοφοί, ἀναμέλψατε, παῖδες,*
*ἱστάμενοι βασιλῆος ἐρισθενέος κατὰ δῶμα,* 2
*οἵ τε θεοῦ μεθέπουσι δόμων εὐερκέας αὐλάς·*
*μέλψατέ μοι βασιλῆα, ἐπεὶ θεὸς ἐσθλὸς ἐτύχθη·* 3
*οὔνομά οἱ φορμίζετ᾽, ἐπεὶ τόδε καλὸν ἀείδειν·*
*οὕνεκ᾽ Ἰάκωβον πινυτὸν προελέξατο ποιμὴν* 4
*καὶ κτῆσιν σφετέρην ἔθετο κλυτὸν Ἰσραῆλον.*
*οἶδα φίλαις πραπίδεσσιν, ὅπως μέγας ἔπλετο ποιμήν·* 5
*ἡμέτερος βασιλεὺς μακάρων περιγίνεται ἄλλων*
*τεύχων, ὁππόσα θυμῷ ἀριστοπόνῳ μενεαίνει,* 6
*οὐρανῷ ἀστερόεντι καὶ ἐν χθονὶ πουλυβοτείρῃ,*
*πυθμέσιν ἐν βυθίοισι καὶ ἐν πάσῃσι θαλάσσαις·*
*ὀμβροτόκους νεφέλας πυμάτης χθονὸς ὑψόσ᾽ ἀείρων* 7
*ὑετῷ αἰθερίας στεροπὰς σημήια θῆκεν·*

---

5 *βασιλῆα O.*

*Υ* 134 (fere evanidum in *O*), 1 ante 2 posuerunt *VO*, post 2 *Ω*. — 2 it. erasit (ac. fuisse videtur *Υ* 133), add. im. *S*. — *ἀγακλήεις VL*$^2$; *-ῆες DL*$^1$*MS*; *-ῆεν Pm*; *-εῖεν Rv*. — *τέτρατος VDLMPS*; *-τον Rv*. — *ὕμνος VPS*; *-ον Rv*; *οἶμος DM*; *οἶ- L*. — *Ψ* 134, 1 sq. fere = 112, 1 sq. — 2 *σοφὸν O*. — 3 (= 133, 2) *ἱστάμενος M*. — 4 *ὅς τε M*. — 6 *φορμίζετε O*. — 7 *οὔνεκεν O*. — 8 *κτῆσι]ν* ss. *O*$^3$. — 9 *φίλης* (*-ῃς*) *VL*$^2$*Ω*; *-λῃ S*; *-λοι L*$^1$. — 10 *περιγίνεται VOΩ*; *-γίγνεται v*. — 12 *πολυβουτείρῃ O*; *-βοτείρη S*. — 13 *πᾶσι* (ss. *σῃ*) *M*. — *θαλάσσαις VOL*$^2$; *-ῃς* (*-ης*) *L*$^1$*Ω*. — 14 *ὑψόσ᾽ VObcm*; *ὕψος Ω*. — 15 *ὑετῶ V*; *-τὸν Ω*; *-τοῦ P*. — *αἰθερίας στεροπὰς* (*-πᾶς O*) *VOΩ*, ac. *P*; *-έρια στερ- P* pc. (Ritter 8 coll. 76, 37. 143, 14. Scheindler[1] 907); *αἰθέρι ἀστεροπὰς Rv*: cf. Lch[5] 302.

*αὐτὸς ἄναξ ταμίων ἀνεμοδρόμον ἔξαγεν ἀλκήν.*
*πᾶσαν πρωτότοκον δάμασεν Νείλοιο γενέθλην* 8
*σὺν καὶ τετραπόδων ἀγέλας μερόπεσσιν ἐναίρων,*
*γαίης Αἰγυπτίης μέσα θέσκελα μυρία τεύχων·* 9
*οἶδε παθὼν Φαραώ, δμῶες δέ οἱ οὐ φύγον ἄτην.*
*αὐτὸς δυσμενέων κατενήρατο μυρία φῦλα* 10
*ἰφθίμους βασιλῆας ὑπερμενέως ἐναρίζων,*
*κάρτιστον Σηῶνα, Ἀμορραίων βασιλῆα,* 11
*Ὠγόν τε, σθεναρὸν βριαρῆς Βασᾶνος ἄνακτα,*
*κοιρανίας θ' ἑτέρας Χαναάμου παιδοφονῆος.*
*τῶν δ' ἄρα γαῖαν ἑλὼν σφετέρους διεδάσσατο κλήρους,* 12
*κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραήλῳ.*
*οὔνομα παμβασιλῆος ἀεὶ παναγήραον ἔστω,* 13
*ἐκ γενεῆς γενεὴν δὲ θεοῦ μνημήιον ἐσθλόν.*
*τοὔνεκα δὴ σφετέροισιν ἄναξ λαοῖσι δικάζοι* 14
*ἀμφὶ φίλοις δμώεσσιν ἄκος παραμύθιον ἴσχων.*
*εἴδωλα χρυσός τε καὶ ἄργυρος ἔπλετο δήμων,* 15

---

**16** *ταμείων VOLS*; *φυλακῆς P*, cum *γρ' V* im. — *ἀνεμοδρόμων* ac. *VL*; *ἀνεδρόμον M.* — *ἔξαγεν VΩ*; *ἐξάγει P*; *ἔκραγεν S.* — **17** *πρωτότοκον L* pc.; *-τοτόκον P*, ac. *DL*; *-τοτόκων VΩ*, pc. *D.* — *δάμασε VO*; *-ασσεν S.* — **18** *συν V*; *σὴν M.* — **20** *οἶδε VL²Ω*; *οἱ δὲ D*; *οἱ δὲ L¹MS.* — *παθὼν VΩ*, ir. *L²*; *-ῶν O*; *-ῆν D*; *-ήν S*; *-ὴ M.* — *φαραῶ O.* — *φύγεν S.* — **21** *κατενήρατο VOΩ*; *-είρατο PRv.* — **22—27** fere = 135, 33—43. — **23** *κάρτι* (om. *στον*) *DL¹MS*, cr. *L²*. — *σηῶνα VΩ*, ac. *M*, pc. *O*; *σϊ-* ac. *O*, pc. *LM.* — *ἀμμοραίων VO*; *ἀμο- DM.* — *βασιλήων V.* — **24** *ὠγόν PR(v)*; *Ὠ- m*; *γον O*; *ὤγον L²* ir.; *ὠγχόν V*; *ὤγχόν DMS.* — *βριαρὸν P.* — *βασᾶνος V*, pc. *OL* (*-ανὸς* ac. *L*); *βασά- DS*, ac. *O*; *βάσα- MPR*; *Βασάνου v*; *-νοιο* Lch¹ 53, Ritter 32: v. ad 135, 39. — **26** *σφετέρους O*; *-οις L²PRv*; *-ην VDL¹MS.* — *κλήρους VOΩ*; *κλῆρον PRv.* — **27** *κλῆρον L²Ω*; *-ος VDL¹MS* (*λῆ- O*). — *χρέος Ω*; *κλέος V.* — **30** *τοὔνεκα VDLMS*; *οὔ- O*; *οὖ- Ω.* — *σφετέρησιν S.* — *δικάζοι V*; *-άσοι Ω*; *-άσσοι O*; *-άσει DLMSm*.* — **31** *ἄκος VL²Ω*; *ἄκακος DL¹MS.* — *πυμύθιον D(L¹?)S*; *μύθον M.* — **32—43** fere = 113, 24—35.

*ἀνδρομέων ἀλαπαδνὰ σοφῶν δαιδάλματα χειρῶν·*
*οἷς οὐ φέγγος ἔπεστι περὶ ξεστῇσιν ὀπωπαῖς·* 16. 17
*οὔατα μοῦνον ἔχουσι, καὶ οὐκ ἀίουσιν αὐτῆς·*
*οὐδὲ φθόγγον ἔχουσι, καὶ εἰ στόμα τοῖσιν ἐτύχθη·*
*οὐδ' ἱερὴ ῥίνεσσιν ἐπέρχεται ἠέρος ὀδμή·*
*οὐ σθένος ἀμφαφόωντι, καὶ εἰ χείρεσσι κέκασθεν,*
*οὐ ποσὶν εὐφόρβοιο κατὰ χθονὸς ἴχνος ἐρεῖσαι·*
*οὐδ' ἀπὸ λαυκανίης φθογγὴν ἀναπεμπάσσασθαι·*
*οὐ γὰρ δή σφισι πνεῦμα διὰ στόματος προβαλέσθαι.*
*τέκτονες εἰδώλοισι γενοίατο τοῖσιν ὁμοῖοι,* 18
*καὶ πάντές τοι τοῖσι νόῳ περιθαρσέες εἰσί.*
*μέλψατέ μοι βασιλῆα, σοφοῦ δόμος Ἰσραήλου·* 19
*πᾶς δόμος Ἀρῶνος, κελαδήσατε παμβασιλῆα·*
*Λευίδα κλυτὸς οἶκος, ἀείσατε ποιμένα κόσμου·* 20
*οἷς φρεσὶ δεῖμα θεοῖο μέλει, κελαδήσατ' ἄνακτα.*
*αἰνετὸς ἐκ Σιῶνος ἄναξ πανυπέρτατος ἔσται* 21
*ἀμφ' Ἱερουσαλῆ θεοτερπέα δώματα ναίων.*

---

**33** *ἀλαπ]αδνὰ* pc. $L^2$; *-νῶν DM*, pc. *S* (*ἀλλαπαδνὸν* ac.). — **34** *φέγγος* $VDL^1MPRS$; *φθόγγος* $L^2 v$. — *ἔπεστη O*; *ἐπέστη DMS*; *ἔξεστι R* ir. — *περὶ* (*-ι DS*) *ξεστῇσιν* (*-ῆσιν*) *ὀπωπαῖς* (*-ῇς DS*) $VOD(L^1)MPRS$; *καὶ εἰ στόμα τοῖσιν ἐτύχθη* $L^2$ ir., *v*: cf. 36. 113, 26 sq. — **35** *αὐτῆς S*. — post 35 add. *οὐδὲ φάος φορέουσι περὶ ξεστῇσιν ὀπωπαῖς* (*-ῇς*) $L^2$ im., *v*; om. $VODL^1MPRS$: cf. 113, 27. — **36** hab. $VOL^1Ω$; expunxit $L^2$; om. *v*. — *ἔχουσι VOΩ*; *ἔχον L*. — *εἰ* om. *S*. — **37—40** om. *O*. — *ἐρηρίνεσσιν M*. — *ἐπέρχεται VΩ*; *ὑπ-* est 113, 29. — **38** *κέκασθεν VΩ*; *-φθεν DLMS*; *-σται P*. — **39** *οὐ φόρβοιο ποσὶν* (*-σὶ DM*) *κ. DLMS*. — *ἐρεῖσαι VΩ* (*-είσαι* $L^2$); *-είσεις* $DL^1M$; *-είσης S*. — **40** *ἀναπεμπάσασθαι VDL*; *-παύσασθε*$^{αι}$ *S*: cf. Hom. *δ* 412. — **42** *οἷσιν gm*. — **43** *τοι VΩ*, ir. *L*; om. *OM*. — *νόων S* ac. — **44** *δ' ὅμως O*. — **45** *ἀρώνου S*; *-άνου DM*. — **46** et **47** om. *DM*. — *ευΐδα*$^{ου}$ *O*. — **47** *μέλειν O*. — *κελαδήσα]τ' ἄνακτα* ir. $L^2$; *-σατε παμβασιλῆα* $(L^1?)S$. — **49** *ἀμφϊερουσαλὴν S*; *μφὶ ἱερουσαλὴμ O*. — *ἱερουσαλῆ Rv*; *-λὴμ* $VL^2MP$; *-λὴν* $DL^1$.

## ρλε' (135)

*Τῇ τρισκαιδεκάτῃ δεκάδι κλυτὸν ἀλληλούια*
*ἡδύ τι καὶ λιγυρὸν πέμπτον ἄεισμα πέλει.*

*Λαοί, μειλιχίην ἀναμέλψατε παμβασιλῆι,* 1
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·*
*ἀθάνατον μακάρων ἀναμέλψατε παμβασιλῆα,* 2
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·*
*μέλψατέ μοι βασιλῆα μεγασθενέτην βασιλήων,* 3
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ὃς μοῦνος δεδάηκεν ἀθέσφατα θαύματα τεύχειν,* 4
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*οὐρανὸν ἀστερόεντα σοφῇ τεχνήσατο βουλῇ,* 5
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*γαῖαν ἐπεστήριξεν ἐφ' ὕδασιν οὐ πρὶν ἐοῦσαν,* 6
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ὃς σθεναροὺς φωστῆρας ἑῷ τεχνήσατο μύθῳ,* 7
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ἠέλιον φαέθοντα καλῆς ἐπιήρανον ἠοῦς,* 8
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*τείρεα καὶ μήνην νυχίων βασίλειαν ἀταρπῶν,* 9
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*πρωτοτόκων Αἴγυπτον ὁμῶς ἐδάμασσε γενέθλην,* 10
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*

---

*Υ* 135 paene evanidum *O.* — *Ψ* 135, **1** *λαὸς L.* — *παμβασιλῆϊ VDLMPS*, ac. *R*; *-ῆος R* pc., *v.* — **2** *οὕνεκεν* (ss. *α*) *D.* — **3** *βασιλῆα O.* — **5** et 6 om. *DL*[1]*MS*, add. *L*[2] im. — *ἔλτέ μοι O.* — **6** intercalarem verbo *οὕνεκα* solo indicare solent *O* im. et inde a vs. 8 *DM* it., vel item vel verbis *οὕνεκα* (*οὕ-*) *νωλεμέως V*; simili modo passim abbreviavit *S.* — **9** *σοφὴ S* ac. — **11** *ἀπεστήριξεν* (ss. gl. *ἐστερέωσε*) *P.* — **12** om. *V* (sed v. ad 13). — supra versum 13 repetivit 15 et 16 *V*[2] im. — **17** *μῆνιν L.* — *βασίλειαν VOΩ*; *-ιλείαν DLMSab.* — **19** *αἴγυπτον VOΩ*; *Αἰγύπτου bcm.* — *γενέθλῃ* Mommsen 260.

*τῶν δ' ἐκ μέσσον ἑλὼν ἐξήγαγεν Ἰσραῆλον,* 11
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*θαρσαλέῃ μάλα χειρί, βραχίονι πάντα πεποιθώς,* 12
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ῥηξάμενος πύργωσε διάνδιχα πολλάκι πόντον,* 13
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*τοῦ δὲ μέσον στείχοντα διήγαγεν Ἰσραῆλον,* 14
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ὃς Φαραὼ στρατιήν τε τόσην βίῃ ἔμβαλε πόντῳ,* 15
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ὃς κατ' ἐρημαίην σφετέρου ἡγήσατο λαοῦ,* 16
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ὃς μεγάλους βασιλῆας ὑπερμενέως ἐνάριξεν,* 17
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ῥηιδίως δ' ἀλάπαξεν ὑπερκύδαντας ἄνακτας,* 18
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ἀντίθεον Σηῶνα, Ἀμορραίων βασιλῆα,* 19

---

**21** *μέσσον VLb*c*; *-ων Rabm*; *-ου P*; *μέσον ODMS.* — **25** *ῥηξάμενος* (*ʽηξαμενοι O*) *πύργωσε διάνδιχα VO$L^2$P*; *ἄνδιχα ῥηξάμενος ἐρυθραῖον Rv* (cf. Ritter 29. Hilberg 116. Rzach[3] 402). — **πολλάκι**] cf. Schneider[1] 390. — *ὄφρα ἁλὸς διατμήσαντι ἐρυθραΐον* (*-αιϊον D*, *-έοιον S*) *δυὸν ἐρέσεις* substituunt *DMS.* — **27** *τοῦ δὲ V$L^2$*; *τῶν δ' ἐκ DMS*; *τοῦδε OPRv.* — *στείχοντος διήγαγεν O*; *ἑλὼν ἐξήγ- DMS.* — post **28** repetitos 7—16 del. *S.* — **29** *βίῃ V*; *-η $L^2$*; om. *O.* — *ἃ μάλα φαραῶνα βίῃ* (*-ην S*) *κάκτανε* (*κάτανε S*) *φλοίσβοιο* (*-βιο S*) *θαλάσσης* subst. *DMS*; *ὅς τ' ἐρυθρῷ φαραῶνα βίην θ' ἑὴν κάκτανε πόντῳ PRv.* — **31** ut supra *VO$L^2$*; *ἑπτὰ γεωχέται* (*γεω‸τε*, *γαί* supra, sic *M*) *σφέας ἀβάτω* (*ά- M*, *ἄβατω S*) *γαῖα* subst. *DMS*; *καὶ* (*ὃς P*) *γαίῃ ἀβάτῳ γε* (*τε P*) *διήγαγεν ἰσραῆλον PRv*: cf. Ritter 13. — post **32** add. *ἀκρατίστοις ἀνάσσειν* (*ἄνασσει S*) *βίῃ θεὸς ἄλγεα θῆκεν* (*ἀλγέθη- S*) | *οὕνεκα* (om. *S*) *DMS.* — **33** (fere = 134, 22) *ὃς μεγάλους VΩ*; *ἰφθίμους DMS.* — *ὑπὲρ μενέους O.* — *ἐνάριξεν VΩ*; *-αρίξας O*; *-αρίζων DMS.* — **35** et **36** om. *DMS.* — *ἀλάπαξεν O.* — *ὑπερκύδαντας*] cf. Hom. *Δ* 66. Lobeck[3] 1, 383. — **37** sqq. fere = 134, 23 sqq. — *ἀντίθεον VΩ*; *κάρτιστον DS*; *κρά- M.* — *σιῶνα*

*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*Ὠγόν τε, σθεναρὸν βριαρῆς Βασᾶνος ἄνακτα,* 20
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·*
*τῶν δ' ἄρα γαῖαν ἑλὼν σφετέρους διεδάσσατο κλήρους,* 21
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*κλῆρον ἑῷ θεράποντι κατὰ χρέος Ἰσραήλῳ,* 22
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει·*
*οὕνεκα τειρομένων ἡμῶν ἐμνήσατο ποιμήν,* 23
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ἐκ δ' ἄρα ῥιγεδανῶν δηίων ἀπελύσατο λαόν,* 24
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει,*
*ὃς πᾶσιν θαλίην, οἷς ἔκτισε, μοῦνος ὀπάζει,* 25
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*
*μέλψατέ μοι βασιλῆα μέγαν πόλου ἀστερόεντος,* 26
*οὕνεκα νωλεμέως σφετέρην ἐλεητὺν ἀέξει.*

## ρλϛ′ (136)

a *Πὰρ τρισκαιδεκάτῃ δεκάδι Δαυῖδος ἔμελψεν*
*ἕκτον ἑῆς σοφίης ἄξιον ἡδὺ μέλος.*

---

*DL²MS.* — *ἀμμοραίων VOM*; *ἀμωρρ- S.* — **39** *ὠγ̄όν V*; *ὠγόν PR(v, Ὠ- cm)*; *ὦγον L²*; *γχον O*; *ὠγχόν S*; *ὤγχον DM.* — *βασᾶνος VOL²*; *βάσα- Ω*; *Βασάνου v*; *-νοιο m*: v. ad 134, 24. — **41** *σφετέρους O*; *-οις VΩ*; *-ην DMS.* — *κλήρους VOΩ*; *-οις L*; *κλῆρον v.* — **43** *κλῆρον VΩ*; *-ος DMS*: v. ad 134, 27. — *ἰσραήλῳ (-ω) VOΩc*; *-ῆλον abm.* — **45** *οὕνεκα VL²*; *ινεκα O*; *εἵν- PRv.* — *ἐμῶν O.* — *οὕνεκα (οὗ- S) χθαμαλότητι (-ώτητι S) σφῶϊ ἄναξ μνησθείης (-σθάεις* ex *-στάεις* cr. *S)* subst. *DMS.* — **47** *λαῶν O.* — *καί γε λυσήμενος (-ός D, -ὅστε S) σφώϊ (-ῶϊ S) κακότητι δυσμενέεσσιν* subst. *DMS.* — **49** *πᾶσι OLR.* — *ἧς L².* — *ὀπάζοι O.* — *ἣ (ἢ M) δέδωκε (-ακε S) σῖτα (σῆ- S) πάσῃ (πᾶ- S) ἀδαμιαίῃ (-ιοίοι S) γενέθλῃ (-ην M* ac.) subst. *DMS.* — **51** *μέγαν VL²Pv*, pc. *O*; *μέγα aΩ*, ac. *O.* — *μέλψατε λαοὶ ἡ (ἡ* om. in lac. *DM) ὀλυμπίῳ (-πίαις* in *-πόαις* cr. *S) ἄνακτι* subst. *DMS.*

*Υ*ᵃ 136 hab. *V* et partim evanidum *O*; om. *Ω* (de *CDEMNS* v. praef.). — **1** . . *ισκεδάτη O.* — *ἔμελψε O.*

b *Ἀμφ' ἑκατοστῷ καὶ τριακοστῷ ἔπλετο ἕκτον*
*Δαυίδου πινυτῆς ἀμφ' Ἱρεμίου τόδ' ἄεισμα.*

c *Ἐκ τρισκαιδεκάτης δεκάδος πινυτοῖο Δαβίδου*
*ᾆσμα γόων ἀμφ' Ἱρεμίου, τό περ ἕκτον ἐτύχθη,*
*ἀμφ' Ἱερουσαλῆς, Βαβυλώνιον ἦλθον ὅθ' ὕδωρ.*

*Κλαύσαμεν ἑζόμενοι ποταμῶν Βαβυλῶνος ὕπερθε,* 1
*μνησάμενοι Σιῶνος ἀριπρεπέος τ' ἀλεωρῆς·*
*μεσσόθι δ' αὖ ποταμῶν ὑπὲρ ὠλεσίκαρπον ἰταίην* 2
*ἡμέτεραι φόρμιγγες ἀπηώρηντο λίγειαι.*
*κεῖσ' ἀναειρόμενοι ληίστορες ἔννεπον ἄνδρες,* 3
*ἡμέας οἳ δέ τ' ἔπερσαν, ἀειδέμεναί σφισιν ὕμνον·*
*„ἐκ μελέων Σιῶνος ἀγακλέος εἴπατε μολπήν.“*
*θεῖον ἐν ἀλλοδαπῇ πῶς κεν μέλος ἐστὶν ἀεῖσαι;* 4
*αἴ χ', Ἱερουσαλὴ πολυήρατε, σεῖο λαθοίμην,* 5
*ἡμετέρη λελάθοιτο φίλη κατὰ δεξιτερὴ χείρ·*
*πηγνυμένη περὶ λαιμὸν ἐμὴ κάρφοιτό κε γλῶσσα,* 6
*εἰ μή σευ κατὰ θυμὸν ἀεὶ μεμνημένος εἴην,*
*ὡς Ἱερουσαλὴν καὶ ἐν εὐφροσύνῃ προβαλοίμην.*
*καὶ σύ, μάκαρ, τεκέων ἐπιλήθεο μή ποτ' Ἐδώμου,* 7
*ὄλβιον ἦμαρ ἔχειν Ἱερουσαλῆς ἐριτίμου,*

---

Υ[b] hab. *P*; om. *Ω*. — Υ[c] hab. *Rv*; om. *Ω*. — 1 *Ἐκ τ. δ. π. Δαβίδου Rac*; *Δαυίδου τ. δ. π. bgm*. — 2 *Ἱερεμίου gm*. — 3 *ἦλθεν m*. — *Ψ* 136, 1 *βαβυλῶ O*. — *ὕπερθε O*; *-ερ* (θ supra) *V*; *-ερθεν Ω*. — 2 *ἀριπέος O* ac. — 3 *δ' αὖ VOL²P*; *γὰρ Rv*. — *ὀλεσ. Rv*. — *ἰταίην O* pc.; *-έην L²*, ac. *O*; *ἰταίαν V*; *ἰτέαν Ω*. — Hom. *κ* 510 *ἰτέαι ὠλεσίκαρποι*. — *ἰτεῶν ὀλλεσικάρπων P*; *ὠλεσίκαρπον ἰτεῖαν*, al. *ἰτέαν ὠλ. b*c**; an *ἰτέην ὠλ.*? — 4 *λίγεῖαι V*; *λιγείαι O*; *-εῖαι Ω*. — 5 *κεῖσε ἀνειρ. gm* (*κεῖσε δ' ἀνειρ.* Scheindler[1] 907). — 6 *οἳ δέ τ' ἔπ.* scripsi; *οἵ δ' ἔπ. VO*; *ἠδὲ ἔπ. L²*; *οἷδε ἔπ. P*; *οἵ τε ἔπ. Ω*; *οἵπερ ἔπ.* vel *οἳ διέπ.* Ritter 19 (Scheindler[1] 907). — 8 *πως κεν L²*; *πῶς κε VO*; *πῶς μὲν Ω*. — 9 *αἴ χ' Ω*; *αἶ χ' V*; *αἴ κ' OL²*. — *ἱερουσαλὴ Vc*; *-λὴμ Obgm*; *-λῆ Ω*. — 11 *ἐμοὶ O*. — 12 *μὴ σεῦ O*. — 13 *ἱερουσαλὴν VΩ*; *-λὴμ OL²m*. — *ἐν VOL²*; om. *Ω*. — *εὐφροσύνῃ V*; *-νη OL²*; *-νην Ω*. — 14 *ποτε δόμων O*.

τῶν ποτε βαζόντων· „κενεή, κενεή τις ὄλοιτο,
μηδέ τί οἱ φείδεσθε, ἕως ἔτι πυθμένας ἴσχει.“
ὦ θύγατερ Βαβυλῶνος, ἀεὶ περικάμμορος εἴης· 8
ὄλβιος, ὅς προτέρης σε βίης ἀποτίσεται ἀνήρ,
ὅς πέτρης ὑπένερθε μολὼν σεο νήπια ῥήξει. 9

## ρλζ' (137)

a Πὰρ τρισκαιδεκάτῃ δεκάδι μέλος ὑμνοπολεύει
Δαυῖδος λιγυρῆς ἕβδομον ἁρμονίης.

b Ἕβδομον ἀμφ' ἑκατοστόν τε τριακοστὸν ἐτύχθη
Ζαχαρίου πινυτῆς ἡδὺ μέλος σοφίης.

c Ξυνὸν Ζαχαρίου καὶ Ἀγγαίου τόδ' ἄεισμα
πρὸς τρισκαιδεκάτῃ δεκάδι λιγὺ ἕβδομον ἔννι.

Ἀλλήκτῳ κραδίῃ, βασιλεῦ, τεὸν αἶνον ἀείσω· 1
ἄντα, μάκαρ, μέλψω σε θεοδμήτων στρατιάων,
οὕνεκα παντοίων ἐπέων ἤκουσας ἐμεῖο.
ἄχραντόν σεο νηὸν ἐπεσσυμένως λιτανεύσω, 2
σπουδῇ παμβασιλῆος ἀκήρατον οὔνομα μέλψω
σήν τ' ἐλεημοσύνην καὶ ἀληθέα πάντοτε βουλήν,
οὔνομ' ἐπεὶ πάντων κρατέει σέο πᾶσιν ἀνάσσον.
κέκλυθί μευ καλέοντος, ὅτε χρέος ἐστὶ λίτεσθαι· 3
ψυχῇ νωιτέρῃ ζωαρκέα καιρὸν ὀπάζοις.
ἀθάνατον βασιλῆες ὅλης χθονὸς ἀείδοιεν, 4

---

17 μηδέ τι $L^2$; μὴ (ἢ *O*) δ' ἔτι *VO*; μηδ' ἔτι *Ω*. — πυθμένα ἴσχειν *O*. — 18 περικ' ἄμμορος *O*; πέρι κά- *P*. — 19 ὄλβιος serius add. $L^2$. — ἀποτίσσεται $L^2$. — 20 πέτρῃσι *O*. — ὑπέρερθε *R* ac., *a*.

$Υ^a$ 137 hab. *V* et partim evanidum *O*; om. *Ω* (de *CDMNS* v. praef.). — 2 δαυίδος *V* (-ϊδος *O*). — $Υ^b$ hab. *P*; om. *Ω*. — $Υ^c$ hab. *Rv*; om. *Ω*. — 1 καὶ om. *abm*. — *Ψ* 137, 1 ἀλήκτῳ (-ω) s. λή- *Ω*. — 2 ante 3 collocant *VOΩ*, post 3 *v*. — 3 ὕνεκα *O*; item 11 et saepius. — ἐμοῖο $L^2$. — 5 παναχήρατον *VO*. — 7 σέο πάντων ἀνάσσων *O*. — 8 λίτεσθαι] v. Lobeck[5] 235; λιτέ- *Ω*. — 10 βασιλῆος *R*.

*οὕνεκα παντοίων σέθεν ἔκλυον οὔασι μύθων·*
*θεσπεσίοις μελέεσσιν ἀνυμνήσωσι θεοῖο,* 5
*οὕνεκα δὴ χθόνα κῦδος ὁμοῦ νεφέεσσι καλύπτει.*
*αἰὲν ἄναξ ὕψιστος, ἀτὰρ χθαμαλώτατα λεύσσει·* 6
*ἴδμων δ' ὑψίστων πέλεται καὶ τῆλε δεδορκώς.*
*ζωγρήσεις ὀλοῇ με μέσον δεδμημένον ἄτῃ·* 7
*χεῖρας δυσμενέεσσιν ἐμοῖς θώρηξα χολωθείς,*
*δεξιτερὴ δέ με σεῖο κακῶν ἀπελύσατο μόχθων.*
*ἀντ' ἐμέθεν δηίοισιν ἀκερδέα μισθὸν ὀπάζοις·* 8
*νωλεμέως ἐλεητὺν ὑπὸ στέρνοισι φυλάσσοις*
*μηδὲ τεῆς, βασιλεῦ, παλάμης ὑπερόψεαι ἔργα.*

## ϱλη' (138)

a *Πὰρ τρισκαιδεκάτῃ δεκάδι μέλος ὄγδοον ἠχεῖ*
*Δαυῖδος κιθάρῃ μείλιχα τερπόμενος.*

b *Δαυίδου πινυτῇσιν ἄεισμα ἄμφο διασπορέει·*
*ἑκατοστὸς ἀμφὶ τριακοστὸς ἐτέτυκτο ὄγδοος.*

c *Ὄγδοον ἀμφ' ἑκατοστόν τε τριακοστὸν ἐτέτυκτο*
*Δαυίδου πινυτοῦ ᾆσμα διασπορέης.*

d *Ἀμφὶ διασπορέης λιγυρὸν μέλος ᾖσε Δαβῖδος·*
*ὄγδοον ἀμφ' ἑκατοστῷ ἐτύχθη καὶ τριακοστῷ.*

*Αὐτός, ἄναξ, ἐδάης με καὶ ἐξιχνεύσαο λίην,* 1

---

**12** *ἀνυμνήσωσι* $VOL^2$; *-σουσι Pv*, pc. *R*. — **13** *ὁμοῦ* $VOL^2$; *ἀεὶ PRv*. — **14** *χμαλώτατα* $L^2$. — *λεύσει* $VOL^2$. — **15** *ὕψιστος O*. — **16** *ὀλοή R*, ac. *P*. — **17** *θώρηξα* $VOb^*c\Omega$; *-ήξαο* $L^2$; *-υξα ab*; *-ηξε gm*. — **19** *δαΐοισιν* $L^2$; *διΐ- a*; *δηΐσιν O*. — **21** *μὴ δὲ VOLPR*, ut solent. — *ὑπερόψεαι* scripsi; *-ψῃ O*; *-ψη L*; *-ψει VPR*; *-ψεο v*: cf. Lobeck[5] 488.

$\Upsilon^a$ 138 hab. $VL^2$ et partim evanidum *O*; om. *Ω*. — **1** *ἀρ* $L^2$. — **2** *δαυίδος V*. — $\Upsilon^b$ hab. $DL^1MNS$; om. *Ω*. — **1** *δαυῖδου MN*. — *πινυτίσιν* $L^1$; *πηνι- S*; *πινυτῆς D*, ac. *M*, pc. *N*; *πυ-* pc. *M*, ac. *N*. — *ἄμφο* $L^1$; *ἀμφώ S*; *ἀμφ* cum lac. *D*; *ἀμει* c. lac. *MN*. — *διασπορέες MN*. — **2** *ἀμφὶ* ex *ἀμφ'* cr. $L^1$; *ἀμφ' ἑ S*; *ἀμφι DMN*. — *ὄγδοος S*; *ὄγδοον* $L^1$. — $\Upsilon^c$ hab. *P*; om. *Ω*. — $\Upsilon^d$ hab. *Rv*; om. *Ω*. — **1** *Δαυῖδος bm*.

οὐδ᾽ ἄρα σ᾽ ἑζόμενός τε καὶ ἐγρόμενός ποτε λήθω· 2
νόσφιν ἐμὰς ξυνέηκας ὑπὸ στέρνοισι μενοινὰς
ἴχνος ἀνιχνεύων καὶ ἐμὴν ἰθεῖαν ἀταρπόν, 3
οὐδὲ τεοῖς ὅσσοις τις ἐμῶν προλέλαστο κελεύθων,
οὐδ᾽ ἔπος ἐκ γλώσσης προθέειν ἀθεμίστιον ἔγνων. 4
αὐτὸς ἔφυς πυμάτων τε παλαιγενέων τε δαήμων 5
καί με διαπλάσσας ὑπεθήκαο χεῖρα καρήνῳ.
θαῦμά μ᾽ ἔχει, ὅτε σεῖο περιφράσομαι φρεσὶ μῆτιν 6
οὐδὲ νόῳ δύναμαι κρατερώτατα πολλὸν ὀρᾶσθαι.
πνεύματος οὐκ ἄρα σεῖο μέγα κράτος ἦεν ἀλύξαι 7
οὐδὲ τεῆς ἀπάνευθε κατακρύπτεσθαι ὀπωπῆς.
οὐρανὸν αἴ κε μόλοιμι, τεὸς θρόνος οὗτος ἐτύχθη· 8
ἢν Ἀίδην δ᾽ ἔλθοιμι, καὶ ἐν νεκύεσσιν ἀνάσσεις·
ἢν δὲ καὶ ἰθυπόρους πτέρυγας ἀνέμοισι πετάσσας 9
αὐλισθῶ νεάτοισι πολυσμαράγοιο θαλάσσης,
ἔνθά κε σῆς παλάμης δευήσομαι ἡγεμονῆος 10
καί σεο δεξιτερῆς, ἵνα μοι βίος ἔμπεδος εἴη.
εἶπα δέ· „μὴ τάχα με στείψει φθισίμβροτος ὄρφνη·“ 11

---

Ψ 138, **2** *οὐδ᾽ ἄρα* (*ἀ-* *S*) *σ᾽ VDLMNS*; *οὐδ᾽ ἄρα P*; *ὐδ᾽ ἄρ᾽ O*; *οὐδέ σε Rv.* — *τε VΩ*, ac. *P* (*σε* pc.); *τι DMNS.* — *οὐδὲ καθεζόμενός σε* Ritter 18; *οὐδέ σ᾽ ἐφεζόμενός τε* Scheindler[1] 907. — **5** *τεῆς S.* — **6** *οὐδ᾽* (*ὐδ᾽ O*) *ἔπος VO*; *οὐδέ πωσ᾽ S*; *οὐδέ πω Ω*; *οὐδέ ποτ᾽ DMNP.* — *προθέειν DLMNPS*; *-χέειν VORv.* — an *ἔγνως*? — **7** *αὐτὰρ ἔ. πυκάζων MN.* — **8** *διαπλάσσας VOgm*; *-άσας Ω.* — *καρήνων M.* — **9** Hom. *κ* 326 *θαῦμά μ᾽ ἔχει, ὡς.* — *ὅτε VΩ*; *ὅτι DLMNS.* — *περιφράσομαι OL²Ω*; *-άσσομαι V*; *-άσοιμι DL¹MNS.* — *φρεσὶ* om. *O.* — **10** *δύναμε κρατερώτατος O.* — *ὀρᾶσθαι VΩ*; *ἄρασθαι L*; *ἄρθαι DMNS.* — **11** *οὐ κ᾽ ἆρ L*; *οὐκαρ S.* — *ἦεν VOΩ*; *εἶεν PRv.* — *ἀλῦξαι V.* — **13** *θέλοιμι O.* — *οὗτος VΩ*; *ὄντος MN.* — **14** *ἢν S*; *᾽ν O.* — *ἄδην D*; *ᾅ- LS*; *ἄδη MN.* — *ἀνάσσεις VL²Ω* (*ασσεις N*); *-ης L¹*; *-οις O.* — **15** *πτέρυγᾱς*] cf. Ritter 29. Rzach[3] 419. — *πετάσας VL²*; *-άσω OL¹Ω*; *-άσσω Rv.* — **16** *αὐλισθῶν ἑάτ. N.* — *νεάτησι O.* — **17** *σῆς* om. *O.* — **18** *μοι VΩ*, pc. *S*; *μὴ O*; *μη S* ac.

νύκτα δὲ καίνυτο τέρψις, ἀτὰρ κνέφας ἤλασε φέγγος·
ὄρφνην γὰρ δεδάηκε τεὸν φάος ἀμφικαλύπτειν 12
καὶ νύκτα δνοφερὴν τελέειν φαεσίμβροτον ἦμαρ·
οὔ τις ἀναγνοίη, ποῖον κνέφας ἢ φάος εἴη.
οὕνεκεν ἡμετέρους, βασιλεῦ, ἐκτήσαο νεφρούς, 13
ἄλκαρ ἐμόν, μάκαρ, ἐσσὶ φίλης ἐν γαστρὶ τεκούσης.
ἐκπάγλως θηητὸν ἐμὸν βασιλῆα βοήσω· 14
θυμὸς ἐμός σεθεν ἔργα, μάκαρ, περιθαμβέ' ἀνέγνω.
γινώσκεις, ἐμέθεν τά περ ἔπλασας ὀστέα λάθρῃ 15
καί μευ νερτερίοις βιότου σθένος ἐστὶ θεμέθλοις.
εἶδες, ἄναξ, μ' ἀτέλεστον ἔτι ἐνὶ γαστρὶ τεκούσης 16
δαιδάλλων ἅμα πάντας ἐπ' ἀχράντῳ σέο βίβλῳ,
οὐδέ τις ἀμφαδίην τεκταινομένοισι παρείη.
αὐτὰρ ἐμοὶ περίαλλα φίλοι σέθεν εἰσὶν ἀγητοί· 17
ἀρχομένων δὲ μάλιστα βίη καταφαίνετ' ἀμείνων.
ψάμμον ἀριθμήσαιμι πολὺ πλέον ἤ περ ἐκείνους· 18
ἐγρόμενος μετὰ σεῖο διηνεκέως ἔτι μίμνω.
αἴ κε κατακτείνειας ἀτασθαλίης θεράποντας· 19

---

20 δὲ καίνυτο τέρψις $VOL^2\Omega$; μὲν νυκτόα τέρψις $L^1$; μὲν καὶ νυκτότερψις S; με καὶ νυκτότερψις DMN. — 21 ὄρφνη OS. — 22 νύκτα μάλα δνοφ. Hilberg 95; νύκτα δι' ὀρφναίην Scheindler[2] 436. — τελέειν VOΩ; -ει PRv; om. S. — φαεσίβροτον L; φαέσι βροτὸν S. — 23 ἀναγνοίη VOΩ; ἂν ἀ- Rv. — ποιὴν O. — φάα S. — 24 ἐκτήσατο LS. — 25 om. $DL^1MNS$, add. $L^2$ im. — ἐν VΩ; γὰρ ἐν O. — 26 βασιλῆ εὐ β. S. — 27 ἐμὸς $VOL^2\Omega$; om. $DL^1MNS$. — περιθαμβέ' ἀνέγνω $VL^2\Omega$; -βὲς ἀνέγνων $DM(L^1?)NS$. — 28 ὀστέα λάθρῃ (-η VOcm, -α L) $L^2\Omega$; οὔατα λάθρα $L^1$; οὔτε ἀλάθρον (ἀλα- M) DMNS. — 29 νερτερίου O. — 30 εἶδ' V; ἴδ' O. — ἔτῐ] cf. Ritter 29. Rzach[1] 753. [3] 343; an ἀτέλεστον ἔτι μ'? v. etiam Schneider[1] 304. — ἐν Sternbach 109 (coll. 21, 19. 70, 12. al.). — 31 δαιδάλλων Vbcm; -άλων $L^2\Omega$; -άλοις $DL^1MNS$; -αλοῖς P. — 32—47 om. $D(L^1)MNS$. — 33 περίαλλα O et altero λ expuncto V; -αλα $L^2$; περὶ ἄλλα Ω. — 34 κατεφαίνετ' O. — 37 κατακτείνειας $VOL^2m$; -ήνειας Ω. — ἀτασθαλίης $L^2$.

φευγέμεν ἀνδροφόνοισιν ἐμὸν μένος αἶψα κελεύω.
ἀλλ᾽ ἐρέεις, κενεὰς ὅτι μευ πέρσουσι πόληας· 20
εἰ μὴ ἀπεχθαίροντας ἀπεχθαίρεσκον ἄνακτα, 21
σοῖς δ᾽ ἐπὶ δυσμενέεσσιν ἐμὸς κατετήκετο θυμός;
ἔχθεϊ πάντας ἔγωγε τελειοτάτῳ στυγέεσκον, 22
καί μοι δυσμενέες κραδίῃ καὶ ἀνάρσιοι ἦσαν.
ἀλλὰ περιφραδέως τὸν ἐμὸν νόον ἐξερεείνοις, 23
ἴχνια δ᾽ ἀλλήκτοισι διοπτεύσειας ἐλέγχοις·
δέρκεο δ᾽, εἰ μὴ πάγχυ κακῶν ἀδάητος ἐτύχθην, 24
ὄφρά μευ ἡγήσαιο διηνεκέεσσι κελεύθοις.

## ρλθ′ (139)

a *Παρ τρισκαιδεκάτῃ δεκάδι κλυτὸν ὕμνον ἀείδων* 1
*Δαυῖδος λιγυρὸν εἴνατον ἧσε μέλος.*

b *Ἑκατοστὸν τέτυχθον ἀμφὶ τριακοστὸν εἴνατον*
*μέλος ἔπλετο.*

c *Εἴνατον ἀμφ᾽ ἑκατοστόν τε τριακοστὸν ἐτύχθη*
*Δαυίδου πινυτῆς ἡδὺ μέλος κιθάρης.*

d *Καὶ τόδε Δαβίδου λιγυρὸν μέλος ἔπλετ᾽ ἀοιδῆς*
*ἐκ τρισκαιδεκάτης εἴνατον αὖ δεκάδος.*

Εἴθε, μάκαρ, κακότητος ἀπ᾽ ἀνδρομέης με σαώσοις, 2

---

38 *φευγέμεν᾽ V.* — *κελεύω VΩ*; *-εύσω OL²*. — post 38 add. *καὶ γὰρ πάγχυ ἐρισταὶ τυγχάνετ᾽ εἰς ἐπινοίας P.* — 39 *πόλιας L²*. — 41 *σοῖς VL²*; *οἷς O*; *τοῖς Ω*. — 45 *ἀλλήκτοισι V*; *ἀλή- OLP*; *ἀλύ- Ω*. — *διοπτεύσει O*. — 47 *μευ* scripsi; *με Ω*. — *ὄφρα μ᾽ ἐφηγ.* Scheindler[1] 907. — *ἡγήσεο V* ac.

Υ[a] 139 hab. *VL²* et partim evanidum *O*. — 1 *παρ L²*. — 2 *δαυίδος V*. — *λιγυρὸν γ᾽ εἶν. L²*. — *ἧσε VL²*. — Υ[b] hab. *DL¹MNS*; expunxit *L²*; om. *Ω*. — 1 *τέτυχθο L¹*. — *ἀμφι N*; *ἀμφ᾽ ἑ S*. — 2 *ἔπλετο* om. *L¹*. — Υ[c] hab. *P*; om. *Ω*. — Υ[d] hab. *Rv*; om. *Ω*. — 1 *Δαυίδου bcm*. — Ψ 139, 1 *εἴθε VL²*, ss. *P*; *ἴθε O*; *αἴθε Ω*. — add. *με*, sed expunxit *V*. — quae sequuntur in 1 et 2 *L²* scr. ir. — *ἀνδρομέης VL²PR*; *-δρόης O*; *ἀνδρομέου v*. — *σαώσοις VΩ*; *-σεις O*. — *ἀνέρος* (*νερος S*) *με* (*M²* ex *μη* cr.) *σάω δολεροῖο* (*-ρῖω S*) *μευ* (*μὲν M*) *ἄναξ* (*ἄνακτα S*) subst. *D(L¹?)MNS*.

ἄνδρα δ' ὑπεκφυγέειν ἀθεμίστιον ἄμμιν ἀλάλκοις,
οἳ σφετέραις ἀθέμιστα μετὰ φρεσὶ μερμήριξαν, 3
ἠμάτιοι δ' ὀλοούς μοι ἐθωρήσσοντο κυδοιμούς·
γλῶσσαν ἑὴν ὀφίεσσι κακοῖς θήγεσκον ὁμοίην 4
ἀσπίδος ἀνδροφόνου περὶ χείλεσιν ἰὸν ἑλόντες.
εἴθε φυλασσοίμην στυγερῆς ἀπὸ χειρὸς ἀλιτρῶν· 5
ἀνδρῶν δ' ἐξ ἀδίκων με, μακάρτατε, ῥεῖα σαώσοις,
ἴχνια συγχεύειν οἵ μευ φρεσὶν ὁρμαίνεσκον·
λάθριά μοι κατέπηξαν ὑπερφίαλοι λίνα φῶτες, 6
μηρίνθους δ' ἐτάνυσσαν ἐμαῖς περὶ δίκτυα πέζαις·
θέντο δὲ δοχμώσαντες ἐπ' ἀτραπιτοῖς δολερῇσιν.
εἶπα θεῷ βασιλῆι· „θεός, σύ μευ ἐλπὶς ἐτύχθης· 7
ἱκεσίης ἐπάκουσον ἐμῆς, πανυπέρτατε ποιμήν.
ἄφθιτός ἐσσι, μάκαρ, βιότου δέ μοι ἔπλεο φέγγος, 8
ἄλκαρ ἐμῆς κεφαλῆς σκιόεν κατὰ δηιοτῆτα.
μὴ κεδάσας πόθον ἄμμι πόροις μέλπηθρον ἀθέσμοις· 9
μή με, μάκαρ, προλίποις σφετέρης ἅρπαγμα μενοινῆς,
μή ποτε νικήσαντες ἀγηνορίῃσι μανεῖεν.“
κύκλῳ ὑπὸ σφετέρης κεφαλῆς κακομήχανος ἄντυξ 10
καὶ χειλέων ὀλοῶν κάματός σφεας ἀμφικαλύψει.

---

2 ὑπεκφυγέειν *VΩ*; ὑπενφ- *O*. — ἀθέσμω ῥύσαι με ἄναξ sic subst. *D*(*$L^1$*?)*MN*; ἀθέσμω λύσε μευ ἄνακτι *S*. — 3 οἱ *S*; οἷς *N*. — σφετέρῃς (-ης) *VΩ*. — Hom. κ 438 αὐτὰρ ἔγωγε μετὰ φρεσὶ μερμήριξα. — 4 ἠμάτοιο δόλους *DMN*; ἠμάτι δολοούς *S*. — ἐθωρήσσοντο *V$L^2$Ω* (-ήσοντο *DMN*); ἐθοινήσαντο (?) *$L^1$*; ἐθωνή- *S*. — 5 θηγέεσκον *O*; θίγεσκον *DMN*. — ὁμοίην *$L^1$Ω*; ὁμοῖοι *VO$L^2$P*; -οίων *N*, ac. *M*; -οίως *M* pc. — 7 χειρὸς *V$L^2$Ω*; -ρῶν *D$M^2$NS*; -ροῦν *$M^1$*. — 8 δ' *VOΩ*; om. *Rv*. — 9 Hom. *K* 4 πολλὰ φρεσὶν ὁρμαίνοντα. — 11 ἐτάνυσσαν *VΩ* (-υσαν *Lm*); ἐτάννυσαν *DMNS*. — ἐμῇς (-ῆς) et πέζῃς (-ης) *Ω* (-ξης *S*). — 12 δοχμώσαντες *VODMNS* (Hoeschel.); λοχμώ- *L*; δοχμή- *Ω*. — ἐπ' ἀτραπιτοῖς *VOΩ* (-πητοῖς *P*); ἐφ' οἴμοισι *Ra*; ἐπ' οἴμοισιν *bcgm*. — δολεροῖσιν *O$L^1$*, cr. *$L^2$*. — 13 εἶπε *MN*. — ἐτύχθην *O*. — 15 ἔπλετο *DLMNS*. — 16 σκιόεν κατὰ (-τα *O$L^2$*) *V$L^2$Ω*; -όεντα *D$L^1$MNS*. — 17 κεδάσας *VΩ*; σκε- *MN*.

ἄνθϱακες ἀκαμάτοιο πυϱὸς μετὰ τοῖσι πέσοιεν, 11
ὑψόθεν ἐσσυμένῳ καθέλοις σφέας εἰς χθόνα πυϱσῷ.
οὐδέ ποτ' ἀϱκέσσουσι κακοῖς δεδμημένοι ἦτοϱ·
ἀνέϱα λαβϱαγόϱην καθέλοι κακομήχανος ὥϱη, 12
ἀγϱεύσει δ' ἀθέμιστος ἑῷ κακὰ κήδεα θυμῷ.
εὐδικίην ἀδόνητον ἄναξ πτωχοῖσι τελέσσοι 13
καὶ θέμιν ἀκτεάνων παϱελεύσεται οὔ ποτ' ὀπωπαῖς.
ἔμπά γε μὴν ὁσίη σε βϱοτῶν μέλψειε γενέθλη, 14
εὐθέες αὖ βασιλῆος ὁμοῦ ναίοιεν ὀπωπαῖς.

## ϱμ' (140)

*Ὕμνον ἀγακλήεντα φίλη φόϱμιγγι λιγαίνει*
*Δαυῖδος δεκάτης καὶ τετϱάτης δεκάδος.*

Ἡμετέϱων βοόωντος, ἄναξ, ὑπάκουε λιτάων, 1
ἱκεσίαις τανύσειας ἐμαῖς ἀϱιήκοον οὖας,
εὖτε, μάκαϱ, καλέσαιμι τεὴν ἐπαϱηγόνα χεῖϱα.
ἄντα σεῦ εὐχωλήν μευ ὅπως θύος ἰθύνειας, 2
ἑσπεϱίῃ δ' ἴκελος θυσίῃ παλάμας ἀναείϱω.
δὸς πεϱὶ νωιτέϱοις φυλακὴν καὶ ἕϱκος ὀδοῦσι, 3

---

22 *πεσοῖεν O*; *πέσειεν L*. — 23 *ἐς Ω*. — *χθόνας πεϱσῷ S* ac. — 24 *ἀϱκέσσουσι Lv*, ir. *R*; *-έσουσι VOΩ*. — 25 *λαβϱαγόϱην Vb*c*Ω*; *λαυϱα- PRv*; *βϱα- M*; *λαυϱαγόϱον* (*λαβϱ-* pc) *O*. — *ὥϱη VΩ* (*ὤ- PR*); *ἀνήϱ O*. — 27 *τελέσσει O*. — 28 *ὀπωπαῖς VL*[2]*Rv*; *-ῆς ODL*[1]*MPS*; *ἐποπῆς N*. — 29 *μέλψει O*. — 30 *βασιλῆας L*; *-λείους* (*-λῆους* pc.) *S*. — *ναίοιεν VΩ*; *-ουσιν O*; *-ηεν PR*. — *ὀπωπαῖς VOL*[2]; *-πῆς* (*-πῇς*) *Ω*; *-πῇ* Mommsen 260 (558). — subsequitur in *V* sine interpunctione *Υ* 140, 1, quem statim rubricator (*V**) iterum scripsit.

*Υ* 140, 1 *ἀγακλήεντα VV*OΩ*; *-έεντα M*; *-είεντα Ra*. — *λιγαίνειν P* ac. — 2 *δαυίδος VL*, ac. *P*. — *Ψ* 140, 2 *ἱκεσίῃς* (*-ης*) *τ. ἐμῇς* (*-ῆς*) *Ω*. — 3 *καλέσαιμι Ω*; *τελ- VO*. — 4 *θύοις M*. — 5 *ἑσπεϱίην O*. — *δϊΐκελος* (*δηΐ-* pc.) *S*. — 'forte *ἰκέλοος*' *m**, aperto errore. — *ἀναείϱων O* ac. — 6 *πεϱι VDS*. — *νωιτέϱης S* ac. — *φυλακήν τε καὶ* Scheindler[1] 906. — *καὶ* om. *O*.

*χείλεσι δ᾽ ἀσφαλέας πυλέων πετάσειας ὀχῆας.*
*θυμὸν ἀποκλίνειας ἐμὸν μύθων ἀθεμίστων,* 4
*μηδέ μοι ἀμπλακίης πρόφασις βουλῆσι μελήσοι*
*ἀνδράσι δυσνομίης κακοεργέος εἰς ἓν ἰόντι·*
*τῶν δὲ μετὰ πρώτοις μηδ᾽ εἰν ἀγορῇσι φανείην.*
*δμηθείην δ᾽ ὁσίων ἐλεημοσύνῃ καὶ ἐλέγχοις* 5
*μηδέ τ᾽ ἰαινοίμην ὀλοῷ κάρῃ ἀνδρὸς ἐλαίῳ·*
*εἰσέτι νωιτέρη σφετέροις περὶ μήδεσιν εὐχή.*
*τῶν μὲν ἀμαλδύνοιντο δικασπόλοι ἐγγύθι πέτρης·* 6
*θαρσαλέοι μύθων σθεναρῶν ἀίοιεν ἐμεῖο.*
*ῥιζόθεν οἷα λόφος τις ἀποδμηθεὶς ἐλιάσθη,* 7
*ὀστέα τῶν Ἀίδαο παρασχεδὸν ὧδε κεάσθη.*
*πρὸς σέ, μάκαρ, ποθέουσαν ἐμὴν τανύεσκον ὀπωπήν,* 8
*μή μευ ἐπελπομένην κραδίην ἀπάνευθεν ἐλάσσῃς.*
*ῥίμφα σάω δολερῶν με λίνων, ὧν στῆσαν ἀλεῖται,* 9
*ἔκ τε κακορραφίης ὀλοῶν κακότητος ἐρίθων.*
*δίκτυον ἀθανάτου ξυνέλοι κακότητος ἐρίθους·* 10
*εὔκηλος καὶ μοῦνος ἐπισπεύδων παρελάσσω.*

---

7 *πυλάων V*; *πηλέ- S* ac. — 8 *ἐμῶν V*. — 9 *πρόφασις VΩ*; *-σιν DLMS*. — *μελήσοι V*; *-σει Ω*. — 10 *κακοεργέσιν P*. — 11 *εἰν Ω*; *ἂν R*. — *φανείη DLMS*. — 13 *μηδέ* (*μὴ δέ* s. *δὲ*) *τ᾽ ἰαινοίμην VOΩ*; *μὴ* (*μή* s. *μη*) *δ᾽ ἔτι αἰνοίμην PRv*; *μηδ᾽ ἔτ᾽ ἰαιν- c*; *μηδέ τι αἰν-* vel *μηδὲ διαιν-* (non *λιπαιν-*) Mommsen 271. — *ὀλοᾶ S*; *-ὰ L*. — 14 *εἰσέτι VΩ*; *ἴσετι O*; *εἰς ἔτι PRv*. — *νωϊτέρης M*. — *σφετέρης DLMS*. — *περι DS*. — *εὐχή VOL²v*; *-ήν L¹Ω*. — 15 *ἀμαλδύνοιτο L*. — 16 *θαλσαλέοι L*; *θαρσαλέως MR*. — *ἀΐοιεν Ω* (*ἀϊ οἱ ἐν S*); *ἀεὶ εἶεν L*. — *ἐμοῖο OP*. — 17 *ἀποτμηθεὶς m* (cf. Lobeck[7] 77). — 18—143, 36 nunc absunt *V*. — *ἀΐδαο O*; *ἀοί-* (?) *L* ac. — 19 *ποθέουσιν S* ac. — *πανύεσκον S*. — 20 *μευ L¹Ω*; *σευ OL²P*. — *ἐπ᾽ ἐλπ. ODL²M*. — 22 *κακότητος O* pc., *bcm*; *-τας O* ac., *Ωa*. — 24 *ἐπὶ σπεύδων L*. — *παρελάσω D*; *περ ἐλ- M*.

## ϱμα′ (141)

*Δαυίδου πινυτῆς, ὁπότε σπέος ἀμφιπολεύων* 1
*εὐχωλὴν ἀνέπεμψε θεῷ βασιλῆι βοήσας.*
*ἔμπά γε μὴν ἑκατοστὸν ὁμοῦ καὶ τεσσαρακοστὸν*
*ἀμφὶ πολυκλήεντι πέλει μελεδήματι πρώτῳ.*

*Ἡμετέρην βασιλῆι βοὴν ἀνέπεμψα χατίζων,* 2
*φθεγξάμενος λιτόμην οἰκτίρμονα ποιμένα κόσμου.*
*ἱκεσίην προχέοιμι πρὸ παμβασιλῆος ὀπωπῆς* 3
*καί οἱ ἀπαγγείλαιμι ἐμὸν πολυπήμονα μόχθον.*
*πνεύματος ἀδρανίῃ περιπεπτηῶτος ἐμεῖο* 4
*ἴχνια θεσπεσίῃσι διοπτεύεσκες ὀπωπαῖς·*
*ἀμφὶ τρίβοις δολόεντα λίνον κρύπτεσκον ἐμῇσι.*
*δεξιτερῆς σκοπίαζον ἐμῆς ὑπὲρ ὄσσε τιταίνων,* 5
*οὐδέ τις ἄμμε φίλων ᾠίσατο πάμπαν ὁρᾶσθαι·*
*φεύγειν ἰσχανόωντος ἐμὴ πάρος ὤλετο φύζα,*
*οὐδ᾽ ἦν, ὅς τέ μοι ἦτορ ἀνιχνεύσειε φυγόντος.*
*αὐτὰρ ἐγὼ βοόων ἐφάμην· „σύ μοι ἐλπὶς ἐτύχθης,* 6
*ζωόντων ἀνὰ γαῖαν ἐμῆς, μάκαρ, αἶσα βιώνης.“*
*ἱκεσίην σκοπίαζε· κατεδμήθην γὰρ ἀνίῃ·* 7
*ἐκ κακομηχανίης ὀλοῆς δηίων με σαώσοις,*
*οὕνεκα πολλὸν ἐμεῖο βίῃ προφερέστεροί εἰσιν.*

---

*Υ* 141, 1 *δαβίδου R*; *δαυῖδος Ω* (*-ίδος M*). — *πινυτῆς* $L^2$*Ω*; *-τὴς* ($L^1$?)*S*; *-τοῦ PR*. — 3 *ἑκατοστὸς Ra*. — *τεσσαρακοστὸν* $L^2$*Ω*; *-τὸς Ra*; *τριακοστὸν* $L^1$. — 4 *πολυκλειέντι Rabc*. — *Ψ* 141, 1 *ὑμετέρην M*. — *ἀνέμελψα* $L^1$, cr. $L^2$. — *χατίζων ODLMS*; *βοήσας PRv*. — 3 *πρὸ παμβασιλῆος Rv*; *πρόπαν βα- OLS*; *πρόπαρ βα- DMP*. — *ὀπωπῇ O*. — 4 *ἐ. προπολυπήμονα S*. — *μόχθων L*. — 5 *περιπεπτηῶτος Ω*, ir. $L^2$; *πεπτηῶτος MS*, pc. *D* (*-τες* ac.). — *ἐμεῖο* $L^1$*Ω*; *-οῖο* $L^2$. — 6 *διοπτεύε M*. — *ὀπωπαῖς O*$L^2$*R*; *-ῇς* (*-ῆς*) *Ω*. — 7 *λῖνον O*; *λίνα* $L^2$*Ω*; om. *D*$L^1$*MS*. — 8 *δεξιτερῆς σκ. ἐμῆς P*. — 9 *ἄμμε O*; *ἆ με R*. — *φίλον ODLMS*. — *ᾠΐσατο OM*; *ᾠΐσσ- Ω*. — 10 *ἰσχανόωντος* (*ἰχα- a*) *Ω*; *-όοντος DM*, ac. *S*; *-όων τόσων L*. — 11 *ἦν ὅς τέ* (*τε*) *Ω*, pc. $L^2$; *ἡ ὁς τέ S*; *εἰ ὀστέα DM*. — *ἦτορ Ω*; *ὕδωρ O*. — 14 *κατεδμήθη O*.

εἴθέ μοι ἀπρήκτου φυλακῆς ἐξείλεο θυμόν, 8
ὄφρά κεν οὔνομα σεῖο περιφραδέως ἀναμέλψω·
ἐκ σέο μισθὸν ἐμὸν γενεαὶ μίμνουσι δικαίων.

## ρμβʹ (142)

*Δαυίδου κλυτὸς ὕμνος Ἀβεσσαλῶμος ἀμώμου*
*ὅττέ μιν υἱὸς ἑὸς σφετέρης ἐξήλασε πάτρης.*
*ἔμπά γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστὸς*
*δεύτερον αἰγλήεντα λαχὼν συμφράδμονα κῶμον.*

Εὐχῆς ἡμετέρης ἐπικέκλυθι, φέρτατε ποιμήν, 1
ἀτρεκέως καλέοντος ἐμαῖς ὑπόεικε λιτῇσι,
σεῖο δικαιοσύνῃ μευ, ἄναξ, βοόωντος ἀκούσαις
μηδὲ δικαζομένῳ μοι ἐπαντιάσειας ἀγῶνος· 2
οὔ τις γὰρ μερόπων ὅσιος σέθεν ἄντα φανείη.
ἐχθρὸς ἐμὸν στονόεντα βιήσατο θυμὸν ἐλαύνων, 3
γαίης νερτερίοισιν ἐμὴν ὑπέταξε βιώνην
ἀπρήκτοις νεκύεσσιν ὑπὸ κνέφας ἶσα καθίζων·
πνεῦμα δ' ἐμὸν πυκινῇσιν ἀμηχανίῃσι πεδήθη, 4
ἀσχαλόων ἀχέεσσι μετὰ φρεσὶ θυμὸν ὀρίνθην.
αὐτὰρ ἐγὼ προτερηγενέος μεμνημένος ὥρης 5
ἔργα νόῳ κελάδησα θεόσδοτα παμβασιλῆος,
χειρῶν δ' ἔργματα θεῖα περιφραδέως ἀνέμελπον
χεῖρας ἐμὰς βασιλῆι πολυκλήεντι πετάσσας· 6

---

17 *ἴθε O*; *εἰθέ M*. — *ἐξείλετο D*($L^1$?)*gm*; *-εἴλετο S*.

Υ 142, 1 *ἀβεσσαλῶμος* $L^2$*Ω*; *ἀβεσα- DMS*; *ἀβασα-* $L^1$. — *ἀμύμων DLMS*. — 2 *ὅττέ a*; *ὅττε bcm*; *ὅτε DMRS*; *ἔτε L*; *ὁππότε P* (Hilberg 33, Rzach[1] 752). — *υἱὸς ἑὸς abc* (*ἑὸς* om. *gm*); *ἑὸς* (*ἐ- M*) *υἱὸς Ω*. — *πάτρης DLMPS*; *πέ- Rv*. — 3 *τεσσαρακοστὸς*] *δεύτερος* add. $L^1$, del. $L^2$. — 4 *δεύτερον* om. $L^1$, add. $L^2$. — *κῶμον Ω*; *μῦθον O*. — Ψ 142, 2 *ἐμῆς Ω*. — *ὑπόεικε Ω*; *ἐπό- S*; *ἐπί- DLM*. — 3 *ἀκούσαις* $L^2$*Ω*; *-σης* $L^1$*S*; *-σοις DM*. — 4 *μή με δ. R*. — *ἐπαντιάσης* $L^1$, cr. $L^2$. — *ἀγῶνας M*; *-να* Mommsen 261 sq. — 5 *τι S*. — 10 *σχέεσι DS*. — 11 *προτερηγενέος D*$L^1$*MS*; *-τέρης γενεῆς* (*-εᾶς* ac.) *O*; *-τέρης γενέας L*; *-τέρων γενεῶν PRv*. — 14 *βασιλήϊα L*. — *πολυκλήεντα DLS*, ac. *M*.

θυμὸς ἐμὸς ποθέει σ' ἅτε διψάδος αὔλακες αἴης.
αἶψά μευ εἰσαΐοις, μελέων πρὶν πνεῦμα μεθείω· 7
μή μευ κυδιάνειραν ἀποστρέψειας ὀπωπήν,
μηδὲ κατερχομένοισιν ἴσος βόθρον δὲ φανείην.
σῆς, μάκαρ, ἐξ ἠοῦς ἐλεητύος εἴθε πυθοίμην, 8
οὕνεκεν ἐλπωρὴ παναγήραος ἄμμιν ἐτύχθης.
δός νύ μοι αἴσιον οἶμον,· ὅπῃ χρέος ἐστὶν ὁδεύειν,
οὕνεκεν ἀμφὶ σὲ θυμὸν ἀεὶ πεπετασμένον ἴσχω.
ἀντιβίων παλάμης με, μακάρτατε, ῥίμφα σαώσοις, 9
πύργον ἐπεί σ' ἄρρηκτον ἀεὶ πεφοβημένος εὗρον.
αὐτὸς ἄναξ ἐμός ἐσσι, νόον δέ με σεῖο διδάσκοις· 10
ἰθείην δ' ἀγαθόν με φέροι χθόνα πνεῦμα θεοῖο.
δός νύ μοι εὐδικίην βιότου τροφὸν εἵνεκα σεῖο, 11
θυμὸν ἐμὸν στονόεντος, ἄναξ, μόχθοιο σαώσοις.
ἐκ δέ μευ ἀντιβίους ἐλέῳ σέθεν εἵνεκ' ὀλέσσοις, 12
πάντας ἐμῆς δαμάσειας, ἄναξ, ψυχῆς ὀλετῆρας,
οὕνεκα σὸς θεράπων καταθύμιος εὔχομαι εἶναι.

## ρμγ' (143)

*Δαυίδου κλυτὸς ὕμνος ἐπ' ἀντιβίῳ Γολιάτῳ*
*καὶ τρίτατος σοφίῃ τοῖς πρὶν ἅμ' ἑσπόμενος·*
*ἔμπά γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.*

Εὐφήμοις μελέεσσιν ἀεὶ θεὸς αἰνετὸς ἔστω, 1
ὃς παλάμας θώρηξεν ἐμὰς ἐπὶ δηιοτῆτα,

---

15 ποθέει σ' Ω; -θέει L; -θεῖ σε D; -θεῖε S. — διψάδες L. — 16 μευ Ω; μὲν L; με Rgm. — εἰσαΐεις PR. — 17 μή με R. — 18 ἶσος OLPRS; -ον DM. — 19 ποιθύμην S ac. — 20 ἐλπωρὴν S ac. — 21 ὁδεύειν $L^2$Ω; -ων $DL^1$MS. — 24 ἔπεισ S. — 25 ἐμός ἐστὶ L; ἐμόσσεσι S. — νόου D. — διδάσκεις LMS. — 26 φέρει ODLMS. — 27 εὐδικίης P. — σοῖο D. — 28 μόχθοιον S; -θοις M. — 29 ὀλέσσης OLMS.

Υ 143, 1 γολιάτῳ $L^1$Ω; -θῳ $L^2$; -σω S. — 2 ἑπόμενος DLMR; ἑ(σο del.)σεπό- S. — Ψ 143, 2 θώρυξεν M; θεώρη- S. — ἐπι S; om. DM.

*τεῦξε δὲ νωιτέρων μενεδήια δάκτυλα χειρῶν.*
*αἰέν, ἄναξ, ἐλεητὺς ἐμὴ καὶ πύργος ἐτύχθης* 2
*ῥυόμενος κακότητος ὑπερμενέας τ' ἀπαμύνων,*
*ἐλπὶς ἀγακλήεσσα καὶ ἄρκιος ἀσπιδιώτης,*
*λαὸν ἐμὸν παλάμῃσιν ὑφ' ἡμετέρῃσι δαμάζων.*
*τίς βροτός ἐστιν, ἄναξ, ὅτι οἱ ἀναφανδὰ παρέστης,* 3
*ἢ φύτλη μεροπηίς, ὅ μιν φρεσὶν ὧδε γεραίρεις;*
*ἄνθρωπος κενεοῖς ἰνδάλμασιν ἶσος ἐτύχθη,* 4
*ἤματα δ' ἀσταθέι σφέτερα σκιῇ ἶσα παρέρπει.*
*οὐρανὸν ἀγκλίνας πυκινὸν καταβήσεο, ποιμήν·* 5
*θῖγ' ὀρέων, καὶ καπνὸν ἄδην σκοτοειδέα τεύξεις.*
*μαρμαρυγὰς στεροπῆς προϊεὶς σκεδάσειας ἅπαντας·* 6
*πέμπε, μάκαρ, βελέεσσι τεοῖς, ἵνα θυμὸν ὀρίνῃς.*
*χεῖρα τεὴν πέμποις ἐξ αἰθέρος, ὥς με σαώσοις* 7
*καί με πολυσμαράγων ὑδάτων ἀπολύσεαι ὁρμῆς.*
*χειρὸς ἀπ' ὀθνείων με, μακάρτατε, ῥύεο παίδων,*
*ὧν στόμα μαψιδίως κενεαυχέας ἔκφατο μύθους* 8
*δεξιτερή τ' ἀθέμιστος ἀεὶ μεταμώνια ῥέζει.*
*αὐτάρ ἐγώ τοι ἄεισμα νέον, πανυπέρτατε, μέλψω,* 9
*νευρῆς ἁρμονίῃ δεκάδος τεὸν εὖχος ἀείσω,*
*ὃς φάος ἡμετέροις βιότου βασιλεῦσιν ὀπάζεις* 10
*καὶ ξίφεος θεράποντα τεὸν Δαυῖδον ἔλυσας.*

---

**4** *ἐμῆς* *S* ac. — **5** *κακότητο* *O.* — *ὑπέρμεμε ἀς* *S*; *ὑπέρμεους* *D*; *ὑπέρ* cum lac. *M.* — *ὑπὲρ μεμαώτ' ἐπαμύνων* *O.* — **6** *ἀγακλήεσα* *DS*, ac. *M*; *-είεσσα* *Rabcg.* — **7** *ἡμετέροισι* *L*, pc. *S*; *ἡμέρῃσι* *M.* — **9** *ἡ* *S*; *ἡ* *M.* — *γεραίρει* *O.* — **10** *κενεῆς* *S* ac. — **12** *οὐρανοῦ* *M.* — *ἐγκλίνας* *O.* — *καταβήσεο* *O* (cf. Hom. Ξ 229. ν 75. Lobeck$^5$ 488); *-σαιο* *Ω.* — **13** *θίγ'* *DLMPR*; *θϊγ'* *S*; *ἴγ'* *O*: cf. Lobeck$^7$ 50. — **16** *πέμποις* $L^2$*Ω*; *-εις* $L^1$*S.* — **17** *ἀπολύσεαι* *OL*; *-σαιο* *Ω*; *-σαιε* *S.* — **19** *ἔφατο* *O.* — **20** *δεξιτερῆ* *D*($L^1$?)*S.* — *ῥέζει* $L^2$*m**; *-ξει* $L^1$*Ω.* — **21—27** om. *M.* — *ἄεισμα*] cf. Callim. fr. 287. Naeke$^2$ 59. — **23** *ἡμετέρης* *S* ac.; *-ροιο* *PR.* — *βιότου* om. *O.* — *ὀπάζεις* *LSc*, pc. *D*; *-οις* *Ω*, ac. *D.* — **24** *δαυῖδον ἔλυσας* *Ω*, ir. $L^2$; *εὖχος ἀείσω* (ex 22) *DS.*

*χειρὸς ἀπ' ὀθνείων με, μακάρτατε, ῥύεο παίδων,* 11
*ὧν στόμα μαψίδιον κενεαυχέας ἔκφατο μύθους*
*δεξιτερή τ' ἀθέμιστος ἀεὶ μεταμώνια ῥέζει,*
*υἱέες ὧν νεαροῖς πανομοίιοι ἔρνεσιν ἥβης,* 12
*αὐτὰρ θυγατέρεσσι τόσος περὶ κάλλεϊ κόσμος,*
*ὄμμασί κεν φαίης χρυσάμπυκα νηὸν ὁρᾶσθαι.*
*παντοίων ἀγαθῶν σφέτεροι βεβρίθασι σηκοί,* 13
*ἐξ ἑτέρου δ' ἕτερον δὲ περιρρέει ἄσπετον ὕδωρ.*
*τοῖσι μὲν εὔβοτα μῆλα καὶ εὔλοχα πολλὰ τέτυκται,*
*ζατρεφέες δὲ βόες καὶ ἀρείονες ἔξοχον ἄλλων.* 14
*ἔμπεδα μὲν πάντά σφισιν ἔρκεα τηλόθεν ἄτης,*
*οὐδ' ἀμφ' εὐρυπόροισιν ὁδοῖς σφέων ἐστὶ βοητύς.*
*πάντες ἀνολβίζουσι τόσοις βεβριθότα λαόν·* 15
*ὄλβιος, ᾧ τε θεὸς μέλεται φρεσίν, ἔπλετο λαός.*

## ρμδ΄ (144)

*Δαυίδου κλυτὸς αἶνος ἐρισθενέος βασιλῆος*
*τέτρατον ἀγκαλέων ᾖσε μέλος σοφίης·*
*ἔμπά γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.*

*Ἄφθιτε, κυδαίνω σε, βίην δέ σευ ὑψόσ' ἀείρω,* 1

---

**25** sqq. fere = 18 sqq. — **26** *ὧν τὸ στ. O.* — *μαψιδίως* est 19. — *ἔφατο θεσμούς O.* — **27** *ῥέζει PR*; *-ξει Ω.* — **28** *υἷες DM*; *υἷες S.* — *πανομοίϊ]οι* ir. *L*²; *-ον M.* — *ἥβη O.* — **29** *θυγατέραισι DM.* — *περὶ κάλλεϊ κόσμος Ω*, ir. *L*²; om. *M*; *χρυσάμπυκα* (*-πηκα S*) *χρυσὸν* (cf. 30) *DMS.* — **30** om. *DL¹MS*, add. *L*² im. — **31** *σφετέρην DMS.* — **32** *ἐκ τοῦδ' εἰς ἕτ. P.* — *ἕτερον δὲ S*; *-όνδε ODL²MP*; *-ον L¹*; *-όν γε Rv.* — **33** *εὔβοτα Ω*; *-κοτα S.* — *εὔλοχα Ω*; *-λογα Sm*; *-τοκα ODM.* — **34** *ἔξοχοι L*; *-χα M.* — **35** *ἕρκεα OL²P*; *ἄλγεα* (*γ* obscurius) *L¹*; *ἄλκεα DMS*; *ἕλ- Rv.* — **36** *ἐστὶ βοητύς DLMS* (cf. Hom. *α* 369); *-τός O*; *-τή P*; *ἐστὶν ἀϋτή Rv.* — **38** *ὅ L¹*, *ᾧ* cr. *L*². — *μέλεται VL²Ω*, pc. *S* (*-τε* ac.); *μέλψαι L¹*.

*Υ* 144, **1** *ἐρισθενέως M* ac. — **2** *ἀγκαλέων V*; *ἐγ- L*²; *ἀγακλέων L¹Ω*; *εἰαλέων DM*; *ἀκραιφνοῦς P.* — *ᾖσε PRv*; *εἰς σὲ VODLMS.* — *Ψ* 144, **1** *σευ m** (Ritter 22); *σε VOΩ*; om. *DLMS.* — *ὕψος DLMS.*

οὔνομα δ' ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα·
γηθόσυνος μέλψω σε διηνεκὲς ἦμαρ ἐπ' ἦμαρ, 2
οὔνομα δ' ὑμνήσαιμι τεὸν πυκινῇσιν ἀοιδαῖς
ἐκ γενεῆς γενεὴν δὲ διαμπερὲς ἤματα πάντα.
αἰνετός ἐσσι, μάκαρ, καί τοι μέγα κῦδος ἀέρθη, 3
καί οἱ ἀτέρμαντον πέλεται περιώσιον εὖχος.
ἔργά σεθεν φύλοισι, μακάρτατε, φῦλα βοήσει 4
καὶ σθένος ἀπροτίοπτον ἀριφραδέως ἀγορεύσει.
σὸν μεγαλοπρεπὲς εὖχος ἀρίζηλον καταλέξει, 5
σεῖο δ' ἀπαγγείλειε, μακάρτατε, θέσκελα πάντα,
ἔργον δ' οὐκ ἐπιεικτὸν ἀνὰ στόμα δείματι μέλψει. 6
οὔ σευ ἀναύδητος μεγαλαυχέα ἔργα παρέλθοι·
σὸν σθένος ἀστυφέλικτον ἀριφραδέως ἀγορεύσει, 7
ἐν δὲ δικαιοσύνῃ κεχαροίατο παμβασιλῆος.
οἰκτίρμων βασιλεὺς πανυπέρτατος ἠδ' ἐλεήμων 8
τλήμονα θυμὸν ἔχων σφετέρην τ' ἐλεητὺν ἀέξων·
μειλιχίην μετὰ πᾶσι θεὸς δεδάηκε φυλάσσειν 9
ἔργα κατοικτείρων, ὅσα περ τεκτήνατο χειρί.
ἀλλήκτῳ κραδίῃ σε, μακάρτατε, ἔργα βοήσει 10
καί σευ ἀγακλήενθ' ὁσίων γένος αἶνον ἀείσει.

---

4 *γηθόσυνον O.* — *διηνεκος M* ac. — **5** sq. = 2 sq. — **6** *δὲ* om. *O.* — post 6 iterant 4 *D*, im. *M*² (*μέλψω, μελψώ σε διηνεκὲς* sic *M*²). — **8** *ἀτέρματον ODM*; *-μαντο S.* — **9** *φίλοισι VOL.* — **11—15** om. *V.* — **12** *ἀπαγγείλειε* scripsi (coll. 151, 6); *-έλλει O*; *-ελέει L¹O*; *-ελέει γε L²*; *-ελέει τε (τὲ) PRv.* — *πάντα Ω*, cum *γρ´ L* im.; *ἔργα L* it. — **13** *στόματι* (om. *δείμα*) *S.* — **14** *ἀναύδητος* (α *supra* ς) *O.* — *πλήθους μειλιχίης μνημήϊον ἐξαγορεύσει* substituit *P.* — **16** *ἐν δὲ* ir. *L²*; *ἔνθε* (s. *εὔ-*) *DMS.* — **17** *ἤδ' S.* — **18** *θυμόν τ' VOR.* — *ἀέξει V.* — **19** *μειλίχιον DLMS.* — **20** *τεκτήνατο V*; *τεχνήσ- Ω.* — **21** *ἀλλήκτῳ* (-ω) *VDMS* (*λλήκτω O*); *ἀλή- Ω.* — **22** *ἀγακλήενθ' VOm*; *-ῆεν θ' DMP*; *-ήεντ' S*; *-ῆεν τ' L*; *-εῖεν θ' Ra*; *-είενθ' bcg.* — *γένος* om. *O.* — *ἀείσω M.*

*κῦδος ἀνακτορίης πανυπέρτατον ἐξερέουσι* 11
*καὶ σθένος ἀστυφέλικτον, ἄναξ, τεὸν ὑμνήσουσι,*
*θηητὸν μερόπεσσιν ὅπως σθένος ἄφθιτον ἕξεις* 12
*καὶ μεγαλοπρεπὲς εὖχος ἀνακτορίης ἐρατεινῆς.*
*αἰεὶ κοιρανίη πάσης μεδέουσα γενέθλης.* 13
*ἀχράντοις ἐπέεσσι θεὸς περὶ πίστιν ὑφαίνει,* 14
*καί οἱ εὐδικίη τελέθει κεκερασμένη ἔργοις·*
*ἀθάνατος δεδάηκεν ἀεὶ πίπτοντας ἐγείρειν,*
*ἰθύνειν ὀλοοῦ ὑπὸ ῥήγματος ἄνδρα πεσόντα.*
*εἰς σέ, μάκαρ, λεύσσουσι, τά περ τεκτήναο, πάντα,* 15
*καὶ σὺ δίδως ἅμα πᾶσι κατὰ χρέος ἄρμενον εἶδαρ·*
*πᾶν γένος ἐμπλήσειας, ἐπήν σεο χεῖρα πετάσσῃς.* 16
*πάντοθεν εὐδικίη μεθέπει βασιλῆος ἀταρπούς,* 17
*ἐκ δ' εὐηγεσίης ὁσίοις περιλάμπεται ἔργοις·*
*παντὶ λιταζομένῳ περιίσταται ἠδὲ φυλάσσει,* 18
*ὅς τέ μιν ἱκεσίῃ παναληθέι μειλίξαιτο·*
*αἰὲν ἑοῖς δμώεσσιν ἐπικρήνειεν ἐέλδωρ,* 19
*ἱκεσίης δ' αἴων σφετέρης ἀπολύσεται ἄτης.*
*αἰὲν ἄναξ κακότητος ἑοὺς ἐσάωσεν ἐρίθους,* 20

---

**23** *ἐξερέουσα* $DL^1MS$, cr. $L^2$. — **25** *ἕξης* *D*; *ἕ-* *M*. — **27** *πάσης* *VOΩ*; *ἁπάσης* *Rv* (cf. Ritter 13). — *σῆς βασιλείης κῦδος ἀκήρατον ἤματα πάντα* | *καί σευ κοιρανίη πάσης μεδέουσα γενέθλης* substituit *P*. — **29** *καί οἱ* *VΩ*; *ἤδε οἱ* Ritter 17. — *εὐδικίη*] *καὶ* add. $L^1S$, del. $L^2$. — *κερασμένη* $L^1$, cr. $L^2$. — **31** *ῥήματος* *L*. — **32** *λεύσσουσι* *VPv*; *λεύσουσι* *OΩ*. — **33** *σὺ δίδως* $OL^2$; *δίδως* $VDL^1S$; *δώης* *R*; *δώῃς* *Pa*; *δῴῃς* *bcm*; *δ κος* (im. *δώης ἢ δώσεις*) *M*. — *κατα* *VO*. — *ἄρμενον* *VDS*. — *εἶδαρ* ex *ὕδωρ* cr. *S*. — **34** *ἐμπλήσειας* *VOΩ* (*-σϊας* *S*); *ἐκ-* *v*. — **35** *βασιλείους* *V*. — **36** *εὐηγεσίης* *VΩ* (cf. 118, 285); *ἐσσηγ-* *O*; *εὐεργ-* *L*. — *ὁσίοις* *VΩ*; *ὅσιος* *ORv*. — *πυρὶ λάμπεται* Mommsen 268. — *ἔργοις* *VOΩ*; *-γων* *Rv*. — **37** *περιίσταται* *PRv*; *παρίσ-* *VOΩ*. — **38** *μειλίξατο* *R*. — **39** *ἑοῖς* om. *gm*. — *αἰὲν ἑοῖς δαΐων, σφετέρης ἀπολύσεται ἄτης* (ex 40) substituit *M*. — *ἐπικρίνειεν* *VD*. — **40** *δαΐων* iterum *M*. — *ἀπολύσετε* *M*. — **41** *ἑοὺς* *M*.

*αὐτὰρ ἀτασϑαλίης δαμάᾳ ϑεράποντας ὀλέϑρῳ.*
*αἶνον παμβασιλῆος ἐμὸν στόμα πιστὸν ἀείσει,* 21
*ϑνητῶν τ' ἄσπετα φῦλα ϑεοῦ κλυτὸν οὔνομα μέλψει*
*ἐκ γενεῆς γενεὴν δὲ μετ' ἀλλήκτοισι γενέϑλαις.*

## ρμε' (145)

*Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος*
*πεμπταῖον συνέριϑον ἔχων ϑρόον ἀλληλούια·*
*ἔμπά γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.*

*Μέλπε ϑεόν, φίλε ϑυμέ, τεῆς κρατέοντα βιώνης·* 1
*ὑμνήσω βασιλῆα πολύλλιτον, εἰσόκεν ἕρπω,* 2
*ἀϑάνατον φόρμιγγι διαμπερὲς ὑμνοπολεύσω.*
*μηδέ ποϑ' ἡγητῆρσι μετὰ φρεσὶ ϑάρσυνος εἴης* 3
*μηδὲ βροτῶν τεκέεσσιν, ὅϑεν φάος οὔ ποτ' ἐτύχϑη,*
*οἳ ψυχῆς πταμένης σφετέρην πάλιν εἶσ' ἐπὶ γαῖαν·* 4
*τοῖσι δ' ὁμῶς φϑινύϑουσιν ὅλαι φϑιμένοισι μενοιναί.*
*ὄλβιος, ᾧ τε ϑεὸς πανυπέρτατός ἐστιν ἀρωγὸς* 5
*ᾧ τε κατ' ἐλπωρὴ πέλεται βασιλῆος ἐφετμῆς,*
*ὃς γαῖαν χλοερήν τε καὶ οὐρανὸν εὐρὺν ἔτευξε,* 6
*πόντον ἐρισμάραγον καὶ ὅσα τρέφει οἶδμα ϑαλάσσης,*
*αἰὲν ἀληϑείην μεμαὼς πραπίδεσσι φυλάσσειν,*

---

42 δαμάᾳ *gm*; -άα *VΩ*; -άει *DM*. — 44 ϑ' $L^1$, τ' cr. $L^2$. — 45 ἀλλήκτοισι *VDM*; -τησι *S*; ἀλήκτοισι *Ω*; -τησι *O*.

Τ 145, 1 ζαχαρίαο $L^1Ω$; -ίοιο $VL^2$; -ίου *PR*; -ίας *M*. — ἀγγέου *M*. — 2 πεμπταῖον $L^1Ω$; -τέον *S*; πέμπτον $L^2$. — ξυνέριϑον *Ω*. — ἔχον $L^1S$, cr. $L^2$. — ϑρόον $L^2Ω$ (cf. Τ 146, 2); ϑρόνον *P*; ῥόον $VL^1MS$. — 3 ἑκατοστὸς et τεσσαρακοστός $L^2Ω$; -τὸν et -τόν $VL^1S$. — Ψ 145, 1 μέλπε ex πέμπε cr. *M*. — 2 πολλύλιτον *L* ac. — ἰσόκεν *S*. — 4 μὴ δέ ποϑ' *V*; μὴ δέ πωϑ' *S*; ἠϑ' sic *O*. — 5 οὔ πωτ' *S*; ὑπὸ τ' *M*. — 6 πάλιν $VL^2Ω$; $\overset{\alpha}{\bar{\pi}}$ *S*; πασαν $L^1$; πᾶ- *DM*. — 9 κατελπωρὴ pc. *M*; -ρῆ *L*. — ἐλπωρῆ *S*; -ρὴν *O*. — ἐφετμῆς *VDLMS*; -μῆσι *O*; -μάς *Ω*. — 10 = 113, 49. — τεῦξεν *O*. — 11 ἐρισμάραγον *Pbcgm* (v. $Lch^5$ 302); -ραγδον *VΩ* (ἐρει- *DS*); ἐρειγμαράγδον *M*. — τρέφον *S*. — 12 φυλάσσειν *V*; -ει *Ω*.

*ὅς ῥα βιαζομένοισι δικαιοσύνην ἀναφαίνει,* 7
*πᾶσι δὲ πειναλέοισι διδοῖ ζωαρκέα δαῖτα.*
*αὐτὸς ἀλυκτοπέδαις πεπεδημένον οἶδε σαῶσαι,*
*αὐτὸς ῥιγεδανοῦ ὑπὸ ῥήγματος ἄνδρας ἐγείρει,* 8
*αὐτὸς ἄναξ τυφλοῖσι νόον πυκινόφρονα τεύχει,*
*αὐτὸς παμβασιλεὺς ὅσιον γένος ἀμφαγαπάζει,*
*αὐτὸς ἄναξ δεδάηκε νεήλυδα φῶτα φυλάσσειν* 9
*χήρην τ' ὀρφανικόν τε μετ' ἀγκαλίδεσσιν ἀεῖραι·*
*αὐτὰρ ὁδὸν στονόεσσαν ἀμαλδύνειεν ἀλιτρῶν.*
*νωλεμέως ἄχραντος ἀγακλήεις βασιλεύσει* 10
*ἐκ γενεῆς γενεὴν δὲ θεὸς Σιῶνος ἀνάσσων.*

## ρμς′ (146)

**Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος**
**ἑκταῖον συνέριθον ἔχων θρόον ἀλληλούια·**
**ἔμπά γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.**

*Μέλψατέ μοι βασιλῆα, ἐπεὶ μέλος ἐσθλὸν ἐτύχθη·* 1
*αἶνος νωιτέρῳ καταθύμιος ἔσσετ' ἄνακτι.*
*κλεινὸς ἄναξ Ἱερουσαλὴν θεοτερπέα τεύχων* 2
*φῦλον ἐπαθροίσει κεκεδασμένον Ἰσραήλου,*

---

**13** ῝ς *O*; ὡς *M*. — θιαζομένοισι δικαιοσύν sic *M*. — **14** διδει $L^1$, cr. $L^2$. — **15** αὐτὸς serius add. *P*. — ἀλυκτοπέδῃς (-ης) *Ω* (ἀληκ- *S*). — εἶδε *O*. — **16** post 17 collocant $L^2P$ (non $L^1V\Omega$). — ῥιγεδανὸν *M*. — ἀπὸ ῥ. ἄνδρα *O*. — **19** δεδάηκεν ἐπήλυδα $L^1$; -ημε νεήλ- $L^2$. — **20** ὀρφανὸν ικὸν $L^1$, cr. $L^2$; ὀρφανικήν *V*. — **22** ἀγακλήεις *VΩ*, pc. *O*; -είεις *R*; -είης *O* ac., *a*; -ειὴς *bcgm*. — **23** ἀνάσσων $VL^2\Omega$; -σσει $L^1$.

*Υ* 146, 1 ζαχαρίαο *Ω*; -ίοιο *V*; -ίας *DM*; -ίου *PR*. — **2** post 3 collocant *V(O?)DLMS* (non *PRv*): cf. *Υ* 145. 147. 148. — ἑκτέον *L*; ἑ- *S*. — συνέριθον *VΩ*; ξυν- *v*. — ἔχον *M*. — θρόον *VΩ*, pc. *R*; θρόνον *P*, ac. *R*. — **3** ἑκατοστὸς et τεσσαρακοστός $L^2\Omega$; -τὸν et -τόν $VDL^1S$; -την (ss. ὸν) et -τόν *M*. — *Ψ* 146, 1 (μ)έλψατέ μοι βασ. *S* ac. (cf. 148, 1. 149, 1. 150, 1); μέλψατέ μοι παμβασ. *VOΩ*, pc. *S*; μέλψατε παμβασ. *v*. — **3** Ἱερουσαλὴν Mommsen 270; -λὴμ *Ω*. — **4** κεκεδασμένον *VΩ*, pc. *M*; -νου *L*; -νους *M* ac. — ἰσραῆλον *R* ac.

*ἰητὴρ οἷσίν τε κατεκλάσθη φίλον ἦτορ* 3
*καὶ σφετέροιο πόνοιο περισφίγγων μελεδῶνας.*
*μοῦνος ἀμετρήτων ἄστρων δεδάηκεν ἀριθμὸν* 4
*ἐξονομακλήδην ὀνομάζων τείρεα πάντα.*
*νωίτερος θεός ἐστι μέγας, μεγάλη δέ οἱ ἀλκή,* 5
*οὐδέ [τ'] ἀνὴρ πινυτῆς μάκαρος κλυτὰ μέτρα νόησεν.*
*οἶδεν ἀειρέμεναι βασιλεὺς γένος ἠπιοθύμων,* 6
*αὐτὰρ δυσσεβέας γαίης πυμάτοισι δαμάζειν.*
*ἀρχόμενοι βασιλῆα θοῇ κελαδήσατε μολπῇ,* 7
*μέλψατε παμβασιλῆα θεὸν φόρμιγγι λιγείῃ,*
*οὐρανὸν ὃς πολύχαλκον ἐνὶ νεφέεσσι πυκάζει* 8
*γαίῃ ἑτοιμάζων σφετέρῃ φυσίζοον ὄμβρον,*
*ὃς τόσον ὑψικόμοις καὶ ἐν οὔρεσι χόρτον ἀέξει*
*ἀντέλλων ζυγίῃσι βροτῶν μελιηδέα ποίην,*
*ὃς καὶ τετραπόδων ἀγέλαις πόρεν ἄρμενον εἶδαρ* 9
*καὶ κοράκων ἤρκεσσε λιταζομένοισι νεοσσοῖς.*
*οὔ ποτ' ἐπαινήσειεν ἄναξ σθένος ἄσχετον ἵππου,* 10
*κνημάων δ' οὐ πάμπαν ἀγάσσεται ἀνδρὸς ἐρωήν·*

---

**5** *οἷσι ODM.* — *τε* ex *κε* cr. *O.* — Hom. *δ* 481 *αὐτὰρ ἔμοιγε κατεκλάσθη φίλον ἦτορ.* — **6** *σφετέροιο* $V L^2 \Omega$; *-ρας DM*; *-ρης* $L^1 S$. — **7** *μοῦνον* $L^1$, cr. $L^2$. — **8** *ἐξ ὀνομακλήδην VMR*, pc. *L*; *ἐξ ὄνομα κλή- OS*, ac. *L*: cf. Hom. *X* 415. — *πείρεα O*: cf. Nauck[4] 598. — **9** *ἔσσι O.* — *μέγας* om. *O.* — *ἀλαή M.* — **10** *οὐδέ τ'* scripsi; *οὐδ' VOΩ*; *οὐδὲ Rv*; *οὔτις* Ritter 17; *οὐδ' οἱ* Scheindler[1] 907. — *πινυτῆς* $V L^1 \Omega$; *-τὴς O*; *-τὸς* $L^2 P$. — *νόησεν* $V L^2 \Omega$; *-σε O*; *νοήσας* $D L^1 M S$. — **11** *εἶδεν* $D L^1 M S$, cr. $L^2$. — **12** *πυμάτῃσι O*; *παμάτοισι S.* — **13** *θοῇ* in *-ῶν* (?) cr. *V*; *μολπῆ S.* — *μολπῇ (-ῆ) SΩ*; *-πή·ων* sic *V*; *-πή* (ss. *ων*) *O.* — **14** *παμβασιλῆα* $V L^2 \Omega$; *-λῆϊ DM*; *-λεῖ* $L^1$; *-λῆ S.* — *θεὸν* $V L^2 \Omega$; om. $L^1$; *θεῷ (-ῶ) DMS.* — *λογείην* (*ν* expunct.) *M.* — **15** *πολυχάλκεον* $L^1$, cr. $L^2$. — *ἐνὶ* scripsi; *ἐν VOΩ*; *τ' ἐν R*; *ἑοῖς v.* — *νέφεσσι O.* — **16** *γαίῃ (-η) VΩ*; *αἱ οἱ O.* — *ἑτοιμάζων* $V L^2 \Omega$; *-ζω DMS.* — *σφετέρῃ (-η)* $V L^2 \Omega$; *-ρην* $L^1 S$. — *φυσίζοον VObcm*; *-ζωον Ω.* — **17** *καὶ* om. *VM.* — **18** *ζυγίῃσι (-ησι) VOΩ*; *-οισι Rv.* — **19** *ἀγέλας O.* — *ἅρμενον* $V D L^1 S$. — **20** *ἤρκεσε* $V D M^1 R S$. — *λιταζομένοισιν ἐσσοῖς D.* — **21** *ἐπενοήσειεν O.* — **22** *ἀγάσεται α.*

*μᾶλλον ἐπὶ δμώεσσιν ἑοῖς κεχαρήσεται ἐσσὴν* 11
*οἷς [τ'] ἐλεημοσύνη καταθύμιός ἐστιν ἄνακτος.*

## ρμζ' (147)

*Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος*
*ἕβδομον ἀμφήριστον ἔχων θρόον ἀλληλούια·*
*ἔμπά γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.*

*Αἴνεε τιμήενθ', Ἱερουσαλή, βασιλῆα·* 1
*Σιών, ὑμνοπόλευε τεοῦ βασιλῆα βίοιο,*
*οὕνεκα σῶν πυλέων σθεναροὺς χάλκευσεν ὀχῆας·* 2
*ἐν σοὶ σοὺς πινυτοὺς καὶ ἀγακλέας ᾔνεσε παῖδας,*
*ὅς σεθεν εἰρήνῃ πεφυλαγμένα τέρματα θῆκε,* 3
*πλῆσε δὲ πιαλέῃ σε βίῃ μενοεικέος ἀκτῆς·*
*ὅς χθονὶ πουλυβοτείρῃ ἐπίρροθον ὤπασε μῦθον,* 4
*αὐτὰρ ὁ ῥίμφα θέων μετελεύσεται ἔνθα καὶ ἔνθα,*
*εἴριον ὣς ψυχρῆς χιόνος σθένος ὑψόθι φαίνων,* 5
*πάσσων καπνοτόκειαν ὅπως σποδὸν αὐχμὸν ὀμίχλης,*
*εἰδομένην ψωμοῖσιν ἑὴν κρύσταλλον ἰάλλων·* 6
*ψύχεϊ τίς κεν ἑὸν δύναται μένος ἰσοφαρίζειν;*
*πάντα λόγῳ ζώοντι τακήσεται ὁρμηθέντι,* 7
*ὕδατα δὲ πνοιῇσιν ὑπὸ σφετέραις κελαρύζει.*
*μῦθον Ἰακώβῳ πινυτῷ φίλον ἐξαγορεύων,* 8

---

*ἐρωή O.* — **23** *κεχαρίσσεται O*; *-ίσεται M.* — **24** *οἷς τ' m**; *οἷς VL²Ω*; *ἷς O*; *ὡς D(L¹?)MS*; *οἷς δ' Rv.*

*Υ* 147, **1** Ζαχαρίαο *v*; *-ίοιο V*; *-ίου Ω.* — **2** *ἔχον S* ac. — *θρόνον P.* — **3** ἑκατοστὸν et *τεσσαρακοστόν V.* — *Ψ* 147, **1** *αἴνεαι DM(S).* — *τιμήενθ' Rv*; *-ήεντα VOΩ* (*-ίεντα M*). — *ἱερουσαλὴ VOv*; *-λῆ DMPRS*; *-λὴμ Lm.* — **2** *τεὸν MR.* — **3** *χάλκευσαν L.* — **4** *πϊνϋ καὶ ἀγλέας O.* — **5** *ὃς VΩ*; *ὓς O.* — **6** *πιαλέης O.* — *μενόηκέος S.* — **7** *ὅπασε O*; *ὤπασεν S*, cr. im. — **8** *ὁ m*; *ὃ Ω.* — **9** *εἰρίον VΩ.* — *ὡς ODM.* — **10** *αὐχμὸν* om. *L¹*, ss. *L²*. — **11** *ἑὴν L¹Ω*; *ἑοῖς* ss. *L²*. — an *εἰδόμενον ψ. ἑὸν*? — *κρύσταλον VO*, ac. *R.* — **12** *ψύχεϊ gm*; *-ει Ω.* — *δύναται* om. it., add. im. *D.* — **14** *σφετέρῃς Ω.* — *κελαρύζει VOΩ*, pc. *S*; *-ίζειν S* ac.; *-ίζει a.* — **15** *μύθων P.*

*κλεινὰς δ' εὐδικίας ἐρέων κλυτῷ Ἰσραήλῳ,*
*οὐδέ ποτ' ἀλλοδαποῖσι μετ' ἔθνεσι τοῖον ἔρεξεν* 9
*οὐδὲ δικαιοσύνας σφετέρας τεκμήρατο λαοῖς.*

## ρμη' (148)

*Ξυνὸς Ζαχαρίαο καὶ Ἀγγαίου πέλει ὕμνος*
*ὄγδοον ἀμφήριστον ἔχων θρόον ἀλληλούια·*
*ἔμπα γε μὴν ἑκατοστὸς ἔφυ καὶ τεσσαρακοστός.*

*Μέλψατέ μοι μέγα κῦδος ἀπ' οὐρανόθεν βασιλῆος,* 1
*μέλψατέ μιν βοόωντες ἐφ' ὑψίστοισι θοώκοις·*
*μέλψατέ μιν, δῆμοι μεγαλοσθενέων στρατιάων,* 2
*μέλψατέ μιν, πᾶσα σθενέων ἀριδείκετος ἀλκή·*
*μέλψατε, ἠέλιός τε καὶ αἰγλήεσσα σελήνη,* 3
*μέλψατε, τείρεα πάντα, θεόν, καὶ ἀθέσφατος αἴγλη·*
*μέλψατ', ἐπουρανίων δαπέδων ὑπὲρ οὐρανὸν ἄλλον* 4
*κύκλων τ' οὐρανίων καθυπέρτερον εὐαγὲς ὕδωρ.*
*πάνθ' ἅμα μελπόντων κλυτὸν οὔνομα παμβασιλῆος,* 5
*οὕνεκεν αὐτὸς ἔειπε, καὶ ἐβλάστησαν ἅπαντα,*
*αἷς δ' ὑποθημοσύνησιν ἀκαμπέσιν ἐρρίζωθεν.*
*στὰν δέ, διηνεκέι τά περ ἥδρασεν αὐτὸς ἀνωγῇ·* 6

---

**16** *ὠρέων DM.* — *κλυτῶ c* (Scheindler[1] 905; cf. 124, 11. 127, 13. al.); *κλεινῷ* (-ῶ) *VPRv*; *κοινῷ* (-ῶ) *ODLMS*; *κλεινῷ πόρεν Ἰ.* ci. Lch[1] 53 (coll. 77, 11. 98, 8). — **17** *μετέθνεσι τ. ἔρξεν O.* — **18** *τεκτήνατο S.*

*Υ* 148, **1** *ξυνῶ O.* — *ζαχαρίαο VΩ*; *-ίου MPR.* — **2** *ἀμφίρηστον R.* — *θρόνον M.* — *Ψ* 148, **1** *μοι VΩ*; *μιν R.* — **2** *ἑλτέ* sic *O.* — *μιν VΩ*; *μοι ODLMS.* — *βοόωντες* $VL^2Ω$; *-τος* $DL^1S$; *-τας M.* — **3** *μιν* $VL^2Ω$, pc. *O*; *μοι O* ac., $DL^1MS$. — *δῆμον M* ac. — **6** *θεὸς* $L^1$, cr. $L^2$. — **7** *μέλψατε DLMS.* — *ἐπ' οὐρανίων OL.* — **9** *βασιλῆος* $L^1$, cr. $L^2$. — **10** *εἶπε S.* — *ἐβλάστησαν O*; *-σεν Ω*; *βλάστησεν V.* — **11** *ἷς O*; *ᾗς* (*ἧς*) *VΩ.* — *ὑποθημοσύνησι S.* — *ἀκαμπὲς L.* — *ἐρρίζωθεν VΩ* (*ὠρρ- D*, ac. *M*); *ἐριζώ- S.* — **12** *στᾶν VPRv*; *ἂν* $M^1$, *στἂν* $M^2$: cf. Hom. *I* 193. — *διηνεκέϊ VΩ*; *-έως DM*: cf. Rzach[1] 752. [3] 335. — *ἥδρασεν* scripsi (coll. 8, 7); *ἕδρ- ODRv*; *ἕδρ- VΩgm* (Mommsen 272). — *ἀρωγῇ* (-ῆ) *LS.*

οὔ ποτε θεσπεσίη μάκαρος παρελεύσετ᾽ ἐφετμή.
μέλψατε παμβασιλῆα κατὰ χθονὸς εὐρυοδείης, 7
ἑρπησταί τε δράκοντες ὁμοῦ δνοφερῇσιν ἀβύσσοις·
πῦρ μετὰ κρυστάλλοισι, χιὼν δ᾽ ἅμ᾽ ἕποιτο χαλάζῃ 8
καὶ πνοιὴ ζοφεροῖο καταιγίδος ἠεροφοῖτις,
αἰὲν ὑποδρήσσοντα θεοῦ νημερτέι μύθῳ·
οὔρεα δενδροκόμων τ᾽ ὀρέων λασιαύχενες ἄκραι, 9
κέδροι παντοδαπαὶ καὶ δένδρεα τηλεθόωντα·
τετραπόδων ἀγέλαι καὶ ὀρέστερα θηρία γαίης, 10
ἑρπετὰ καὶ πτερύγεσσι μεταΐσσοντα ποτητά·
λαοὶ παντοδαποὶ καὶ ἐρισθενέες βασιλῆες, 11
εὔθεσμοι μετὰ πᾶσι δικασπόλοι ἡγητῆρσιν·
ἡβηταὶ γεραροὶ καὶ παρθένοι ἑλκεσίπεπλοι, 12
ἴφθιμοι πολιοῖσι νεώτεροι εἰς ἓν ἰόντες·
εἰν ἑνὶ μελπόντων κλυτὸν οὔνομα παμβασιλῆος, 13
οὕνεκεν ὑψώθη βασιλήιον οὔνομα μοῦνον·
αἶνος ἑὸς γαῖάν τε καὶ οὐρανὸν ἀμφικαλύπτει
καὶ λαοῦ σφετέροιο κέρας μεγαλαυχὲς ἀείρει. 14
ὕμνος ἐυκλειὴς μελέτω γενεῇσι δικαίων,
δήμῳ θεσπεσίῳ πυκινόφρονος Ἰσραήλου.

---

13 παρελεύσεται φετμή *DS* ac. — 14 παμβασιλῆ κ. χοὸς *O*. — 15 ἑρπησταί *VOD*$L^1$*MS*; -υσταί $L^2$*v*; -υστοί *PR*. — τε om. *O*. — δνοφερῇσιν (-ῆσιν) *V* (pc ?), *Rv* (cf. 41, 17. 103, 13); -οῖσιν *OΩ*. — 16 κρυστάλοισι *VODLMS*. — 17 ζεφύροιο *PR*. — ἱεροφοῖτις $L^1$, cr. $L^2$; ἠερι- *M*: cf. ad Hom. *I* 571. — 18 ὑποδρήσσοντα *bcm*($L^1$?); -ήσοντα *V*$L^2$*Ω*. — 19 τ᾽ οὐρέων *D*$L^1$*S*, cr. $L^2$. — ἄκραι $L^2$*Ω* (τ᾽ ἄ- *O*); -ρες $L^1$; -ρα *DS*. — 20 δένδρεα *VΩ*; -ρα *DLS*; -ρα (ss. τε) *M*. — 24 ἔνθεσμοι *gm*. — δικασπόλοις *DMS*. — 25 παρθένος *S*. — 26 νεωτέροις *L*. — 27—150, 11 nunc desunt *O*. — εἰ ἑνὶ *M*. — 29 ἀμφικαλύπτει *V*$L^2$*Ω*; -τοι *D*$L^1$*MS*. — 30 λαοὶ *S*. — 31 ἑϋκλείης *DM*; εὐ- *LS*; εὐκλήεις *V*; δ᾽ εὐκλείης *PRab*; -ειὴς *cgm*. — πικυνόφρονος *DM*; κυκι- $L^1$, cr. $L^2$.

## ϱμϑ' (149)

*Ἡδὺ μέλος ἑκατοστὸν ἔφυ καὶ τεσσαρακοστὸν*
*εἴνατον οὐράνιον φορέον θρόον ἀλληλούια.*

*Μέλψατέ μοι βασιλῆι νέην καὶ ἐπήρατον οἴμην·* 1
*αἰὲν ἔχει κλισίαις ὁσίων μεμελημένον ὕμνον.*
*Ἰσραῆλος ἄνακτι φίλῳ τέρποιτο πεποιθώς,* 2
*υἱέες αὖ Σιῶνος ἑῷ βασιλῆι χαρεῖεν·*
*οὔνομα μελπόντων βασιλήιον ἀμφὶ χοροῖσι* 3
*καί μιν ἀειδόντων τύπανον κιθάρην τ' ἀνελόντες,*
*οὕνεκά οἱ σφέτερος καταθύμιος ἔπλετο λαός,* 4
*φέγγεϊ δ' ὑψώσειε φίλον γένος ἠπιοθύμων.*
*ἔνθ' ὁσίων ἐρατειναὶ ἐπαυχήσουσι γενέθλαι,* 5
*ἐν δ' ἱεροῖς λεχέεσσι φίλῳ κεχαροίατο θυμῷ,*
*λαυκανίῃ βασιλῆος ὑπερτερίας φορέοντες,* 6
*ἆορ δ' ἰθυπόροις παλάμαις ἄμφηκες ἔχοντες,*
*δήμων παντοδαπῶν κακοεργέας ἄνδρας ὀλέσσαι* 7
*καὶ ζυγὸν ἀθάνατον λαοὺς μεθιέντας ἐλέγξαι,*
*τῶν δὲ φίλους βασιλῆας ἀλυκτοπέδῃσι πεδῆσαι,* 8
*ἐν δὲ σιδηρείῃσι πέδαις παλάμας ἐριτίμων,*
*γραπτήν τ' εὐνομίην σπουδῇ μετὰ τοῖσι τελέσσαι·* 9
*ὧδ' ὁσίοις κλέος ἐσθλὸν ἑοῖς μετὰ πᾶσιν ἐτύχθη.*

---

*Υ* 149, 2 *εἴνατον* a $L^1$ priori versui attributum in posteriorem rettulit $L^2$; *εἴννα-* *S*. — *φορέων* *L*; *φερέον* *M*. — *θρόνον* *MP*. — post 2 rubricator *Υ* 150 scripsit errore. — *Ψ* 149, 2 *κλισίῃς* (-ης) *Ω* (*κλη-* *S*); *-σίησ'* *V*. — 3 *ἄνακτα* *M*, ac. *D*. — 6 *καί μιν ἀειδόντων* (*ἀδ-* *L*) *VDLMS*; *ᾀδόντων μιν* (*μὶν*) *PRv*. — *τύπανον* scripsi; *τύμπ-* *VΩ*: cf. 150, 7. — *κιθάρην* *VΩ* (-ϱη *M*); *αὖ κι-* *PRv*. — 10 *κεχαρήατο* $D(L^1?)M$; *-ήετο* *S*. — 11 *ὑπερτερία* *S*. — 12 *ἆορ δ'* *M*; *ἄ-* (*V*)*DLPS*; *φάσγανον* *Rv*. — *ἰθυπόρῃς* *R*. — *παλάμῃς* *Ω*. — 14 *μεθιόντας* $L^1$, cr. $L^2$. — *ἐλέγξει* *Ω*. — 15 *ἀλυκτοπέ*]*δῃσι* ir. $L^2$. — *πεδῆσαι* scripsi; *πέδησεν* *VΩ*, ir. $L^2$. — 16 om. $L^1$, add. $L^2$ im. — *σιδηρείοισι* $L^2$. — *πέδῃς* (-ης) *VΩ*; *-ας* *M*. — 17 *τ'* *VΩ*; *δ'* *DM*. — *τελέσσαι* scripsi; *-εις* *VDLMS*; *-ει* *PRv*. — 18 *ὁδ'* *S*.

## ρν′ (150)

*Πένθ᾽ ἅμα καὶ δεκάτης δεκάδος μέλος ἀλληλούια.*

*Μέλψατέ μοι βασιλῆα, χοροὶ δ᾽ ἅμ᾽ ἕποιντο δικαίων,* 1
*μέλψατέ μιν σταθερῇ κράτεος περιθάρσυνον ἀλκῇ·*
*μέλψατέ μιν σφετέροισιν ἀειρόμενον σθενέεσσι,* 2
*μέλψατέ μιν μεγαλιζόμενον πυκινοῖσιν ἐπ᾽ ἔργοις·*
*μέλψατέ μιν σάλπιγγος ἐρισθενέος πατάγοισι,* 3
*μέλψατέ μιν φόρμιγγι καὶ ἁρμονίῃ ἐρατεινῇ·*
*μέλψατέ μιν τυπάνοισι καὶ εὐφήμοισι χοροῖσι,* 4
*μέλψατέ μιν κιθάρῃ τε καὶ ἐν νευρῇσι λιγείαις·*
*μέλψατε θείνοντες λιγυηχέα κύμβαλα χερσί,* 5
*μέλψατέ μιν παλάμαις ἀλαλαγμοῦ κύμβαλ᾽ ἑλόντες·*
*πνοιῇ παντοδαπῇ κελαδήσατε παμβασιλῆα.*

---

## (151)

*Πέμπτης πρὸς δεκάτῃ δεκάδος πέλει ἔκτοθεν ὕμνος,*
*ὃν Γολιάτῳ μουνομαχήσας ᾖσε Δαυῖδος.*

*Ἀμφὶ κασιγνήτοισιν ἐμοῖς μάλα τυτθὸς ἐτύχθην* 1
*πατρῷον κατὰ δῶμα νέος μετὰ πᾶσιν ἀκούων,*
*εἰροπόκων ὀίων ἀγέλας ἀγροῖσι νομεύων.*

---

*Υ* 150 suo loco repetivit *V* rubr. (v. ad *Υ* 149, 2). — *Ψ* 150, **1** *μοι VΩ*; *μιν R*. — *ἕποντο M*. — **2** *μιν L²PRv*; *μοι VDL¹MS*; item 3. — *σταθερὴ VS*. — *περιθάρσυνος V*. — *ἀλκή V*; *-ῇ* ex *ήν* cr. *S*. — **4** *μοι M*. — **6** *ἐρατεινῇ* ex *-ή* cr. *S*. — **7** om. *M*. — *τυπάνοισι c*; *τυμπά- Ω*; *-νοισι VΩ*; *-νοισιν L*; *-νυσιν S*; *-νοις* (om. *καὶ*) *PR*. — *εὐφήμοις τε* (*τὲ*) *P* ir., *R*. — **8** *νευρῇσι* (*-ῆσι*) *VDMP*; *νεβρ- LS*; *χορδῇσι Rv*. — **10** *παλάμῃς* (*-ης*) *VΩ* — **11** *πνοιῇ παντοδαπῇ DL*; *-ὴ -πὴ VΩ*; fort. vocativus praeferendus. — *παμβασιλῆσι M* ac.

*Υ* 151 hab. *PRv*; om. *VOBDLMS*; *θύραθεν οὗτος ἐστὶ τοῦ ἀριθμοῦ ὁ ψαλμὸς τῶν ρν*, | *ὅτε τὸν* (*το S*) *γολίατον* (*γόλφατον LS*) *μουνεμαχήσατο* (*μουνο- L*, *μονε- M*) *δαυῖδος* substituunt *DLMS*. — *Ψ* 151 sine numero omnes codices. — **2** *πατρῶον VOB*; *-ώου DMS*. — *νέοις M*.

χεῖρες ἐμαὶ φόρμιγγα λιγύθροον ἐντύναντο, 2
δάκτυλα δ' ἁρμονίην θεοτερπέα τεκτήναντο.
τίς κεν ἀπαγγείλειεν ἐρισθενέτῃ βασιλῆι; 3
αὐτὸς ἄναξ δεδάηκεν ἐμῶν ἐπέων ὑπακοῦσαι.
αὐτὸς ἐπουρανίου στρατιῆς ταχὺν ἄγγελον ἧκεν, 4
ἐκ δέ με πατρῴης ἀγέλης ἐξείλετο μήλων
καί μευ πιαλέοιο δέμας ἔχρισεν ἐλαίῳ.
ἡμὲν ἀδελφειοὺς μεγάλους ἔχον ἠδὲ καὶ ἐσθλούς, 5
ἀλλ' οὔ σφιν βασιλεὺς κλέος ἤθελεν ἐσθλὸν ὀπάσσαι.
ἀλλοδαποῦ καλέοντος ἐναντίον ἀνέρος ἔστην, 6
αὐτὰρ ὅ μ' εἰδώλοισιν ἑοῖς νείκεσσε πεποιθώς·
τοῖο δ' ἐγὼ ξίφος ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ 7
αὐχένος ὑψηλοῖο κάρη ἀπέκοψα παραστάς,
λώβην δ' ἐξαλάωσα περίφρονος Ἰσραήλου.

---

4 αἱμαὶ (εἱ- ac.) *O*. — λιγύθρουν *L*. — ἐντύναντο *Vm*; -ήναντο *B*; -είναντο *OPRv*; -ύνηντο *L*; -ύνοιντο *DM*; -ή(ϋ)νηντο *S*. — 8 ἐπ' οὐρανίου *OD*, ac. *L*. — ταχὺν *VΩ*; ἰσχὺν *B*. — ἧκε *O*; -εν *S*. — 9 πατρώ(η)οις *S*. — ἐξείλατο *O*. — 10 πιαλέοιο *VOL*; -έοι *S*; -έως *M*; -έῳ (-έω) *Dv*; -έῃ *BPR*: cf. Corderii Expos. I p. 400. — ἔχρισεν *VΩ*; -ισ' *O*; αὐτὸς ἔχρισεν *v*: cf. Lch[3] 291 (ci. δέμας ἔχρισεν λίπ' ἐλαίῳ coll. Hom. γ 466 καὶ ἔχρισεν λίπ' ἐλαίῳ. ψ 154 λοῦσεν καὶ χρῖσεν ἐλαίῳ) et[5] 300. Ritter 23. — ἐλαίου *BLPRS*. — 11 ἀδελφοὺς *Rgm*. — καὶ om. *L*. — 12 ὀπάσαι *OBDL*; ὀπά- *S*; ὀπᾶ- *M*. — 13 ἔστην *VODLMS*; ἤειν (ἤ-) *BPRv*. — 14 ὅ μ' εἰδώλοισιν etiam *L*[1], ὃ μοι δό sic *L*[2] im. — 15 ἐρυσάμ. *DLP*; ἐρυσσάμ. *VΩ*; ῥυσάμ. *M*. — Hom. *Α* 190 ἢ ὅ γε φάσγανον ὀξὺ ἐρυσάμενος παρὰ μηροῦ. — 16 κάρην ὑπέκοψα *K*. — Hom. *Λ* 261 τοῖο δ' ἐπ' Ἰφιδάμαντι κάρη ἀπέκοψε παραστάς. — 17 ἐξελάασα *B*.

# INDEX NOMINVM


**Ἀαρών** 98, 11. Ἀαρῶνος 76, 43. Ἀρῶνος 113, 38. 44. 117, 5. 132, 4. 134, 45. Ἀρῶνι 105, 34. Ἀρῶνα 104, 50.
Ἀβεσσάλωμος Υ 142, 1. -μον 3, 2.
Ἀβιμελέχου Υ 51, 4. Ἀβιμέλεχον 33, 1.
Ἀβιρῶνος 105, 36.
Ἀβραάμου 46, 16. 104, 11. -μῳ 16. 81.
Ἀγαρηνοί 82, 12.
Ἀγγαίου Υ $137^{c}$ 1. 145, 1. 147, 1. 148, 1.
Ἀελδῶρι 82, 19.
Ἀερμῶνος 132, 6.
Αἰγύπτιον Π 37. Αἰγυπτίης Ψ 134, 19. -τίην 104, 43. -τίων 77, 97.
Αἰγύπτοιο 67, 74. 79, 16. 80, 10. -τον 77, 31. -τῳ 98. 105, 44. Αἴγυπτον Π 72. Ψ 135, 19.
Ἀΐδης 77, 91. Ἀΐδαο Π 91. Ψ 6, 10. 29, 4. 15. 54, 26. 85, 24. 87, 6. 88, 96. 114, 5. 140, 18. Ἀΐδῃ 15, 20. 48, 31. Ἄιδι 93, 33. Ἀΐδην 9, 33. 30, 40. 48, 28. 36. 138, 14.
Αἰθάμου Υ $87^{a}$ 3.
Αἰθιοπήων 67, 75. 71, 17. 73, 28. -όπων 86, 6. Αἰθίοπας Π 39.
Ἀμαλήχου 82, 13.
Ἀμμῶνες 82, 13.
Ἀμορραίων 134, 23. 135, 37.
Ἀράβων 71, 20. Ἀρραβίη 29. -βικῆς Π 77.
Ἀρῶνος v. Ἀαρών.
Ἄσαφος Υ 72, 3. 74, 2. 75, 1. 76, 1. Ἀσάφου 73, 1. 77, 1. 78, 1. 79, 1. 80, 1. 81. 82.
Ἀσιήτιδα γαῖαν Π 70.
Ἀσσυρίων Υ 75, 1. Ψ 82, 15.
Αὐσονίης Π 74.
Ἀχαιίδα Π 18. Ἀχαιοί 21.

Βαβυλώνιον ὕδωρ Υ $136^{c}$ 3. Βαβυλῶνος 70, 2. Ψ 86, 5. 136, 1. 18.
Βασᾶνος 134, 24. 135, 39. Βασάνηθεν 67, 53.
Βεελφεγόροιο 105, 58.
Βενιαμίνοιο 67, 63. -νου 79, 4.
Βορέαο 47, 4. 106, 7. -έην 88, 23.

Γαλαᾶδος 59, 13. 107, 17.
Γέβαλοι 82, 13.
Γετθαῖοι Υ 55, 5.
Γολιάτῳ Υ 143, 1. 151, 2.

Δαβίδ Υ 1. -βῖδος $97^{b}$. $138^{d}$ 1. -βίδου $136^{c}$ 1. $139^{d}$ 1. Δαυίδ Υ $50^{b}$ 1. Δαυῖδος Π 36. Υ 5, 2. 6, 1. 11. $21^{ab}$ 2. 23, 2. 24. 26. 28, 2. 29, 2. 30, 2. 32, 2. 33, 2. 34, 2. 35, 1. 36, 2. 37, 1. 39, 2. 40. 42, 2. 51, 3. 53, 1. 55, 1. 57, 1. 58, 1. 59, 13. 60, 1. 61, 1. 69, 2. 85, 2. 90, 1. 92, 1. 93, 1. 95, 2. $97^{c}$. 99, 2. $100^{b}$. $136^{a}$ 1. $137^{a}$ 2. $138^{a}$ 2. $139^{a}$ 2. 140, 2. 151, 2.
Δαυίδου Π 15. 31. Υ 2, 3. 3, 1. 4. 8. 9. 10. 12. 13. 14. 15, 1. 16. 17, 1. 18. 19. 20. 25. 27. 31. 38, 1. 49. 51, 1. 52, 1. 54, 1. 56, 1. 62, 1. 63, 1. 67, 1. 68. 72, 1. 94, 1. 96, 1. $97^{b}$ 2. 98, 2. $100^{a}$. 102. 103. 107. 108. 109. $136^{b}$ 2. $138^{b}$ 1. $^{c}$ 2. $139^{c}$ 2. 141, 1. 142, 1. 143, 1. 144, 1. Ψ 121, 10. 131, 1. 18.

143, 24. *Δαυίδῳ* Τ 22, 2. Ψ 17, 111. 88, 6. 70. 98. 131, 20. 34. *Δαυῖδον* Τ 7, 1. 53, 4. 77, 155. 88, 40.
*Δάθανον* 105, 35.
*Δωῆχος* Τ 51, 2.

**Ἑβραίων** Π 75. Τ 2, 2. *-αίοις* Π 16. *-αίοισιν* Τ 71, 1. 92, 3.
*Ἐδώμου* 136, 14.
*Ἐθάμου* 73, 30.
*Ἐλαμίταις* Π 67.
*Ἑρμωνίιμος* 88, 24.
*Ἐρυθρὸν πόντον* 105, 16. 19. 46.
*Ἐτάνου* Τ 88, 1.
*Ἐφραθά* 131, 10.
*Ἔφρεμος* 59, 14. 107, 18. *Ἐφρέμου* 77, 24. 150. 79, 4.

**Ζαβουλῶνος** 67, 65.
*Ζαχαρίαο* Τ 145, 1. 146, 1. 147, 1. 148, 1. *-ρίου* 137[b] 2. [c] 1.
*Ζεβέῳ* 82, 23.
*Ζειφαίων* Τ 53, 2.
*Ζήφῳ* 82, 23.

**Ἠερίηθεν** 113, 1.

**Θαβῶρος** 88, 24.
*Θαρσῖδος* 47, 12. *-σίδος* 71, 19.

**Ιαβίνοισιν** 82, 18.
*Ἰάκωβος* 104, 44. *Ἰακώβοιο* 21, 47. 23, 13. 46, 7. 75, 11. 80, 8. 97, 8. *-ώβου* 19, 2. 45, 14. 23. 58, 30. 74, 20. 76, 30. 80, 2. 83, 16. 84, 2. 86, 3. 93, 14. 104, 12. 113, 2. 14. 131, 9. *-ώβῳ* 43, 11. 77, 10. 98, 7. 104, 18. 147, 15. *Ἰάκωβον* 77, 51. 158. 78, 14. 134, 7.
*Ἰδιθοῦμος* Τ 38, 1. *-θούμου* 61, 1. 76, 1.
*Ἰδουμαίης* 59, 17. 20. 107, 21. 24. *-μαίων* 82, 11.
*Ἰεζεκιῆλε* Τ 64, 1.
*Ἱερεμία* Τ 64, 1. *Ἱρεμίου* 136[bc] 2.
*Ἱερουσαλῆς* 50, 36. 121, 3. 124, 2. 127, 10. 136, 15. Τ 136[c] 3. *-λῇ* Ψ 64, 2. 101, 42. 121, 11. 134, 49. *-λήν* 78, 3. 7. 136, 13. 146, 3. *-λή* 115, 15. 136, 9. 147, 1.
*Ἰεσσαίου* Τ 72, 2.
*Ἰήονα γλῶσσαν* Π 105.
*Ἰορδάνης* 113, 6. *-νη* 113, 10. *Ἰορδανίης γαίης* 41, 15.
*Ἰουδαίης* 47, 21. 68, 74. Τ 62, 1. *-αίῃ* Ψ 75, 1. 113, 3. *-αίην* Π 70.
*Ἰούδας* 59, 15. 107, 19. *-δα* 67, 64. 77, 151. 96, 17.
*Ἰσαάκῳ* 104, 17.
*Ἰσμαήλου* 82, 11.
*Ἰσραηλίτην* Τ 87[a] 4.
*Ἰσραῆλος* 13, 25. 52, 16. 80, 7. 25. 29. 104, 43. 113, 1. 36. 117, 3. 123, 2. 128, 2. 130, 9. 149, 3. *-ήλοιο* 58, 10. *-ήλου* 13, 23. 21, 5. 48. 24, 43. 40, 26. 52, 14. 67, 62. 70, 49. 71, 40. 72, 1. 75, 2. 77, 73. 95. 82, 8. 88, 36. 97, 9. 102, 14 106, 100. 113, 4. 43. 120, 8. 121, 7. 134, 44. 146, 4. 148, 32. 151, 17. *-ήλῳ* 67, 84. 77, 11. 52. 98, 8. 104, 19. 129, 11. 134, 27. 135, 43. 147, 16. *-ῆλον* 67, 23. 81. 77, 134. 159. 79, 1. 124, 11. 127, 13. 129, 13. 134, 8. 135, 21. 27. *-ῆλε* 49, 15. 80, 18.
*Ἰωναδάφου* Τ 70, 1.
*Ἰώσαφος* Τ 59, 9.
*Ἰώσηφος* 80, 9. 104, 32. *Ἰωσήφου* 76, 30. 77, 149. *Ἰώσηφου* 79, 2.

**Κάδης** 28, 17.
*Καππαδόκειαν* Π 69.
*Κηδᾶρος* 119, 8.
*Κισσῶν* 82, 18.
*Κοραίου* Τ 41, 1. 43, 1. 44, 2. 46, 1. 47, 1. 48, 1. 83, 1. 84, 2. 86, 1. 87[ab] 1.
*Κρήτην* Π 76.
*Κυρήνην* Π 72.
*Κωνσταντίνου* Π 42.

**Λευίδα** 134, 46.
*Λιβανήιον μόσχον* 28, 13. *Λιβανίτιδι κέδρῳ* 91, 23. *Λιβάνοιο* 28, 12. 36, 77. 71, 33. 103, 36.
*Λιβύην* Π 73.
*Λίβυος* 77, 62.
*Λώτου* 82, 16.

**Μαδιάμῃ** 82, 17.
*Μανασσῆς* 59, 13. 107, 17. *-οῦ* 79, 4.
*Μαρκιανός* Π 109. *-νοῖο* 41. *-νοῦ* 49. *-νέ* 4.
*Μελχισεδῆκος* 109, 9.
*Μεσοποταμίαν* Τ 59, 5.

*Μήδων* Π 68.
*Μωᾶφος* 59, 16. 82, 12. 107, 20.
*Μωσῆς* Υ 89, 2. Ψ 98, 11. 105, 48. 67. -*σῆος* 76, 43. 105, 33. -*σῆι* 102, 13. -*σέα* 104, 49.

**Νάθανος** Υ 50[a] 1. *Νάθαν* [b] 4.
*Νείλοιο* 104, 37. 41. 134, 17. *Νειλωὶς ἄρουρα* 104, 72. *Νειλωίδος αἴης* 80, 22. -*ίδα γαῖαν* 104, 53.
*Νεφθαλίμοιο* 67, 65.
*Νότου* 77, 61. 125, 9.

**Παλαιστίνης** Υ 59, 3.
*Πάμφυλον* Π 71.
*Πάρθοι* Π 67.
*Παῦλος* Π 35.
*Πόντον* Π 70.
*Πτολεμαῖος* Π 21.

**Ῥαάφης** 86, 5.

**Σαβίων** 71, 20.
*Σαλμανῷ* 82, 23.
*Σαμουῆλος* 98, 12.
*Σαοῦλος* Υ 58, 3. *Σαούλου* 17, 4. 56, 1. *Σαούλῳ* 51, 2. 53, 2.
*Σελμῶνι* 67, 35.
*Σηῶνα* 134, 23. 135, 37.
*Σίκημα* 59, 11. 107, 15
*Σιλώμης* 77, 135.
*Σινάοιο* 67, 42. *Σίναον* 22.
*Σισάρᾳ* 82, 17.
*Σιών* 96, 16. 147, 2. *Σιῶνος* 2, 12. 9, 21. 27. 13, 23. 19, 4. 47, 4. 20. 49, 3. 52, 14. 72, 56. 73, 5. 77, 152. 86, 2. 109, 3. 124, 1. 125, 1. 127, 9. 132, 7. 134, 48. 136, 2. 7. 145, 23. 149, 4. *Σιῶνι* 50, 35. 64, 1. 75, 4. 83, 14. 86, 8. [98, 3] 101, 41. *Σιῶνα* 47, 23. 68, 73. 101, 31. 128, 8. 131, 26. *Σιῶν'* 101, 24. *Σιωνόθεν* 133, 6.
*Σολομῶνι* Υ 71, 2.
*Σύρον* Υ 59, 6. -*ρων* 4.
*Σώβαλον* Υ 59, 6.

**Τάνιος** 77, 99. *Τάνιν* 31.
*Ταρταρίων βερέθρων* 17, 8.
*Τύριοι* 86, 6. *Τυρίοισιν* 82, 14. *Τύρον* 44, 29.

**Φαραώ** 134, 20. 135, 29.
*Φινεύς* 105, 62.
*Φρυγίην* Π 71.

**Χάμοιο** 104, 52. -*μου* 44. 105, 45.
*Χαναάμου* 104, 20. 105, 77. 134, 25.
*Χερουβίμ* 17, 22. 79, 3. 98, 2.
*Χουσί* Υ 7, 1.
*Χριστοῦ* Π 65. -*τόν* 33. 110.
*Χωρήβῳ* 105, 39.

**Ὠγόν** 134, 24. 135, 39.
*Ὠρήφῳ* 82, 23.

# ADDENDA ET CORRIGENDA.

p. XXXVI adde: Rudolfus Keydell 'Quaestiones metricae de epicis graecis recentioribus' (Berol. 1911).

p. 4, 56 adn. l. ³ 335.

11, 19 adn. post *-ίοιτε m**) adde: substituunt *Ω*.

14, 12 *ἄμμι τετέκμαρτο* Keydell p. 33, pronomini *τεῆς* iniuria offensus (v. p. 15, 12).

16, 14 *σεῖό με ἡγήσαιο* defendit Keydell p. 20 atque etiam aliis locis vulgatam tuetur (ex. gr. 21, 15. 27, 14. 38, 57. 41, 3. 46, 28. 31. 52, 29. 67, 43. 69, 40. 73, 11. 79, 17. 87, 25. 90, 28. 112, 9. 122, 13. 127, 19. 135, 78. 142, 40. 146, 3. 169, 5. 170, 18. 171, 5. 175, 16. 20. 199, 15. 209, 16. 210, 41. 236, 4. 246, 17. 257, 250. 265, 11. 280, 6. 283, 2. 285, 47. 287, 6. 295, 29. 298, 10. 300, 5) certe iusto liberalius censens de hiatu admittendo.

20, 35 *κὰκ* recte cr. Keydell p. 44.

46, 29 *γλῶσσα δ' ἐμεῖο λάρυγγι κεκόλληται λάλος, ἐσσήν* id. 10.

72, 46 *εἰ δὴ τοῦτο, μάκαρ, θηήσαο, μή με π.* id. 32.

97, 4 l. *Βορέαο*.

133, 41 *δ' αὖ τοῖο χ.* Keydell p. 32.

169, 36 *δεξιτερῆς ἐπὶ φῶτα τεῆς χεὶρ σεῖο γενέσθω* ib.

210, 41 *ἐπ' ἀθανάτοιο ἀνωγῆς* id. 11.

238, 12 l. *ἄρνασιν*.

274, 15 *ὑετοῦ αἰθέρια στεροπὰς* Keydell p. 30.

280, 13 *καὶ ἐυφροσύνῃ* id. 41.

282, 21 *ὑπερόψεαι* etiam id. 35.

RETURN TO the circulation desk of any
University of California Library
or to the

NORTHERN REGIONAL LIBRARY FACILITY
Bldg. 400, Richmond Field Station
University of California
Richmond, CA 94804-4698

ALL BOOKS MAY BE RECALLED AFTER 7 DAYS
2-month loans may be renewed by calling
(415) 642-6233
1-year loans may be recharged by bringing books to NRLF
Renewals and recharges may be made 4 days prior to due date

DUE AS STAMPED BELOW

JAN 07 1990

MAR 11 1991

(D6471s10)476B

Berkeley

38.40

YB 70887

570007
BS1441
A6
1912

UNIVERSITY OF CALIFORNIA LIBRARY